ιγ'. Λύεται ὁ ἀνὴρ ἀπὸ γυναικὸς διὰ τοιαύτας αἰτίας· ἐὰν ἡ γυνὴ αὐτοῦ πορνεύσῃ· ἐὰν ἐπιβουλεύσῃ οἱῳδήποτε τρόπῳ τῇ ζωῇ αὐτοῦ ἢ ἐπισταμένη ἑτέρους ἐπιβουλεύοντας μὴ καταμηνύσῃ αὐτῷ· καὶ [145]) ἐὰν λωβή ἐστιν. ὁμοίως δὲ λύεται [146]) καὶ ἡ [147]) γυνὴ ἀπὸ τοῦ [148]) ἀνδρὸς διὰ τοιαύτας αἰτίας [149])· ἐὰν ἀδυνατήσῃ ὁ ἀνὴρ ἐπὶ τριετίᾳ [150]) ἀπὸ καιροῦ τοῦ γαμικοῦ συναλλάγματος τῇ οἰκείᾳ μιγῆναι γυναικί· ἐὰν ἐπιβουλεύσῃ οἱῳδήτινι [151]) τρόπῳ τῇ ζωῇ αὐτῆς ἢ ἐπιστάμενος ἑτέρους [152]) ἐπιβουλεύοντας μὴ καταμηνύσῃ αὐτῇ· καὶ ἐὰν λωβός ἐστιν. εἰ δὲ συμβῇ ἐξ αὐτῶν ἕνα μετὰ τὸν γάμον ὑπὸ δαίμονος κυριευθῆναι, τούτους [153]) ἐκ τῆς τοιαύτης αἰτίας ἀπ' ἀλλήλων μὴ χωρίζεσθαι [154]). ἄνευ δὲ τῶν αἰτιῶν τούτων τῶν γνωριζομένων μὴ δύνασθαι ἀνδρόγυνον διαλύεσθαι κατὰ τὸ γεγραμμένον [155])· ὅτι οὓς ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω [156]).

133) Z: ἐκώλυσε.
134) Idem: ἔκλεισεν.
135) LZ: ἐνεργεῖ.
136) Z: τῷ ἀνδρὶ ἐρωτησάντων.
137) Deest in LZ.
138) Z: συζευχθ.
139) L: ὑπό.
140) Matth. 19, 3 sqq.
141) L: τούτου. Z: περὶ τούτου.
142) L: καὶ ἐντ.
143) L: καί ποτε.
144) N: διακρίνονται.
145) Deest in L.
146) L non habet.
147) In N deficit.
148) Deest in N.
149) L addit: χωρίζεται.
150) N: τριετίαν.
151) L: οἱῳδήποτε.
152) L: ἄλλους.
153) L pro τούτους habet καί.
154) Z haec verba: εἰ δὲ συμβῇ — χωρίζεσθαι in fine §i collocat.
155) Matth. 19, 6. Marci 10, 9.
156) N §um addit: περὶ τριτογαμούντων ἐκ τοῦ ἁγίου βασιλείου. Τριτογαμίας νόμος οὐκ ἔστιν κτλ.

ΤΙΤΛΟΣ ΤΡΙΤΟΣ.

Περὶ τῆς καταγραφείσης [1]) προικὸς καὶ μὴ ἐπιδοθείσης, καὶ περὶ δικαίου προικός [2]).

α΄. Ὁ ὁμολογῶν ἐγγράφως ἢ [3]) ἀγράφως ὑποδέξασθαι προῖκα καὶ [4]) μὴ πληρούμενος αὐτὴν [5]), μείζων ὢν [6]) τῶν κε ἐτῶν ἄδειαν ἔχει μετὰ τὸν γάμον μέχρι πενταετοῦς χρόνου καὶ μόνον [7]) ταύτην ἐπιζητεῖν καὶ ἐντελῶς κομίζεσθαι, εὐπορούντων τῶν γονέων τῆς κόρης τὰ ὑποσχεθέντα αὐτῷ ἀποπληρῶσαι. εἰ δὲ τοῦτο μὴ ποιήσει καὶ ἀμελήσει [8]) ταῦτα ἀποπληρωθῆναι, ὑποκεῖσθαι αὐτὸν [9]) τῷ μέρει τῆς γυναικὸς κατὰ τὴν [10]) δύναμιν τῶν παρ᾽ αὐτοῦ ὁμολογηθέντων [11]). ἥττων δὲ ὑπάρχων μετὰ τὴν ἐκπλήρωσιν τῶν κε ἐτῶν [12]) καὶ ἑτέρων ε χρόνων δύναται ἐπιζητεῖν τὴν ὑποσχεθεῖσαν αὐτῷ προῖκα κατὰ τὴν αὐτοῦ ὁμολογίαν [13]). περαιουμένης γὰρ μετὰ [14]) τὸν ἐντελῆ χρόνον τῆς ὁρισθείσης προθεσμίας, μὴ ἔχειν αὐτὸν ἄδειαν κινεῖν περὶ τὴν ἀναργυρίαν [15]) τῆς τοιαύτης καὶ παρ᾽ αὐτοῦ [16]) ὁμολογηθείσης προικὸς, ἀλλὰ ὑποκεῖσθαι αὐτὸν καθὰ εἴρηται τῷ μέρει τῆς γυναικὸς κατὰ τὰ παρ᾽ αὐτοῦ ὁμολογηθέντα.

β΄. Ἡ [17]) γυνὴ εἰσάγουσα προῖκα τῷ ἀνδρὶ αὐτῆς ἐὰν [18]) συμβῇ ὑπὸ [19]) συμφορᾶς τινος τὸν ἄνδρα ὑποπεσεῖν [20]) εἰς ζημίας ἢ χρέη [21]) εἴτε τῷ δημοσίῳ ἢ ἑτέρῳ δήποτε [22]) προσώπῳ, καὶ τελευτήσει [23]), μὴ [24]) ἔχειν ἄδειαν μήτε τὸν δημόσιον μήτε ἕτερον ἄνθρωπον ἐπιβῆναι εἰς τὸν οἶκον αὐτοῦ καὶ ἐπάραι τὶ, μέχρις ὅτου ἡ γυνὴ τὴν ἰδίαν αὐτῆς προῖκα ἀποπληρωθῇ [25]). μετὰ δὲ τὴν ταύτης πλήρωσιν τὰ περισσευόμενα κατὰ ἀναμοιρίαν [26]) οἱ χρεωφειλέται μεριζέσθωσαν.

1) A: καταγραφῆς. B: γραφείσης.
2) A: δικαίας προικός. B: δικαίων προικῶν.
3) Y: ἢ καί.
4) L non habet.
5) LZ: πληρουμένης αὐτῆς.
6) LZ ὢν non habent, sed Z post ἐτῶν addit τυγχάνων.
7) Z: μόνου.
8) L: ποιήσῃ — ἀμελήσῃ.
9) Z: ὑπόκειται αὐτός.
10) In N deest.
11) Z: τῶν προσομολ. παρ᾽ αὐτοῦ.
12) LY: ἐνιαυτῶν.
13) Y: ὁμολόγησιν.
14) L: κατά.
15) L: π. τῆς ἀναργυρίας.
16) Verba καὶ παρ᾽ αὐτοῦ in LY deficiunt.
17) Z: Εἰ γυνὴ εἰσαγάγει πρ. τῷ ἀ. αὐτ. εἶτα συμβῇ.
18) L: εἰ.
19) LZ: ἀπό.
20) Z: πεσεῖν.
21) LZ: εἰς χρέη.
22) L simpliciter ἑτέρῳ, Z vero ἑτέρῳ προσ. οἱῳδήποτε.
23) Z: τελευτῆσαι.
24) Z: οὐκ ἔχει ἄδ. οὔτε ὁ δημόσιος οὔτε ἕτερός τις.
25) N: ἀποπληρώσῃ. Z: τὴν ἰδ. λάβῃ προῖκα.
26) L: ἀναλογίαν, sed in margine adscribit „al.: ἀνομορίαν." B: αναμυρίαν. Z: ἀνάμοιραν.

ΤΙΤΛΟΣ ΤΕΤΑΡΤΟΣ.

Περὶ δωρεῶν [1]) ἁπλῶν [2]) ἤγουν ἀπεντεῦθεν ἤδη [3]) χρήσεως καὶ δεσποτείας πραγμάτων ἢ δεσποτείας [4]) αὐτῶν μόνον, ἢ [5]) μετὰ θάνατόν τισι καταλιμπανομένων, καὶ περὶ αἰτιῶν, ἐξ ὧν αἱ τοιαῦται δωρεαὶ ἀνατρέπονται [6]).

α΄. Ἄγραφος ἁπλὴ δωρεὰ συνίσταται, ὅταν [7]) τὶς τῶν ἐντελῶν χρόνων [8]) ὑπάρχων ἐπὶ ε ἢ [9]) γ μαρτύρων δωρήσηταί [10]) τινα τῶν ἰδίων αὐτοῦ [11]) πραγμάτων, ε μὲν μαρτύρων εἰς τόπους συνισταμένους [12]) καὶ εὑρισκομένων ἀνθρώπων, τριῶν δὲ εἰς τόπους ἐρήμους καὶ μὴ εὑρισκομένου τοῦ μέτρου [13]) τῶν ε.

β΄. Ἔγγραφος ἁπλὴ δωρεὰ συνίσταται, ὅταν [14]) ὑπὸ τοῦ τελείαν [15]) ἄγοντος ἡλικίαν συνταγῇ ἢ ὑπογραφῇ [16]) καὶ κατὰ τὸν προειρημένον τρόπον ἐπὶ ε ἢ γ μαρτύρων ἐπὶ τούτῳ [17]) προσκληθέντων ἐγγράφως μαρτυρηθῇ καὶ ἀπολυθῇ.

γ΄. Εἰ δέ τις ποιήσει δωρεὰν εἴς τινα πρὸς τὸ μετὰ τὴν τελευτὴν αὐτοῦ λαβεῖν τὰ δωρηθέντα αὐτῷ [18]) πράγματα, καὶ ἀπεντεῦθεν ἤδη τὴν δεσποτείαν καὶ μόνον δωρήσηται αὐτῷ, καὶ τὴν τοιαύτην δωρεὰν ἐγγράφως ἐπὶ ε ἢ γ μαρτύρων γίνεσθαι [19]) κατὰ τοὺς προειρημένους τρόπους.

δ΄. Ἡ διὰ προσδοκίαν θανάτου δωρεά, ἤτοι μετὰ ἀποβίωσιν τοῦ δωρουμένου τὴν σύστασιν ἔχουσα, γίνεται καὶ αὐτή, ὡς ἀνωτέρω δεδήλωται, διά τε τοῦ δωρουμένου καὶ ε ἢ γ [20]) μαρτύρων υπογραφῆς συμπληρουμένη [21]).

ε΄. Εἰ δὲ [22]) αὐτὸς ὁ δωρούμενος διατάξηται ἐγγράφως ἐν τῇ αὐτῇ δωρεᾷ αὐτοῦ μὴ [23]) μεταμεληθῆναι ἢ διαστρέψαι τὴν τοιαύ-

1) AC addunt: ἐγγράφων καὶ ἀγράφων.
2) A: ἁπλῶς. In B omnino deest.
3) Verba ἤγουν ἀπεντεῦθεν ἤδη nec C nec A agnoscunt.
4) Haec verba ἢ δεσπ. et mox μόνον N et C non habent.
5) N addit καί.
6) N: περὶ ἀνατροπῆς τῶν τοιούτων δωρεῶν.
7) LYZ: ὅτε.
8) Iidem: ὑπ. χρ.
9) LZ: ἢ καί. Y: ἢ καὶ γ΄ non habet.
10) L addit σοι.
11) L: τῶν ἑαυτοῦ.
12) N: συνισταμένων.
13) LZ: ἀριθμοῦ.
14) LYZ: ὅτε.
15) L: τέλειον.
16) NL pro ἢ ὑπ. habent ὑπογραφή.
17) LZ: ἐπὶ τοῦτο. Y: ἐπὶ τούτοις.
18) Deest in Z.
19) Z: γενέσθαι.
20) N addit γάρ. Y: καὶ ε΄ γραφὴ (sic) μαρτ.
21) Ita Y. N: συντηρουμένης. L: πληρουμένη.
22) Z addit καί.
23) LYZ negationem non agnoscunt.

την δωρεὰν, ταύτην εἶναι κεκυρωμένην, μόνον ἵνα δηλωθῇ ἡ διάταξις αὐτοῦ καὶ ἐν τῷ ὕφει καὶ ἐν τῇ ὑπογραφῇ αὐτοῦ.

ϛʹ. Πᾶσα δωρεὰ ἀνατρέπεται διὰ τοιαύτας αἰτίας· ἐὰν [24]) ὁ τὴν δωρεὰν λαβὼν ἀχάριστος περὶ τὸν δωρησάμενον εὑρεθῇ, εἰ [25]) τραχείας ὕβρεις ἐπαγάγῃ αὐτῷ, ἢ τύψῃ αὐτὸν, ἢ μεγίστην ζημίαν ἐπενέγκῃ αὐτῷ, ἢ ἐπιβουλεύσηται [26]) τῇ ζωῇ αὐτοῦ, ἢ τὰ συμφωνηθέντα, ἐφ' οἷς ἡ δωρεὰ ἐγγράφως ἢ ἀγράφως ἐγένετο, μὴ πληρώσῃ [27]). μιᾶς γὰρ ἐκ τούτων τῶν αἰτιῶν ἐν δικαστηρίῳ ἀποδεικνυμένης, ὡς εἴρηται, ανατρέπεται.

ΤΙΤΛΟΣ ΠΕΜΠΤΟΣ.

Περὶ [1]) τῶν κεκωλυμένων διατίθεσθαι προσώπων, καὶ περὶ διαθηκῶν ἐγγράφων καὶ ἀγράφων [2]).

αʹ. Κωλύονται [3]) διατίθεσθαι· οἱ ἐκ νοσήματός τινος [4]) ἐν παραφορᾷ ὄντες· καὶ οἱ [5]) ἀνήλικοι [6]), τουτέστιν [7]) οἱ μὲν ἄῤῥενες ὄντες τῶν ιε ἐτῶν [8]) ἥττονες αἱ δὲ θήλειαι ἥττονες τῶν ιγ οὖσαι· οἱ διὰ παντὸς μαινόμενοι· οἱ ἐν αἰχμαλωσίᾳ ὄντες [9])· καὶ οἱ ὑπεξούσιοι, ἄνευ τῶν ἰδιοκτήτων αὐτῶν [10]) πραγμάτων, εἰς δὲ τὰ ἐκ τῶν γονέων ἐπιδοθέντα αὐτοῖς ὀνόματι προικὸς μὴ ἔχειν αὐτοὺς ἄδειαν διατίθεσθαι [11])· καὶ ὁ ἐκ γεννητῆς [12]) κωφὸς καὶ ἄλαλος· οἱ δὲ ἔκ τινος ἀσθενείας τοιούτοις νοσήμασι περιπίπτοντες, γράμματα γινώσκοντες, ὑπογράφοντες [13]) ἰδιοχείρως διατιθέσθωσαν.

βʹ. Ἔγγραφος γίνεται διαθήκη ἐν [14]) ἑνὶ καὶ τῷ αὐτῷ καιρῷ ὑπὸ ζ ἀξιοπίστων μαρτύρων ἐπὶ τούτῳ [15]) προσκληθέντων καὶ ἐν αὐτῇ [16]) κατὰ ταὐτὸν ὑπογραφόντων καὶ σφραγιζόντων, τοῦ διατιθεμένου ὀφείλοντος διὰ τῆς ἰδίας ὑπογραφῆς ἢ διὰ χειροχρήστου [17])

24) LY: εἰ.
25) Y: ἤ. Z: ἐάν.
26) Y: ἐπιβουλεύσῃ.
27) L: πληρωθῇ.

1) A rubricam mutilatam exhibet, sic: περὶ τῶν κεκωλυμένων προσώπων.
2) B: ἐγγράφως καὶ ἀγράφως. C verba καὶ ἀγρ. non habet.
3) BLZ: κεκώλυνται.
4) Y non habet.
5) In N deficit.
6) L: ἀνήλικες. Y: ἄνηβοι.
7) Z: non habet, L vero καί pro τουτέστιν.
8) LYZ: ἄῤῥενες ἥττονες τῶν ιεʹ ἐτῶν, sine ὄντες.
9) Haec LYZ inferius habent.
10) L praetermittit.
11) L: τοῦ διατ. Et hic addit: οἱ ἐν αἰχμ. ὄντες. Cf. not. 9.
12) N: γεννητοῖς.
13) Z: καὶ ὑπογρ.
14) Def. in Y.
15) Y: τοῦτο.
16) L verba ἐν αὐτῇ omittit.
17) Sic omnes praeter L, qui scribit χειροχρίστου, quippe de signo crucis manu faciendo cogitans. Sed cf. *Ducange* s. h. v.

τὸ ὄνομα τοῦ κληρονόμου ἐν αὐτῇ ὑποσημειώσασθαι [18]), μὴ ἐμφαίνοντος τοῖς μάρτυσιν, εἴ γε καὶ [19]) βούλεται, τὰ τῆς διατυπώσεως αὐτοῦ.

γ΄. Ἄγραφος συνίσταται διαθήκη ὅτε ζ [20]) μαρτύρων ἅμα εὑρισκομένων [21]) τὴν αὐτοῦ ὁ διατιθέμενος πεποίηται [22]) βούλησιν.

δ΄. Εἰ δὲ ἐν ᾧ τις διατίθεται τόπῳ ἢ ἐγγράφως ἢ ἀγράφως, ζ ἐπὶ τὸ αὐτὸ [23]) μὴ εὑρίσκωνται [24]) μάρτυρες, καὶ ἐπὶ ε καὶ ἐπὶ γ διατιθέσθω καθ' ἑαυτόν [25]). εἰ δὲ καὶ τρεῖς μὴ [26]) εὑρεθῶσιν, ἄκυρον τοῦ διατιθεμένου ὑπάρχειν τὴν βούλησιν.

έ. Τῆς δὲ [27]) διαθήκης, καθὼς [28]) εἴρηται, ἐντελῶς γινομένης [29]), ἐὰν [30]) οἱ γονεῖς τὰ ἑαυτῶν γνήσια [31]) τέκνα ἢ καὶ ἓν αὐτῶν [32]) ἐάσωσιν αμνημόνευτον, τηρείτωσαν οἱ ακροαταί, καὶ εἰ πολλάκις εὑρεθῶσιν ἐνυβρίσαντα τοῖς γονεῦσιν [33]) ἢ καὶ ἕτερόν τι πρὸς λῆξιν [34]) αὐτῶν ἐνδειξάμενα [35]), μενέτω ἀπαρασάλευτος τῶν γονέων ἡ διατύπωσις. εἰ δὲ καὶ μετὰ τὴν τῆς διαθήκης ποίησιν ἐπιγεννηθῇ αὐτοῖς βρέφος ἐγκυμονούμενον [36]), αἱ μὲν ἐλευθερίαι καὶ τὰ λεγάτα κατὰ τὴν τοιαύτης [37]) διαθήκης κρατείτωσαν δύναμιν, τὸ δὲ γεννώμενον συνερχέσθω [38]) τοῖς λοιποῖς ἀδελφοῖς [39]) καὶ συγκληρονομείτω [40]).

ς΄. Ἐάν τις ἔχων ἕνα γνήσιον υἱὸν [41]), πρὸς λῆξίν [42]) τι [43]) τῶν γονέων ἐργάσηται καὶ ἐν τῷ γήρει ἀπρονοήτους ἐῶν αὐτούς, προσλάβῃ πρόσωπον ἕτερον ἐξυπηρετοῦν αὐτοὺς [44]), καὶ ὡς ὑπ' αὐτοῦ εὐεργετηθέντες κληρονόμον ἐγκαταλιπεῖν αὐτὸν [45]) τῆς οἰκείας ἐθελήσωσιν [46]) ὑποστάσεως, ἐῤῥωμένην αὐτῶν ὑπάρχειν τὴν βούλησιν.

18) Y: ἀποσ. L: ἀποδηλώσασθαι.
19) N: εἴ τι. Z: εἴ γε. L: εἰ καί. Y ut in textu.
20) LYZ: ἐπὶ ζ. Rectius.
21) Y: εὑρισκόμενος. Non male.
22) Y: φανερώσῃ. Z: ποιῆται.
23) Verba ἐπὶ τὸ αὐτὸ LYZ non habent.
24) LYZ: εὑρίσκονται.
25) L: διατιθέσθωσαν τὰ καθ' ἑαυτούς.
26) LZ: παρὰ τῶν γ΄ pro τρεῖς μή.
27) Def. in L.
28) LZ: καθά.
29) LY: γενομ.
30) Iidem: εἰ.
31) Hoc verbum LZ non habet.
32) Z: ἐξ αὐτῶν.
33) LZ: τοὺς γονεῖς.
34) L: πλῆξιν. Z: ἑτέραν πρόσπληξιν.
35) Z: ἐνεδείξαντο.
36) Y: ἢ καταλειφθῇ ἐγκυμονούμενος. Z: βρέφος ἢ βρέφη ἐγκυμονούμενα.
37) L: τῆς τοι. δ. Z: τῆς διαθ. Y: κατὰ τὴν διαθήκην.
38) Z: εἰσερχ. Vallic. F, 47 et L: συνεισερχ.
39) Def. in L.
40) Z: ἴσα κληρονομείτωσαν.
41) L: ἓν γνήσιον τέκνον. Vallic. F, 47 et Z similiter τέκνον, sed omisso ἕν.
42) L: ὃ πρὸς πλῆξιν. Z: καὶ πρόσπληξιν. Etiam Vallic. F, 47 πλῆξιν habet.
43) Z: τινα. L non habet.
44) Z: προσδραμὼν ἐξυπηρετήσει αὐτοῖς. L: προσδράμῃ δὲ ἕτερον πρόσ. οἱονοῦν ὑπηρετοῦν αὐτοῖς. Etiam Vallic. F, 47 προσδράμει.
45) L: αὐτό.
46) L et Vallic. F, 47 θελ. — Totus hic locus ita parum procedit, ut fortasse inter ἐργάσηται et καὶ ἐν τῷ γήρει nonnulla (de parentum praeteritione) excidisse statuendum sit.

ζ'. Πᾶς κληρονόμος εἴτε [47]) ἐξ ἐγγράφου διατυπώσεως [48]) ἢ καὶ δι' ἀγράφου παρασυρμὸν [49]) καὶ [50]) ὑπέρθεσιν [51]) μέχρις ἐνιαυτοῦ ποιῶν καὶ τὰ τῆς βουλήσεως μὴ πληρῶν, εἰ μὲν τέκνον ἢ ἔγγονος [52]) τοῦ τετελευτηκότος [53]) ὁ τοιοῦτος [54]) ὑπάρχοι [55]), τὴν ἐποφειλομένην αὐτῷ νόμιμον καὶ μόνον κομιζέσθωσαν [56]) μοῖραν. ἡ δὲ νόμιμος μοῖρα ἐστὶν [57]) ἕως δ̅ παίδων τὸ τρίτον μέρος τῆς ὑποστάσεως, ἀπὸ δὲ ε̅ καὶ ἄνω τὸ ἥμισυ. εἰ δὲ [58]) ἕτερός τις συγγενής ἐστι, τῆς τοῦ διατιθεμένου παντελῶς ἐκπιπτέτω περιουσίας, καὶ ταῦτα εἰς τοὺς ἐαθέντας αὐτῷ συγκληρονόμους ἢ [59]) λεγαταρίους ἢ καὶ ἑτέρους συγγενεῖς περιέρχεσθαι [60]). εἰ δὲ ξένον πρόσωπόν ἐστιν ὁ κληρονόμος ὁ τὰ τῆς τοιαύτης διατυπώσεως μὴ πληρῶν, τῆς ἁπάσης διακατοχῆς γινέσθω ἀλλότριος.

ή. Εάν τις ἐν πολέμῳ πληγεὶς καὶ [61]) ἐν ὁδῷ περιπατῶν πρὸς τὸ θανεῖν ἐγγίσῃ [62]) καὶ τὰ [63]) καθ' ἑαυτὸν βουληθείη [64]) διατυπῶσαι, ἐπ' ἀμφοτέροις δὲ αὐτῶν [65]) νομικὸς ἢ ἕτερός τις μὴ εὑρεθῇ ἐπιστάμενος γράμματα, δι' ζ̅ ἢ ε̅ ἢ γ̅ μαρτύρων τὴν οἰκείαν ποιείτω βούλησιν· ἐπεὶ [66]) καὶ β̅, ἐὰν εὑρεθῶσι [67])· τῆς τούτων [68]) δηλονότι ὑπὸ [69]) ἀκροατῶν δοκιμαζομένης [70]) προλήψεως.

ΤΙΤΛΟΣ ΕΚΤΟΣ.

Περὶ τῶν ἐξ ἀδιαθέτου [1]) κληρονομιῶν [2]) καὶ λεγάτων καὶ περὶ τῶν ἐξ ἀχαριστίας [3]) ἐκπιπτόντων [4]).

ά. Ἐάν τις ἀδιάθετος τελευτήσει καὶ ὕπεισιν αὐτῷ τέκνα ἢ καὶ ἔγγονα, ταῦτα κληρονομείτωσαν. εἰ δὲ ὑπάρχει [5]) τῷ τελευτή-

47) Def. in L.
48) LZ: ἢ καὶ ἀγρ. διατυπ.
49) L non habet.
50) Z: ἢ καί.
51) N: ὑπόθεσιν.
52) LZ: ἔγγονον.
53) Z: τελευτήσαντος.
54) Deest in LZ.
55) LZ: ὑπάρχει.
56) L: κομίζεται. Z: κομιζέσθω.
57) Def. in L.
58) Z addit: καί.
59) Def. in L. Z: καί.
60) L: περιερχέσθω. Z: περιερχέσθωσαν.
61) Z: ἤ. L: ἢ καί.
62) LZ: ἐγγίσει.
63) N non habet.
64) LZ: βουληθῇ.
65) Def. in L. Z: ἐν αὐτοῖς simpliciter habet.
66) L: ἐπί.
67) Hic aliquid excidisse videtur: puta ἀρκοῦσιν. Vallic. F, 47 etiam particulam ἐάν omittit.
68) N addit δέ.
69) Vallic. F, 47 ἐπί.
70) L: δεδοκιμασμένης.
1) AB: ἀδιαθέτων.
2) AB: κληρονόμων.
3) A: ἀγχιστείας. B: εὐχαριστείας.
4) N et Ἰβηρίτης 21 addunt κληρονομίας.
5) L: ὑπάρχῃ.

σαντι πατὴρ καὶ μήτηρ, πάππος καὶ μάμμη, ἢ καὶ ἐπέκεινα, οὗτοι κληρονομεῖν τῶν [6]) τέκνων καὶ ἐγγόνων ὑπόντων οὐ δύνανται.

β. Εἰ δὲ καὶ οὐκ εἰσὶ τέκνα εἴτε [7]) ἔγγονα, ἔστι δὲ πατὴρ καὶ μήτηρ, πάππος [8]) καὶ μάμμη, οἱ [9]) ἐγγύτεροι κληρονομείτωσαν.

γ. Ἐὰν υἱὸς ἢ [10]) θυγάτηρ τῶν γονέων ζώντων τελευτήσωσιν ἄτεκνοι καὶ ἀδιάθετοι, ἀδελφοὺς [11]) ἢ καὶ [12]) αδελφὰς ὁμοπατρίους καὶ ὁμομητρίους ἔχοντες, τὴν τούτων κληρονομίαν εἰς [13]) τοὺς γονεῖς ἐπανάγεσθαι, καὶ μὴ ἔχειν ἄδειαν τοὺς ἀδελφοὺς [14]) περὶ [15]) τούτων [16]) λέγειν τί. εἰ δὲ γονεῖς οὐχ ὕπεισιν, ἔστι δὲ πάππος καὶ μάμμη, ἅμα τοῖς ὁμοπατρίοις καὶ ὁμομητρίοις [17]) ἀδελφοῖς συγκληρονομείτωσαν [18]).

δ. Εἰ δὲ οὔτε πάππος οὔτε μάμμη, οὐδὲ [19]) ὁμοπάτριοι καὶ ὁμομήτριοι ἀδελφοὶ ὕπεισι τῷ τελευτήσαντι, τότε οἱ ἐξ ἑνὸς γονέως ἀδελφοὶ τῇ κληρονομίᾳ ὑπεισερχέσθωσαν [20]).

ε. Εἰ δέ, καθὼς [21]) εἴρηται, οὐχ ὕπεισιν ἀδελφοί, εἰσὶ [22]) δὲ συγγενεῖς, οἱ ἐγγύτεροι κληρονομείτωσαν.

ς. Εἰ δὲ οὔτε [23]) συγγενεῖς εἰσίν, ἔστι δὲ γυνὴ τοῦ τελευτήσαντος, τὸ μὲν ἥμισυ μέρος ἁπάσης αὐτοῦ τῆς περιουσίας ἐκείνη κληρονομείτω, τὸ δὲ ἕτερον ἥμισυ μέρος τῷ δημοσίῳ εἰσκομίζεσθαι [24]). εἰ δὲ οὔτε [25]) γυνὴ τῷ τελευτήσαντι ὕπεστι, τότε τὴν ἅπασαν τούτου περιουσίαν ὡς ἀκληρονόμητον τῷ δημοσίῳ [26]) εἰσκομίζεσθαι [27]).

ζ. Ἐάν τις τελευτῶν ὁρίσῃ λεγάτα, μετὰ τὴν πρόσφορον προδήλως ἔξοδον [28]), ταῦτα διδόσθωσαν, καὶ μὴ ἔχειν ἄδειαν τὸν κληρονόμον εἰς ἑτέραν πρόφασιν τὸ ἐαθὲν λεγάτον ἐξοδιάζειν, ἀλλὰ τοῦτο [29]) ἀποκαθιστᾶν τῷ λεγατευθέντι.

η. Ἐὰν ὁ κληρονόμος εἴδησιν τῆς ἐγκαταλιμπανομένης αὐτῷ ὑποστάσεως ἔχῃ [30]), καὶ οἶδε χρέη προηγεῖσθαι, ἐπὶ ἀξιοπίστων μαρτύρων τὴν τοιαύτην ἀναγραφέσθω [31]) ὑπόστασιν, καὶ φανερούσθω ταύτης ἡ δύναμις· καὶ πρῶτον μὲν ἱκανούσθωσαν [32]) οἱ χρεωφειλέται, καὶ εἶθ' οὕτως τὸ περιττεῦον ἐχέτω ὁ κληρονόμος.

6) Deest in Z.
7) Z: οὔτε.
8) L: καὶ π.
9) L non habet.
10) L: καί.
11) L: καὶ ἀδ.
12) L: ἤ, Z: καί omittit.
13) L: ἐπί.
14) LZ: τὰ ἀδέλφια.
15) L: ἐπί.
16) LZ: τούτου.
17) Verba καὶ ὁμ. nec L nec Z agnoscunt.
18) LZ: κληρ.
19) LZ: οὔτε.
20) Z: εἰσερχ.
21) LZ: καθά.
22) L: εἶεν.
23) L: οὐδέ.
24) L: εἰσκομιζέσθω. Z: κομιζέσθω.
25) L: οὐδέ.
26) L addit: ὡς εἴρηται.
27) N: εἰσκομιζέσθω. Z: τὸ δημόσιον εἰσκομίζεται.
28) Sic NYZ. L: εἴς τινα ῥητὴν ἔξοδον.
29) Y: καὶ τοῦτο.
30) LZ: ἔχει.
31) Y: —έσθωσαν. L: —έτω.
32) LYZ: πληρούσθωσαν.

θ'. Εἰ δὲ καὶ[33]) αὐθαδῶς καὶ[34]) ὡς ἔτυχεν ὑπεισερχόμενος[35]) τῆς αὐτῆς ὑφάψεται[36]) ὑποστάσεως, καὶ φανῇ μερικῶς τινα τῶν χρεῶν ἀποδοὺς[37]), υποκείσθω πληροῦν καὶ τοὺς λοιποὺς ως διὰ προσφόρου ἀναγραφῆς τὴν[38]) τῆς τοιαύτης ὑποστάσεως μὴ γνωρίσας κατάληψιν.

ι'. Εἰ δὲ ἐσχάτως ἀναφυῶσι τὰ χρέη, τοῦ κληρονόμου τὴν περὶ τούτου[39]) ἄγνοιαν κεκτημένου, διὰ μαρτύρων ἢ καὶ[40]) δι' ὅρκου τὸ εὑρεθὲν τῇ ὑποστάσει[41]) καὶ περιελθὸν εἰς αὐτὸν παριστᾶν αὐτὸν, καὶ πρὸς αὐτὸ[42]) ἀποκοπτέτω μετὰ[43]) τῶν χρεωφειλετῶν αὐτοῦ[44]), καὶ μηδὲν περαιτέρω τοῦτον ἀπαιτεῖσθαι.

ια'. Εἰ[45]) κληρονόμος οἱοσδήποτε ἢ καὶ λεγατάριος[46]) φανῇ ἀποκρύψας τὴν καταλειφθεῖσαν αὐτῷ διαθήκην, καὶ ἐν ὑστέρῳ[47]) αὕτη[48]) παρ' ἑνὶ αὐτῶν[49]) εὑρεθῇ, ἐκπιπτέτω ὁ μὲν κληρονόμος τῆς κληρονομίας, ὁ δὲ λεγατάριος τοῦ λεγάτου.

ιβ'. Εἰ δέ τις τελευτῶν τῷ οἰκείῳ κληρονόμῳ ἀγράφως ἢ[50]) καὶ χωρὶς μαρτύρων τὴν ἰδίαν καταλείψει[51]) ὑπόστασιν καὶ τὴν ταύτης ἐκείνῳ ἐντελεῖται[52]) διοίκησιν, καὶ ἀναφυῇ τις ἐγκαλῶν λεγάτον αὐτῷ[53]) ἐαθῆναι παρὰ τοῦ τελευτήσαντος, παραστῆσαι δὲ διὰ μαρτύρων ἢ καὶ ἑτέρως πως ἀληθείας τὰ παρ' αὐτοῦ λεγόμενα ἔχεσθαι οὐ δύναται[54]), διδόσθω τῷ λόγῳ τοῦ κληρονόμου.

ιγ'. Ἐκπίπτουσι δὲ τῆς νομίμου κληρονομίας δι' ἀχαριστίαν[55]) οἱ μὲν παῖδες, ἐὰν[56]) τοὺς ἰδίους τύψωσι γονεῖς, ἐὰν βαρέως αὐτοὺς ὑβρίσωσιν ἢ καὶ εἰς ἔγκλημά[57]) κατηγορήσωσιν αὐτοὺς ἢ καὶ συκοφαντήσωσιν, ἐὰν φαρμάκοις ὡς φάρμακός τις αὐτῶν[58]) συναναστρέφηται[59]), ἐὰν ἐπιβουλεύσωσιν[60]) οἱῳδήποτε τρόπῳ τῇ ζωῇ αὐτῶν, ἐὰν τῇ μητρυιᾷ ἢ τῇ[61]) παλλακῇ τοῦ πατρὸς αὐτῶν σωματικῶς τις ἐξ[62]) αὐτῶν μιγῇ[63]), ἐὰν τοὺς γονεῖς φυλακιζομένους οἱ ἄῤῥενες παῖδες προτραπέντες[64]) μὴ ἀντιφωνήσωσιν[65]), ἐὰν ἢ

33) Deest in LYZ.
34) N non habet.
35) N: ἐπεισερχ.
36) YZ: ἐφάψηται.
37) Z: ἀποδιδούς.
38) Articulus deest in LYZ.
39) Z: τούτων.
40) Z: ἢ διά.
41) L: τῆς ὑποστάσεως.
42) L: αὐτῷ. YZ: αὐτόν.
43) L: τά.
44) N: αὐτῶν.
45) YZ: ἐάν.
46) LZ: κλ. ἢ λεγ. οἱοσδ.
47) Z: ὑστέροις.
48) YZ: ταύτη.
49) LYZ: παρ' αὐτῷ.
50) Def. in LZ.
51) L: καταλείψῃ.
52) L: ταύτης ἐντελῆ.
53) Z: ἑαυτῷ.
54) N: δύνανται.
55) Z: ἀχαριστίας.
56) L: εἰ. Similiter in sequentibus.
57) L: ἢ ἐγκλήματα.
58) N: αὐτοῖς.
59) L: συναναστρέφει.
60) Z: ἐπιβουλευθήσονται.
61) Def. in L.
62) LY non habent.
63) Z: ἐπιμ.
64) Y: καὶ προτρ.
65) Z: ἀντιφωνήσονται.

θυγάτηρ μὴ αἱρῆται[66]) νομίμως συζευχθῆναι[67]) βουλομένων τῶν[68]) γονέων ἀλλ' αἰσχρῶς διάγειν, ἐὰν μαινομένων[69]) τῶν γονέων μὴ προαιρῶνται[70]) οἱ παῖδες ἀντιλαμβάνεσθαι[71]) αὐτῶν[72]).

ΤΙΤΛΟΣ ΕΒΔΟΜΟΣ.

Περὶ ὀρφανῶν καταλειφθέντων καὶ τῆς τούτων κουρατωρείας[1]).

α΄. Εἰ[2]) ἔκ τινων ὀρφανοὶ καταλειφθῶσι καὶ νήπιοι, καὶ ὕπεστι τούτοις ὑπόστασις, εἰ μὲν οἱ γονεῖς αὐτῶν τελευτῶντες ἐγγράφως ἢ καὶ ἀγράφως[3]) κουράτωρα τούτοις παρείασαν[4]), φυλαττέσθω ἐκείνων[5]) ἡ βούλησις. εἰ δὲ[6]) μή, οἱ εὐαγεῖς οἶκοι τὴν τούτων κουρατωρείαν ἐχέτωσαν, ἐν μὲν τῇ θεοφυλάκτῳ ταύτῃ πόλει τὸ ὀρφανοτροφεῖον καὶ οἱ λοιποὶ εὐαγεῖς οἶκοι καὶ αἱ ἐγνωσμέναι[7]) ἐκκλησίαι, ἐν δὲ ταῖς ἐπαρχίαις τὰ ἐπισκοπεῖα, τὰ μοναστήρια καὶ αἱ ἐκκλησίαι, μέχρις ἂν[8]) πρὸς γάμου μοῖραν[9]) καταντῶντες οἱ κληρονόμοι ζευχθῶσιν[10]). εἰ δὲ[11]) πρὸς γάμον ἐλθεῖν οὗτοι[12]) οὐ βούλονται, μέχρις κ̄ ετοῦς χρόνου τοὺς αὐτοὺς εὐαγεῖς οἴκους καὶ[13]) τὰ μοναστήρια καὶ τὰς ἐκκλησίας[14]) τὰς τοιαύτας ὑποστάσεις παραφυλάττειν, καὶ εἶθ' οὕτως αὐτὰς[15]) ἀνελλιπῶς τοῖς εἰρημένοις κληρονόμοις ἀποδιδόναι. οὐ γὰρ ἀρεστὸν τῷ θεῷ ἐστι τοῦ[16]) καθάπερ[17]) μέχρι τοῦ νῦν κουράτωρας ἑτέρους προβάλλεσθαι[18]), καὶ τὰ τῶν ὀρφανῶν κατεσθίειν, κἀκεῖνα[19]) προσαιτεῖν. οἱ γὰρ αὐτοὶ[20]) εὐαγεῖς οἶκοι καὶ αἱ τοῦ θεοῦ ἐκκλησίαι, οἱ καὶ τῶν ἀλλοτρίων[21]) προϊστάμενοι καὶ τοὺς ξένους ὡς ἰδίους κατὰ τὴν ἐντολὴν τοῦ κυ-

66) LZ: ἑλεῖται, Y: ἕληται.
67) LYZ: ζευχθ.
68) Def. in N.
69) Y: πενομένων.
70) LZ: ἑλῶνται, Y: ἕλοιντο.
71) LY: ἀντιλαβέσθαι.
72) Z: αὐτούς.
1) Sic N et Ἰβηρίτης 21. A: π. παίδων ὀρφ. καὶ τ. τ. κουρατορίας. B: π. κουρατόρων. C: π. παίδων ὀρφ. καὶ περὶ κουρατόρων.
2) B: Ἐάν. Sic et YZ.
3) Verba ἢ καὶ ἀγρ. LZ non habent.
4) LY: παρέασαν. Z: ἐδιώρισαν.
5) LZ: τούτων.
6) LYZ καὶ addunt.
7) L: γεγνωρισμέναι. Y: ἐγνωρισμέναι.
8) LYZ: ὅτου.
9) YZ: χῆραν, L: καιρόν. Istud χῆραν (s. χῆρα) fortasse genuinum est.
10) Z: ζευχθήσονται.
11) LY καὶ addunt.
12) LZ: οἱ τοιοῦτοι.
13) Def. in LY.
14) Z: τὰ ἐπισκοπεῖα.
15) Y: ταύτας. Etiam L: ταύτας, sed post ἀνελλ. Z: ταῦτα, sed ante ἀποδιδ.
16) L: τό.
17) Y καὶ addit.
18) Y: προσβλήσκεσθαι. Z: προσβλήκεσθαι.
19) L: κἀκείνους.
20) L non habet.
21) L: ἄλλων.

ρίου ξενοδοχοῦντές τε [22]) καὶ ὑποδεχόμενοι, πολλῷ πλέον [23]) τὰ τῶν ὀρφανῶν φυλάξουσι [24]) καὶ τὴν [25]) τούτων ἀποκατάστασιν καιρῷ τῷ ἰδίῳ ποιήσουσιν.

ΤΙΤΛΟΣ ΟΓΔΟΟΣ.

Περὶ ἐλευθεριῶν καὶ ἀναδουλώσεων [1]).

α΄. Ἐπιτίθεται οἰκέτῃ ἐλευθερία [2]), ὁπόταν παρὰ τοῦ ἰδίου κυρίου δημοσιευθῇ εἴτε [3]) ἐν ἐκκλησίᾳ ἢ καὶ ἐπὶ φίλων πέντε ἐπὶ τούτῳ προσκληθέντων ἢ καὶ ε μὴ εὑρισκομένων καὶ μέχρι τριῶν [4]) ἀπογραφομένων [5]) τε [6]) καὶ ἀποτιθεμένων ἐπὶ πράξεως ὑπομνημάτων τὴν οἰκείαν εἴδησιν· εἴτε δι᾽ ἐπιστολῆς τοῦ κυρίου αὐτοῦ ε μαρτύρων ἢ καὶ γ, ὡς εἴρηται, ὑπογραφὰς ἐπὶ τούτῳ [7]) ἐχούσης. καὶ [8]) ἐν διαθήκῃ [9]) ἐγγραφομένη οἰκέτῃ δίδοται.

β΄. Ἀλλὰ καὶ ὅτε [10]) βουλήσει τοῦ τελευτήσαντος ἢ [11]) παραχωρήσει τοῦ κληρονόμου ὁ οἰκέτης ἐν τῇ κεφαλῇ παννίον [12]) φορέσας τῇ τοῦ τελευτήσαντος ἐπακολουθήσει [13]) κηδείᾳ.

γ΄. Ἐὰν [14]) ὁ κύριος τὸν ὑποκείμενον αὐτῷ [15]) δοῦλον ἐλευθέρῳ ζεύξῃ [16]) προσώπῳ.

δ΄. Ἢ πάλιν ἐὰν ὁ κύριος αὐτοῦ ἢ καὶ [17]) ἡ τούτου κυρία ἢ τὰ αὐτῶν [18]) τέκνα εἰδήσει καὶ [19]) ἐπιτροπῇ τῶν γονέων ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος αὐτὸν δέξωνται [20]), ἢ καὶ [21]) ἐὰν εἰδήσει καὶ βουλῇ [22]) τοῦ κυρίου αὐτοῦ [23]) κληρικὸς ἢ μοναχὸς γένηται [24]). αἱ δὲ εἰρημέναι ἐλευθερίαι ἀπεντεῦθεν ἤδη ἢ [25]) καὶ ὑπὸ ὅρον παρὰ τῶν κυρίων [26]) δίδονται.

ε΄. Εἰ δέ τις ἐκ τούτων τῶν τρόπων ἐλευθερίᾳ τιμηθεὶς ἐν δουλείᾳ κατέχεται, προσερχέσθω τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ καὶ

22) Def. in LYZ.
23) Y: μᾶλλον.
24) N: φυλάξωσι.
25) LZ: τούτων τήν.

1) Verba καὶ ἀναδ. in B desunt.
2) L: ὁ οἰκέτης ἐλευθερίᾳ.
3) Def. in LZ.
4) LZ: εἴτε ἐπὶ ζ ἢ ε ἢ καὶ γ φίλων ἐπὶ τοῦτο προσκλ. καί.
5) L: ὑπογρ.
6) LYZ non habent.
7) LZ: τοῦτο.
8) LZ: ἤ.
9) Y addit δέ.
10) LZ: ὅταν.
11) LYZ: ἢ καί.
12) N: πανίον. Z: πάνην. Y: πάννην.
13) LZ: κηδ. ἐπακ.
14) L: Καὶ ἐάν.
15) LZ: αὐτοῦ.
16) LZ: ζεύξει.
17) Def. in LZ.
18) Y: ἑαυτῶν.
19) Y: τινὰ ἢ καί.
20) LZ: ἀναδέξ.
21) LZ: ἢ καὶ non habent.
22) LY: βουλήσει.
23) LZ: τῶν κυρίων αὐτῶν.
24) Iidem: κληρικοὶ ἢ μοναχοὶ γένωνται.
25) Deest in LYZ.
26) Iidem addunt: αὐτῶν.

τοῖς προσφόροις ἄρχουσι, καὶ παρ' αὐτοῖς τὰ τῆς ἐπιτεθείσης αὐτῷ ἐλευθερίας δεικνύτω 27) καὶ ταύτης 28) ἀπολαυέτω 29).

ς'. Ὁ ἐκ τῶν ἐχθρῶν ἐλεύθερον ἀγοράζων αἰχμάλωτον 30) καὶ ἐν τῷ ἰδίῳ οἴκῳ ἀποκαθιστῶν αὐτὸν, εἰ μὲν εὐπορεῖ τὰς συμφωνηθείσας 31) μεταξὺ αὐτῶν πληρῶσαι τιμὰς, ἀπολυέσθω ἐλεύθερος 32). εἰ δὲ ἀπορεῖ, ἐχέτω αὐτὸν ὁ ἀγοράσας μίσθιον μέχρις ἂν πληρωθῇ, ἅπερ ἐστίχησεν, ὁριζομένου δηλονότι ὑπὸ ἀκροατῶν 33) τοῦ ὀφείλοντος ἑκάστῳ ἔτει 34) ὑπὲρ μισθῶν 35) τῷ ἀγορασθέντι λογίζεσθαι.

ζ'. Οἱ ἀπελεύθεροι, κἂν στρατευόμενοι ὦσιν, ἐξ ἀχαριστιῶν τοιούτων καταδουλοῦνται· ἐὰν τοὺς κυρίους ἤγουν 36) τοὺς ἐλευθερωτὰς αὐτῶν ἢ τοὺς αὐτῶν παῖδας τύψωσιν, ἢ ὑβρίσωσιν, ἢ ἔκ τινος ὑπερηφανίας κατ' αὐτῶν τραχηλιάσωσιν 37), ἢ καὶ 38) ὅλως μικράν 39) τινα προσκρούσεως αὐτοῖς αἰτίαν παράσχωσιν 40), ἢ ζημιώσωσιν 41), ἢ ἐπιβουλεύσωσιν 42) αὐτοῖς, εἰ 43) καὶ ἓν ἐξ αὐτῶν παρὰ ἄρχοντι ἢ δικαστῇ 44) ἀποδειχθῇ.

η'. Ὁ ὑπὸ τῶν πολεμίων αἰχμαλωτιζόμενος οἰκέτης καὶ κλάσμα τὶ ὑπὲρ τῆς πολιτείας εἰς αὐτοὺς ἐνδεικνύμενος, καὶ οὕτως ἀνθυποστρέφων, παραχρῆμα ἐλευθερούσθω 45). ὁ δὲ αἰχμαλωτισθεὶς ὑπ' αὐτῶν 46) καὶ πάλιν ἀποφυγὼν, κλάσμα τὶ 47) ὑπὲρ τῆς πολιτείας εἰς αὐτοὺς μὴ 48) ἀπεργασάμενος, ἀλλ' οὕτως ἀνθυποστρέφων, πενταετίαν δουλευέτω 49) καὶ εἶθ' οὕτως ἐλεύθερος ἀπολυέσθω 50).

θ'. Ὁ αὐτοπροαιρέτως τοῖς 51) ἐχθροῖς προστρέχων καὶ πάλιν ἐν μεταμελείᾳ 52) γενόμενος καὶ ἀποφεύγων ἐξ αὐτῶν καὶ ἀνακάμπτων 53), διότι 54) ὅλως αὐτομολήσας τούτοις προσέδραμεν, ἕως τῆς ζωῆς αὐτοῦ ἔστω δοῦλος.

27) LYZ: ἀποδεικν.
28) L: ταύτην.
29) LZ: ἀπολαβέτω.
30) Y: οἰκέτην,
31) LYZ: στιχηθείσας.
32) L: ἀπολυέτω ἐλεύθερον.
33) L: ἀκροατοῦ.
34) Z: ἑκάστου ἔτους.
35) L: μισθοῦ.
36) Def. in LZ.
37) LZ addunt; ἢ μετὰ τὸ ταφῆναι τὸν ἑαυτοῦ κύριον ἐρχόμενος μὴ πεσὼν προσκυνήσῃ τὸν τάφον.
38) Deest in LZ.
39) L: οὐ μικρ.
40) LZ: πρόσκρουσιν αὐτοῖς παράσχῃ.
41) LZ: ζημιώσῃ.
42) LZ: ἐπιβουλεύσηται.
43) Deest in LZ.
44) LZ: παρὰ τῷ ἄρχοντι.
45) LZ: ἐλευθεροῦται.
46) Haec verba ὑπ' αὐτ. LZ omittunt.
47) LZ pro τὶ habent εἰς αὐτους, eaque inferius omittunt.
48) Negationem ex Y addidi. LZ: μὴ ποιησάμενος.
49) LZ: τῇ ἰδίᾳ δεσποτείᾳ δουλευσάτω.
50) In N verbum ἐλ. deest. LZ: ἐλευθερούσθω.
51) Def. in LZ.
52) Y: μεταμέλῳ. LZ: μεταμεληθείς.
53) LZ: εἰ φυγὼν ὑποστρέψει.
54) Y: διό. LZ: δι' ὧν.

ΤΙΤΛΟΣ ΕΝΝΑΤΟΣ.

Περὶ πράσεως καὶ ἀγορασίας, ἐγγράφου καὶ ἀγράφου [1]), καὶ ἀῤῥαβώνων αὐτῶν.

α΄. Ἔγγραφος καὶ ἄγραφος πρᾶσις καὶ ἀγορασία ἐφ᾽ [2]) οἱῳδήποτε εἴδει καὶ πράγματι τῆς τιμῆς στιχουμένης συνίσταται ἀδόλῳ τῶν συναλλασσόντων συμφωνίᾳ [3]). ἡνίκα οὖν ἡ τιμὴ τῷ πράτῃ, τὸ δὲ εἶδος τῷ ἠγορακότι [4]) δοϑῇ, τὴν τοιαύτην πρᾶσιν ἐκ μεταμέλου ἑνὸς [5]) αὐτῶν μὴ ἀνατρέπεσϑαι. δεῖ γὰρ τὸν ἀγοραστὴν πρὸ τοῦ συναλλάγματος δι᾽ ἐρευνῆς γίνεσϑαι ἀκριβοῦς [6]) καὶ οὕτω συναλλάσσειν. εἰ δὲ ὡς εἰκὸς μετὰ τὴν πρᾶσιν [7]) εὑρεϑῇ τὸ πραϑὲν σῶμα ἐλεύϑερον ἢ καὶ δαιμονιῶν [8]), τοῦτο ἀναδίδοσϑαι.

β΄. Ἐὰν ἀῤῥαβὼν ἐν οἱῳδήποτε πράγματι ἢ συναλλάγματι δοϑῇ [9]) ὡς ἀτελοῦς [10]) ὄντος τοῦ συναλλάγματος ἐξ ἀγνωμοσύνης μὲν τοῦ δεδωκότος τὸν ἀῤῥαβῶνα [11]), ἐν κέρδει γενέσϑω τοῦ λαβόντος [12]) ὁ δοϑεὶς ἀῤῥαβὼν, ἐκ διαστροφῆς δὲ τοῦ δεξαμένου τὸν ἀῤῥαβῶνα [13]), ἀναδιδόσϑω μετὰ καὶ ἄλλου τοσούτου τῷ δεδωκότι αὐτόν.

ΤΙΤΛΟΣ ΔΕΚΑΤΟΣ.

Περὶ δανείου ἐγγράφου καὶ ἀγράφου, καὶ τῶν διδομένων ἐπ᾽ αὐτοῖς [1]) ἐνεχύρων [2]).

α΄. Ἐάν τις ἐγγράφως ἢ καὶ [3]) ἀγράφως λογάριον [4]) ἢ ἀργύριον ἢ καὶ ἕτερόν τι εἶδος τὸ οἱονοῦν ἐν τῇ γῇ ἢ καὶ ἐν τῇ [5]) ϑαλάσσῃ δανείσηται, κατὰ τὸ στίχημα καὶ τὴν μεταξὺ αὐτῶν [6]) προϑεσμίαν ἀπολαμβανέτω ὁ δανείσας [7]) τὰ ἴδια, μὴ ἔχοντος ἄδειαν

1) C verba καὶ ἀγρ. non habet.
2) LZ: ἐπί, Y: ἐν.
3) Z: ἀδόλῳ sqq. omittit, L simpliciter ἀδόλως habet.
4) LZ: ἡ τιμὴ τοῦ πράγματος [Z: παρὰ] τῷ ἀγορακότι.
5) LZ: μεταμελουμένων.
6) L: διερευνᾶν ἐν ἀκριβείᾳ, sed in margine notat: „al. δι᾽ ἐρευνῆς γενέσϑαι καὶ ἀκριβοῦν." Et ita Z habet et Y.
7) LZ: μετὰ τοῦτο. Sed L in margine notat: „al. μετὰ τὴν πρᾶσιν."
8) L: δαιμονῶν. YZ: δαιμονιῶντα.
9) LZ: δοϑῇ ἐν οἱ. συν.
10) L: ἁπλοῦς.
11) LZ: τὸν ἀῤῥ. omittunt.
12) LZ: ὁ ἀῤῥ. τοῦ λαβ.
13) LZ: εἰ δὲ ἐξ ἀμελείας τοῦ λαβόντος οὐ πραϑῇ (L: πραχϑῇ) τὸ ἔργον εἰς τέλος.

1) NA: ἐν αὐτοῖς. C non habet.
2) A: ἐνεχείρων. — Vind. 3 addit καὶ κέρδους κοινωνίας.
3) Def. in LZ.
4) C: λογάριν, Z: λογάρην.
5) Verba τὸ — τῇ LZ omittunt.
6) LZ: ἀλλήλων.
7) LZ: δανειστής.

τοῦ δανεισαμένου ἐχθρικὴν ἐπιδρομὴν ἢ [8]) ναυάγιον θαλάσσης ἢ καὶ ἑτέραν τὴν οἱανοῦν [9]) ἀφορμὴν πρὸς διαστροφὴν [10]) ἢ ἀναγωγὴν προτίθεσθαι τοῦ δανείσαντος [11]). ἐὰν δὲ [12]) ὁ δανεισάμενος ἐνέχυρα τέθεικε, καὶ αὐτὸς μετὰ τὴν τοῦ [13]) χρέους ἀποπλήρωσιν ἀνελλιπῶς ἀναλαμβανέτω [14]) τὰ ἴδια, μὴ δυναμένου τοῦ τὰ τοιαῦτα [15]) κατεσχηκότος ἐνέχυρα λέγειν τὶ κατὰ τοῦ δανεισαμένου [16]) ἢ ὅτι ἀπώλεσεν [17]) αὐτὰ ἢ ἑτέραν τινὰ προσφέρειν [18]) πρόφασιν, εἰ μήπω [19]) ἀποδειχθῇ [20]) τοιαύτην [21]) ὡς εἰκὸς ἐπελθεῖν συμφορὰν, ὅτε ἀπώλεσεν αὐτὰ [22]), καὶ σὺν τοῖς ἰδίοις [23]) ἀπολεσθῆναι καὶ τὰ ἀλλότρια, καὶ [24]) καθὼς [25]) λοιπὸν περὶ τούτου τηρήσουσιν [26]) οἱ ἀκροαταί.

β. Ἐάν τις δανείσῃ τινὶ καὶ κατὰ τὴν οἰκείαν ὁμολογίαν [27]) ἐκπροθεσμήσας [28]) ὁ χρεώστης μὴ ἐκπληρώσῃ, προτρεπέσθω τοῦτον ἐκ διαβασίμου ὁ χρεωστούμενος, καὶ ἐὰν μετὰ β καὶ γ προτροπάς τε [29]) καὶ διαμαρτυρίας μὴ θελήσῃ ὁ χρεωστῶν παῤῥησιασθῆναι [30]) ἢ τὸ ἀπόχρεων ποιῆσαι, αὐθεντίαν ἐχέτω ὁ τὰ ἐνέχυρα κατέχων ὑπὸ ἀκριβῆ δημοσίαν ἐκτίμησιν ἐγγράφως [31]) διὰ ταβουλλαρίων ἢ καὶ ἐκδίκων [32]) ἀποσημειουμένων [33]) ταῦτα διαπιπράσκειν, καὶ ἐκ τῶν τιμημάτων τὰ κεχρεωστημένα [34]) αὐτῷ παρακρατεῖν, καὶ τὸ ὡς εἰκὸς [35]) περιττευθὲν [36]) ἀποκαθιστᾶν τῷ χρεωστοῦντι. εἰ δὲ ἡ τῶν ἐνεχύρων δικαία διάπρασις [37]) οὐ σώζει [38]) τὴν ἐντελῆ τοῦ χρέους ἀπόδοσιν, ἀπαιτείτω [39]) τὸν χρεώστην τὸ λειπαζόμενον.

γ. Ὁ δανειστὴς ἐὰν ἐνέχυρα λάβῃ καὶ [40]) ἐπάρῃ τὰ τέκνα τῶν ἰδίων χρεωστῶν [41]) καὶ [42]) εἰς δουλικὴν ὑπηρεσίαν ταῦτα μισθώσηται, ἐκπιπτέτω τοῦ χρέους, καὶ ἄλλην τοσαύτην ποσότητα τῷ κρατηθέντι ἢ καὶ τοῖς τούτου γονεῦσι καταβαλλέτω.

8) Def. in LZ.
9) LZ: ἢ ἑτέραν τινά.
10) Verba πρὸς διαστρ. LZ non habent.
11) L: τῷ δανείσαντι.
12) Def. in LZ.
13) Def. in Y.
14) LZ: ἀπολ.
15) LZ: ταῦτα.
16) Verba ἐνέχυρα et τὶ κατὰ τοῦ δαν. in LZ desunt.
17) L: ἀπώλεσα.
18) N: προφ.
19) LZ: μήπως.
20) Y: ἀποδειχθείη.
21) L: αὐτῷ, Z: αὐτῷ τοιαῦτα.
22) Haec verba ὅτε ἀπ. αὐτὰ LYZ non habent.
23) LY: τῷ ἰδίῳ, Z: τῶν ἰδίων.
24) Deest in YZ.
25) L addit δεῖ.
26) LZ: τηρείτωσαν.
27) LYZ: ὁμολόγησιν.
28) LY: ἐκ προθεσμίας. Z haec omittit.
29) Def. in LZ.
30) LZ: παρουσιασθ.
31) Deest in Y.
32) L: ἐκδίκου. Z verba ἢ καὶ ἐκδ. omittit.
33) L: ὑποσημειωμένην. Z: ἀποσημειωμένου.
34) LZ: χρεωστούμενα.
35) Verba ὡς εἰκὸς in LZ desunt.
36) YLZ: περιττεῦον.
37) YLZ: πρᾶσις.
38) L: σώσει.
39) Z: ἀπαιτεῖ.
40) Y: ἢ καί. LZ: εἰ καί.
41) L: χρεωφειλέτων.
42) Y: ἢ καί.

δ΄. Ἐάν τις ἔχων γυναῖκα δανείσηται ἔκ τινος [43]) καὶ μὴ εὐπορῇ τὴν τούτων [44]) ποιῆσαι [45]) ἀπόδοσιν, ἀνέγκλητος ἔστω [46]) ἡ γυνὴ αὐτοῦ τοῦ [47]) ταῦτα ἐκ τῆς προικὸς αὐτῆς παρέχειν [48]) τῷ δανείσαντι, εἰ μήπω [49]) εὑρεθῇ ἑκουσίως [50]) ἐν τῷ τοιούτῳ χρέει συνομολογήσασα τῷ ἀνδρὶ αὐτῆς.

ε΄ [51]). Συνίσταται κοινωνία ἐγγράφως ἢ [52]) ἀγράφως μεταξὺ δύο ἢ καὶ πλειόνων, ὁπόταν ἕκαστος αὐτῶν ἐξ ἰσότητος ἢ καὶ ὑπ' ἔλαττον [53]) τὴν οἰκείαν συνεισαγάγῃ μοίραν [54]), ἤ τινων μὲν ἐνθήκην ἑτέρων δὲ [55]) τοὺς ἰδίους [56]) μόχθους [57]) καταβαλλομένων. τὸ δὲ περιποιούμενον αὐτοῖς [58]) κέρδος, μεθ' ὑφαίρεσιν δηλονότι τῶν κεφαλαίων, κατὰ τὰ ἐν μέσῳ αὐτῶν στιχηθέντα [59]) ἐπιμερίζεσθαι [60]). εἰ δὲ συμβῇ ἐπὶ τῇ τοιαύτῃ κοινωνίᾳ τῇ ἐνθήκῃ προσγενέσθαι [61]) ζημίαν, ἕκαστον κοινωνὸν κατὰ τὴν ἰδίαν [62]) τοῦ κέρδους μοίραν καὶ αὐτὴν [63]) ἐπιγινώσκειν.

ΤΙΤΛΟΣ ΕΝΔΕΚΑΤΟΣ.

Περὶ πάσης παρακαταθήκης [1]).

α΄. Ἐάν τις δι' [2]) οἱανδήποτε πρόφασιν ἢ φόβον παραθήκην παράθηταί [3]) τινι καὶ συμβῇ τὸν ταύτην [4]) παραλαβόντα ἀρνήσασθαι [5]), ζητουμένου τοῦ κεφαλαίου καὶ ἀποδεικνυμένου αὐτοῦ ψεύστου, εἰς τὸ διπλάσιον [6]) ἀποδιδότω [7]) αὐτὰ τῷ παραθεμένῳ. εἰ δὲ καὶ δεήσει [8]) συμφοράν τινα εἴτε ἀπὸ πυρκαΐας ἢ καὶ ἀπὸ κλοπῆς

43) Verba ἔχων γυναῖκα et ἔκ τινος desunt in LZ.
44) LZ: τοῦ χρέους.
45) LZ: ποιήσασθαι.
46) Z: ἔσται.
47) Deest in N.
48) LYZ: παρασχεῖν.
49) LZ: μήπως.
50) LZ non habent.
51) N huic capiti praeponit rubricam περὶ κοινωνίας. Eandem habent YZ.
52) Y: ἢ καί, LZ: καί.
53) Y: ἐπ' ἔλαττον, Z: καὶ ἔλ., L: καὶ ἐλάττονος.
54) Y: τὴν οἰκ. εἰς ἐνθήκην συναγ. μοίραν. LZ: τὴν οἰκ. μ. εἰς ἐνθήκην εἰσαγάγει.
55) Y: ἑτέρου δὲ ἢ ἑτέρων.
56) LYZ: οἰκείους.
57) LYZ addunt καὶ ὀπέρας.
58) N: αὐτοῦ.
59) LZ: τὸ — στιχηθέν.
60) LZ: ἐπιμεριζέσθωσαν.
61) LZ: προσγίνεσθαι τῇ ἐνθ.
62) Def. in LYZ.
63) LY: ταύτην.
1) C: παραθήκης. A: περὶ παραθέσεως. B: περὶ παραθήκης παντοίου εἴδους. Ἰβηρίτης 21: π. πάσης περικαταθήκης μᾶλλον δὲ παρακαταθήκης.
2) LZ: διά.
3) Iidem: παρατίθεται.
4) Y: ταῦτα παραλαμβάνοντα.
5) LZ: ἀπαρν.
6) L: κατὰ διπλοῦν. YZ: κατὰ δίπλαν.
7) Y: ἀποδότω.
8) LZ non habent, sed legunt: εἰ δὲ καὶ συμφορᾷ τινι ἀπὸ π. η ἀ. κλ. ἐπέλθῃ.

ἐπελθεῖν αὐτῷ καὶ σὺν τοῖς ἰδίοις [9]) αὐτοῦ ἀπολέσθαι [10]) κἀκεῖνα, τηρείτωσαν οἱ ἀκροαταὶ καὶ ἀνέγκλητον τὸν τὴν τοιαύτην παρακαταθήκην [11]) ἐσχηκότα [12]) φυλαττέσθωσαν [13]) ὡς ἀκουσίως αὐτὰ ἀπολέσαντα.

ΤΙΤΛΟΣ ΔΩΔΕΚΑΤΟΣ.

Περὶ ἐμφυτεύσεων διηνεκῶν καὶ ἐμπεριγράφων.

α΄. Διηνεκεῖς ἐμφυτεύσεις [1]) ἀκινήτων δικαίων γίνονται ἐπὶ τελέσματι ἐνιαυσιαίῳ συμφωνουμένῳ [2]) καὶ ἐπιμελείᾳ τε καὶ διορθώσει τῶν ἐκδιδομένων. εἰ δέ τις ἐκ τῶν φροντιστῶν χαρτουλλαρίων ἢ [3]) λοιπῶν [4]) πρὸς βλάβην ἢ περιγραφὴν [5]) τῆς πρωτοτύπου δεσποτείας φανῇ ἀπεργαζόμενός τι [6]), οὗτος μὲν παρευθὺ ἐκπιπτέτω ἐκ [7]) τοῦ στρατεύματος αὐτοῦ, ἀκυρούσθω δὲ [8]) ἡ τοιαύτη ἔκδοσις.

β΄. Τὸν διηνεκῶς ἐμφυτευσάμενον [9]) τὸ ἐνιαυσιαῖον αδιαστρόφως καταβαλλόμενον [10]) τέλεσμα, καὶ εἰς τὴν τοῦ ἀκινήτου δικαίου [11]) ἀγωνιῶντα σύστασίν τε καὶ ἐπιμέλειαν, μὴ ἀποκινεῖσθαι ἐκ τῆς τοιαύτης ἐκδόσεως [12]), ἀλλ' ἐξεῖναι αὐτῷ τὸ δίκαιον τῆς τοιαύτης ἐμφυτεύσεως κληρονόμοις καταλιμπάνειν, δωρεῖσθαί τε καὶ ἐν προικὶ [13]) ἐπιδιδόναι ἢ καθ' ἕτερον τρόπον μετεκχωρεῖν [14]) καὶ διαπιπράσκειν· προτίμησιν [15]) δηλονότι τῷ πρωτοτύπῳ δεσπότῃ πρὸ διαπράσεως παρέχοντι τοῦ [16]) αὐτὸν τὸ τοιοῦτον ὠνήσασθαι [17]) δίκαιον· ἐκείνου δὲ μὴ βουλομένου, ἀπαρεμποδίστως μετὰ β̄ μῆνας τῆς τούτου προτροπῆς πιπράσκειν αὐτὸν [18]) τοῖς μὴ κεκωλυμένοις προσώποις [19]) τά τε ἐμπονήματα καὶ τὸ τῆς τοιαύτης ἐμφυτεύσεως δίκαιον, ἀναγκαζομένου τοῦ πρωτοτύπου δεσπότου ἐπιτηδείους ὄντας

9) YZ: τῶν ἰδίων. L: τῷ ἰδίῳ.
10) LZ: ἀπολεσθῆναι.
11) Y: παραθ.
12) Y: κατεσχ.
13) Y: παραφυλαττέτωσαν.
1) LZ: Διηνεκὴς ἐμφύτευσις — γίνεται.
2) L: ῥητῶς συμφ.
3) LZ: καί. Y: ἢ καί.
4) LZ addunt στρατιωτῶν.
5) Iidem: παραγρ.
6) Deest in LZ. Y: τίποτε.
7) L omittit.
8) LYZ addunt καί.
9) L addit δεῖν.
10) L: καταβάλλειν. Z: καταβαλλέσθω.
11) Y non habet.
12) YZ: ἐκδικήσεως.
13) L: ἐμπροίκως. Z: ἐμπροικοῖς.
14) N: μετεγχ. YZ: μεταχ.
15) L: διὰ προτίμ. ἐκ διαμαρτυρίας.
16) N: τόν. L: αὐτὸ τὸ τοι. Z: αὐτὸν τὸ τοι.
17) Y: ὠνεῖσθαι.
18) Z: αὐτό.
19) Quae sequuntur hoc titulo, Z praetermittit. Similiter L, qui tamen verba τά τε — δίκαιον insuper praestat.

τοὺς ἐπεισερχομένους[20]) ἐμφυτευτὰς ἐγγράφως εἰσδέχεσθαι. μὴ ποιοῦντα[21]) δὲ τοῦτο[22]) τὸν ἐμφυτευτὴν ἐκπίπτειν τῆς ἐμφυτεύσεως[23]).

γ΄. Τοῦ διηνεκοῦς ἐμφυτευτοῦ[24]), εἰ μὲν εὐαγοῦς[25]) οἴκου ἐστὶν, ἐπὶ τριετίαν ἀγνωμονοῦντος τὸ ἐτήσιον τέλος, ἢ καὶ χεῖρον ποιοῦντος τὸ ἐμφυτευθὲν πρᾶγμα, ἄδειαν ἔχει ἡ δεσποτεία τοῦτον[26]) ἐκ τοῦ τοιούτου ἀκινήτου ἐξῶσαι[27]) δικαίου, τὰ δὲ ὡς εἰκὸς παρ᾿ αὐτοῦ χρεωστούμενα παραχωρεῖν. εἰ δὲ ἑτέρων τινῶν ἐμφυτευτὴς ὑπάρχει, ἐπὶ τριετίαν ἀγνωμονῶν ἢ ἀμελῶν τοῦ ἐμφυτευθέντος ἀκινήτου δικαίου καὶ αὐτὸς ἐξεούσθω κατὰ τὸν ὅμοιον τρόπον.

δ΄. Ἡ τῆς βασιλίδος πόλεως ἁγιωτάτη ἐκκλησία[28]) καὶ οἱ τῆς περιοικίδος αὐτῆς σεπτότατοι οἶκοι, τό τε ὀρφανοτροφεῖον, τὰ πτωχεῖα, οἱ ξενῶνες, κεκώλυνται παρὲξ[29]) τῶν ἐρειπίων τόπων διηνεκῶς ἐκδιδόναι ἀκίνητον δίκαιον· βασιλικῷ δὲ οἴκῳ ἀνταλλάσσειν καὶ μόνῳ[30]). αἱ δὲ ἐν ἐπαρχίαις οὖσαι σεπταὶ ἐκκλησίαι τε καὶ μοναστήρια, πρὸς δέ γε καὶ τὰ τῆς βασιλίδος πόλεως εὐαγῆ μοναστήρια[31]), ἄδειαν ἐχέτωσαν καὶ[32]) διηνεκεῖς ἐμφυτεύσεις ποιεῖν.

ε΄. Αἱ ἐμπερίγραφοι ἐμφυτεύσεις ἐξ οἱουδήποτε εὐαγοῦς τε καὶ βασιλικοῦ οἴκου[33]) καὶ ἑτέρου προσώπου γινέσθωσαν[34]) ἐπὶ ὀνομαστῷ ἐνιαυσιαίῳ τελέσματι κατὰ τὰ ἀνωτέρω προκείμενα, μέχρι γ καὶ μόνων προσώπων ἀλλήλους ἐκ διαθήκης ἢ καὶ ἐξ ἀδιαθέτου διαθέσεως[35]) δεχομένων, τὸ ς μέρος τοῦ σωζομένου κανόνος ἐν ἀρχῇ τοῦ συναλλάγματος κουφιζομένου· μὴ δυναμένου τοῦ τελευταίου[36]) τρίτου προσώπου ἐπανακαινίζειν τὸ ἐμπερίγραφον ἐμφύτευμα, τοῦ μὴ εἰς διηνεκὲς αὐτὸ τῷ τρόπῳ τούτῳ παρεκτείνεσθαι σχῆμα.

ς΄. Μὴ ἐκλαμβανέτωσαν διηνεκῶς ἢ ἐμπεριγράφως οἱ φροντισταὶ τοῦ ἐκδιδόντος μέρους βασιλικοῦ τε ἢ εὐαγοῦς οἴκου ἢ[37]) χαρτουλλάριοι[38]) ἢ συγγενεῖς αὐτῶν μηδὲ διὰ παρενθέτου προσώπου. ἀλλ᾿ οὔτε ἄρχοντες πολιτικοὶ ἢ στρατιωτικοὶ[39]) ἐμφυτεύεσθαι ἢ μισθοῦσθαι δύνανται. μήτε δὲ στρατιῶται συναλλάγμασι τοιούτοις ὑπεισερχέσθωσαν, ἢ εἰς ἑτέρας ἰδιωτικὰς χρείας ἀπασχολείσθωσαν[40]),

20) Y: ὑπεισ. Sic et Paris. 1391.
21) Idem: ποιοῦντος.
22) Y et Paris. 1391 τοῦτον.
23) A addit: ἀναγκαζόμενον δηλονότι.
24) N: δι᾿ εὐαγ.
25) A: ὄντος ἐμφ.
26) Y: τούτων.
27) Y: ἐξεοῦσθαι.
28) Y: Ἡ δὲ τῆς. Paris. 1391: Αἱ τῆς β. π. ἁγιωτάται ἐκκλησίαι.
29) N: πάρεξ.
30) Y: μόνον.
31) Haec verba πρὸς δέ γε — μοναστήρια in N propter ὁμοιοτέλευτα, uti videtur, desunt.
32) Y non habet.
33) Def. in N.
34) N: γενέσθ.
35) N: καὶ διαθ.
36) N: δευτέρου.
37) Deest in N.
38) Y addit ἢ διοικηταί.
39) Haec verba ἢ στρατ. Y non habet.
40) Verba ἢ εἰς ἑτέρας — ἀπασχολ. desunt in Y.

ἢ ἑαυτοὺς παρεμβαλλέτωσαν, μήτε δὲ οἴκοις ἢ κτήσεσί [41]) τινων προσεδρευέτωσαν ἢ ὑπουργείτωσαν, ὡς ὑπὲρ τῆς πολιτείας κατὰ τῶν ἐχθρῶν καὶ μόνων ἀγωνίζεσθαι τεταγμένοι.

ΤΙΤΛΟΣ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΣ.

Περὶ μισθώσεων [1]).

α΄. Αἱ μισθώσεις ἔγγραφοί τε καὶ ἄγραφοι ἐπὶ ὀνομαστῷ ἐνιαυσιαίῳ συμφωνουμένῳ τελέσματι καὶ αὐταὶ [2]) γενέσθωσαν [3]), περαιτέρω τῶν κθ [4]) χρόνων μὴ ἐκτεινόμεναι, εἴτε ἐκληπτορικῶς [5]) εἴτε [6]) τοῦ μέρους τοῦ δημοσίου ἢ βασιλικοῦ οἴκου ἢ εὐαγοῦς τόπου κτημάτων, χωρίων, ἀγρῶν [7]) ἢ καὶ [8]) λοιπῶν αἱ τοιαῦται ἐκδόσεις γεγένηνται [9])· καὶ πρὸς [10]) τὸ συμφωνηθὲν ἐκ τοῦ ἐκλαμβανομένου καὶ ὁμολογηθὲν ἐνιαυσιαῖον μισθωτικὸν τέλεσμα παρὰ τοῦ ἐκδεδωκότος μέρους εἰσπράττεσθαι. μὴ δυναμένων εἴτε τοῦ ἐκδεδωκότος [11]) εἴτε [12]) τοῦ ἐκλαμβάνοντος [13]) μετάμελον μετὰ [14]) τὴν μίσθωσιν ἐντὸς [15]) ἐνιαυτοῦ προτίθεσθαι [16]), ἐὰν ἐκ συμφώνου περὶ τούτου ὀνομαστὶ ἀπετάξαντο.

41) Y: κτήμασι.
1) Ἰβηρίτης 21: μισθώσεως. N addit ἐγγράφων καὶ ἀγράφων.
2) N: αὗται.
3) Y: ἔστωσαν.
4) Y: ιθ΄.
5) N: ἐκκληπτορικόν. Y: ἐγκληματορικῶς. Z: ἐκκληματικῶς. L: ἐπὶ ἐκκλησιαστικῶν.
6) N: ἔκ τε.
7) N: ἢ κτημάτων τῶν χωρίων ἢ ἀγρῶν.
8) L: ἐπί.
9) Z: γένηται. L: γένωνται.
10) Z: πρίν.
11) Haec verba μέρους — ἐκδεδωκότος propter ὁμοιοτέλευτα similiter omittunt YLZ.
12) N: οὔτε — οὔτε. L: ὥστε.
13) YLZ: ἐκλαμβανομένου.
14) L: μεταμελοῦντος τήν.
15) N: ἐκτός.
16) LZ: προστίθ.

ΤΙΤΛΟΣ ΤΕΣΣΑΡΑΚΑΙΔΕΚΑΤΟΣ.

Περὶ μαρτύρων πιστῶν καὶ ἀπροσδέκτων [1]).

α΄. Οἱ μάρτυρες ἢ ἀξίαν ἢ στρατείαν ἢ ἐπιτήδευμα ἢ εὐπορίαν [2]) ἔχοντες κατὰ πρόληψιν δεκτέοι [3]) τυγχάνουσιν. εἰ δὲ εὑρεθῶσι μάρτυρες ἄγνωστοι καὶ ἀμφισβητεῖται [4]) τὰ τῆς αὐτῶν μαρτυρίας, κανονιζέτωσαν οἱ δικασταὶ [5]) καὶ διὰ βασάνων ἐρχέσθωσαν πρὸς αὐτούς, ὅπως τὴν τῆς ἀληθείας κατάληψιν εὕρωσιν.

β΄. Οἱ γονεῖς καὶ τὰ τέκνα κατ' ἀλλήλων λέγοντες μὴ προσδεχέσθωσαν.

γ΄. Μήτε ὑπὲρ δεσπότου μήτε κατὰ δεσπότου δοῦλος ἢ ἀπελεύθερος μαρτυρείτω.

δ΄. Μὴ ἀναγκαζέσθω τὶς καθ' ἑαυτοῦ παράγειν [6]) μάρτυρας.

ε΄. Οἱ μάρτυρες ἐπὶ τῶν δικαστῶν εἰς μαρτυρίαν ἀγόμενοι [7]) πρῶτον μὲν ἄνευ ὅρκου ἐπὶ $\overline{β}$ ἢ $\overline{γ}$ ἀνακρίσεσι τὰ τῆς εἰδήσεως αὐτῶν λεγέτωσαν, καὶ ἐὰν περὶ τοῦ ζητουμένου εὑρεθῶσι λέγοντες τί ποτε, τότε ὀμνύτωσαν.

ς΄. Οἱ μακρὰν διάγοντες μάρτυρες ἐν ταῖς χρηματικαῖς ὑποθέσεσι κατὰ τὸν τόπον μὴ ἀναγκαζέσθωσαν παραγίνεσθαι [8]), ἀλλὰ δι' ἐντολῶν [9]) πρὸς αὐτοὺς στελλομένων τὰ τῆς εἰδήσεως αὐτῶν μαρτυρείτωσαν.

ζ΄. Ἐάν τις μάρτυρα [10]) ἐν ἰδίῳ πράγματι παραγάγῃ, τὸν δὲ αὐτὸν μάρτυρα ἕτερον πρόσωπον ἐν ἄλλῳ κεφαλαίῳ κατ' αὐτοῦ ἀγάγῃ, τὸν τοιοῦτον κατ' ἐκείνου παραγόμενον [11]) μὴ παραγράφεσθαι, εἰ μήπω φανῇ ὡς ἔχθρα [12]) τελευταῖον παρηκολούθησε μεταξὺ αὐτῶν, ἢ δόσις ἢ καὶ ὑπόσχεσις πρὸς ὑποφθορὰν τοῦ πράγματος τῷ μάρτυρι γέγονεν.

η΄. Ἐάν τινες ἐκ συμφωνίας [13]) παρὰ κοινοῖς εὑρισκόμενοι δικασταῖς καὶ λαμβάνοντες φωνὴν μὴ ἐμμείνωσιν, ἀλλὰ πάλιν εἰς ἕτερον θελήσουσιν [14]) ἀπελθεῖν δικαστήριον, τοὺς πρῴην ἐπὶ τῷ [15]) κεφαλαίῳ αὐτῶν παραχθέντας [16]) μάρτυρας μὴ παραγράφεσθαι. εἰ

1) B et Ἰβηρίτης 21 simpliciter habent π. μαρτύρων.
2) LZ: ἐμπορίαν.
3) LYZ: δεκταῖοι.
4) L: ἀμφιτισταί. Z: ἀμφιβιτισταί. Y: ἀμφισβηταί.
5) Y: ἀκροαταί.
6) Y: ἄγειν.
7) Y: εἰσαγόμ.
8) LYZ: παραγένέσθαι.
9) LZ: ἐντολέων.
10) Y et Paris. 1391: μάρτυρας.
11) Y: παραγενόμενον.
12) Y addit τίς.
13) A: συμφώνων.
14) Y: θελήσωσιν.
15) Deest in N.
16) Y: πραχθ.

δὲ [17]) συμβῇ τοὺς αὐτοὺς μάρτυρας τελευτῆσαι, τὰς τούτων φωνὰς τοὺς προτέρους δικαστὰς δι' ὅρκου φανεροποιεῖν. καὶ εἰ μὲν ὁ τῇ προγενεστέρᾳ φωνῇ μὴ ἐμμείνας παρὰ τοῖς ἐσχάτοις δικασταῖς εὑρισκόμενος ἐκνικήσει, ἔστω ἀνέγκλητος. εἰ δὲ πάλιν παρ' ἐκείνοις [18]) καταχριθῇ καὶ φανῇ ἀδίκως ἐνσύρων τὸν ἀντίδικον αὐτοῦ, τὸ ὡς εἰκὸς παρὰ τῶν προτέρων δικαστῶν ὁρισθὲν πρόστιμον παρεχέτω τῷ ἐμμείναντι. εἰ δὲ καὶ πρόστιμον οὐχ ὥρισται [19]) μεταξὺ αὐτῶν, διδότω τὴν συντριβὴν αὐτοῦ ἢ ἄλλην ὑπομενέτω οἵαν οἱ δικασταὶ συνείδωσιν ἐπεξέλευσιν [20]).

θ'. Οἱ μάρτυρες ἀκοῇ μὴ προσμαρτυρείτωσαν λέγοντες ὡς ἠκούσαμεν ἔκ τινος τόνδε χρεωστεῖν ἢ τόνδε καταβαλέσθαι, κἂν ταβουλλάριοι ὦσιν οἱ ταῦτα μαρτυροῦντες [21]).

ι'. Ἐπὶ τῶν ἐγκλημάτων [22]) πάντως παρὰ τῷ [23]) ἀκροωμένῳ τῆς ὑποθέσεως δικαστῇ παραγενέσθωσαν οἱ μάρτυρες.

ια'. Οἱ μάρτυρες ὁσοιδήποτε ἀριθμῷ ὦσι, μέχρι δ̄ καὶ μόνον ταξειδίων ἀγέσθωσαν, ἑκάστης παραγωγῆς μίαν ἡμέραν λαμβανούσης. εἰ δὲ πρὸ τῆς δ̄ παραγωγῆς ἀποτάξηται ὁ παράγων [24]) καὶ τὰ μεμαρτυρημένα ἐκδοθῶσι, μετὰ τοῦτο μὴ παράγειν αὐτὸν ἕτερον μάρτυρα ἀλλ' ἐμμένειν ταῖς τῶν παραχθέντων [25]) μαρτύρων φωναῖς.

ιβ'. Ὁ τὴν οἰκείαν ἰδιόχειρον τοῦ χρέους συγγραφὴν ἀρνούμενος, ἢ καὶ τὰ οἰκεῖα μὲν [26]) γράμματα συντιθέμενος [27]), ἀρνεῖται [28]) δὲ τὴν καταβολὴν τῆς ποσότητος, ὡς ἐντεῦθεν [29]) ἀναγκασθῆναι τὰς συστάσεις ποιεῖν τῶν ἐποφειλομένων [30]), μετὰ ἀπόδειξιν τῆς ἀληθείας διπλῇ ποσότητι ὁ ἀρνησάμενος [31]) τοῦ χρέους [32]) καταδικαζέσθω [33]).

17) Y addit καί.
18) Y: καὶ παρ' ἐκείνων.
19) Y: ὥριστο.
20) Y: ὑπεξ.
21) A addit § hanc: Ἄνευ μαρτύρων μὴ πιστευέτω ταβουλλάριος. (Similiter LZ, et Paris. 1391: Ἐὰν δὲ μάρτυρες μὴ πιστεύεσθαι ταβουλάριος.) B contra addit: Ἐν ἐκμαρτυρίῳ μὴ πιστευέσθω ταβουλλάριος ἐὰν ὁ δανεισάμενος γράμματα μὴ (sic) γινώσκων καὶ δυνατῶς ἔχων ἐν τῇ τοῦ χρέους ὁμολογίᾳ ὑπογράψαι ἐξ ἰδιοχείρου μὴ ὑπογράψῃ. Eadem § etiam in Y reperitur.
22) Y: ἐγκληματικῶν.
23) N omittit.
24) N: παρέχων.
25) Y: πραχθ.
26) Deest in LZ.
27) LZ: ἐπιθέμ.
28) L: ἀρνούμενος.
29) Y: ἔνθεν.
30) Verba ὡς ἐντ. — ἐποφειλ. LZ non habent.
31) Y: ἀρνούμενος.
32) LZ: τὸ χρέος.
33) L: καταδικάζεται.

ΤΙΤΛΟΣ ΠΕΝΤΕΚΑΙΔΕΚΑΤΟΣ.

Περὶ διαλύσεων κυρουμένων [1]) ἢ ἀνατρεπομένων [2]).

α΄. Ἡ διάλυσις ἐγγράφως δι' ὑπογραφῆς τριῶν μαρτύρων γινέσθω [3]).

β΄. Ἐάν τις τῶν ἐντελῶν [4]) χρόνων μὴ ὢν διάλυσιν ποιήσῃ πρός τινα καὶ διὰ τὴν τῶν χρόνων ἴσως ἀτέλειαν καταφρονηθῇ ἢ καὶ δι' ἑτέραν αἰτίαν τὴν οἱανοῦν παραβλαβῇ [5]), καὶ εἰς τὴν τῶν κε χρόνων ἐντέλειαν καταντῶν [6]) διαγνῷ τὴν προσγινομένην [7]) αὐτῷ βλάβην, ἄδειαν ἐχέτω παρὰ δικασταῖς κινεῖν τὰ τῆς ὑποθέσεως, καὶ τῆς ἀδικίας [8]) ἀποδεικνυμένης φυλαττέσθω τούτῳ [9]) τὸ δίκαιον. εἰ δὲ καὶ τὰ τῆς ἀδικίας ἀποδεῖξαι μὴ δυνηθῇ [10]), βεβαίαν εἶναι τὴν τοιαύτην διάλυσιν.

γ΄. Εἰ δὲ καί τις μείζων τῶν κε ἐτῶν ὑπάρχων διὰ φόβον ἐξουσίας χειρὶ ἢ καὶ λόγῳ [11]) τῷ οἱῳδήποτε εὑρεθῇ πεποιηκὼς διάλυσιν καὶ τοῦτο παρὰ ἀκροαταῖς ἀποδειχθῇ, τὴν τοιαύτην διάλυσιν ἀνατρέπεσθαι καὶ ἐξ ἀπαρχῆς τὸ κατ' αὐτὸν ζητεῖσθαι [12]) κεφάλαιον.

1) A: κρυμνοῦ (sic).

2) C: π. διαλύσεως κυρουμένης ἢ ἀνατρεπομένης. B simpliciter π. διαλύσεων, Ἰβηρίτης 21 similiter π. διαλύσεως.

3) YLZ: γενέσθω.

4) Apud L deest.

5) L: καὶ βλαβῇ, omissis his quae intermedia sunt. Z adeo plura praetermisit; sic enim habet: καὶ διὰ τὴν χρόνων ἐντέλειαν διαγνῷ.

6) L non habet.

7) LY: προγεν.

8) YLZ: ἀληθείας.

9) LZ: αὐτοῦ.

10) Y: δυνηθείη.

11) Y: δόλῳ.

12) Y: ζητείσθω. Paris. 1391: ἐκζητεῖσθαι.

ΤΙΤΛΟΣ ΕΚΚΑΙΔΕΚΑΤΟΣ.

Περὶ στρατιωτικῶν [1]) ἰδιοκτήτων πραγμάτων [2]) καὶ κανστρεσίων κερδῶν [3]) ὑπεξουσίων αὐτῶν τυγχανόντων, καὶ περὶ κληρικῶν καὶ [4]) χαρτουλλαρίων καὶ ἑτέρων [5]) στρατευομένων [6]).

α΄. Στρατιωτικὰ πεκούλια [7]) εἰσίν, ἅπερ στρατιῶται [8]) ὑπεξούσιοι ὄντες πατρί τε καὶ πάππῳ ἐκ τοῦ στρατιωτικοῦ αὐτῶν τάγματος [9]) ἐπικτήσονται [10])· εἰς ἃ διατίθεσθαι δύνανται καὶ ἐν σεδέτοις διάγοντες, δηλονότι [11]) μετὰ τῆς προαναφερομένης τῶν [12]) ἐντελῶν διαθηκῶν παρατηρήσεως [13]). δαπανωμένου δὲ διὰ τῆς βουλήσεως αὐτῶν τοῦ τοιούτου πεκουλίου [14]) μὴ δύνασθαι τοὺς κληρονόμους αὐτῶν [15]) ἐκ τοῦ τοιούτου πεκουλίου [16]) τὴν νόμιμον [17]) μοῖραν ἀπαιτεῖν, ἀλλ' ἐν ἐξουσίᾳ αὐτῶν [18]) εἶναι, τὸ τοιοῦτον [19]) δωρεῖσθαι ἢ [20]) διὰ βουλήσεως αὐτῶν [21]) καταλιμπάνειν ἐντελῶς πεκούλιον [22]). καὶ μετὰ τελευτὴν δὲ τῶν αὐτῶν [23]) γονέων μὴ ὡς πατρῷον [24]) αὐτὸ [25]) συνεισάγεσθαι ἢ διαιρεῖσθαι, ἀλλ' ἐν ἐξαιρέτῳ [26]) τοῖς ἰδίοις αὐτὸ καὶ μόνον γνωρίζεσθαι προσώποις [27]).

β΄. Εἰ δὲ καταλειφθῶσιν ἀδελφοὶ μετὰ τὴν τελευτὴν τῶν γονέων αὐτῶν [28]), καί τις ἐξ αὐτῶν στρατευθῇ καὶ ὁ [29]) ἕτερος μείνῃ ἐν τῷ οἴκῳ, εἰ μὲν σύμφωνον ποιήσουσι [30]) μετ' ἀλλήλων, τὰ μεταξὺ αὐτῶν στοιχηθέντα [31]) κρατείτωσαν· εἰ δὲ ἀστοιχήτως [32]) τοῦτο

1) AC: στρατιωτῶν.
2) A: ἰδιόκτητα πράγματα.
3) A: κέρδους. B verba καὶ κανστρ. — τυγχανόντων omittit.
4) N non habet, A etiam verbum κληρικῶν omittit.
5) N: λοιπῶν.
6) A: στρατευμάτων. — Ἰβηρίτης 21 sic: καὶ περὶ κληρικῶν καὶ κουρατόρων καὶ ἑτέρων. — N post στρατευομένων addit: καὶ παγανικῶν πεκουλίων τῶν ὑπεξουσίων παίδων.
7) Z: πεκούλια εἰσὶν ἰδιόκτητα πράγματα ἅπερ. L: πεκούλια non habet, sed loco hujus verbi: ἰδιόκτητα πράγματα.
8) LZ: οἱ στρατ.
9) LZ: πράγματος.
10) L: ἐπικτήσωνται.
11) L: δηλονότι δηλοῦσι. Y: καὶ τότε δηλονότι.
12) Y: περὶ ἐντ. LZ: περὶ τῶν.
13) Y: παραδόσεως.
14) L: ἰδιοκτήτου πράγματος. Z: πεκουλ. ἰδιοκτ. πράγμ.
15) L: αὐτοῦ.
16) LZ: ἐξ αὐτοῦ.
17) Y: τετάρτην.
18) N: αὐτούς. Z: αὐτοῦ.
19) L: τῷ τοιούτῳ.
20) L: ἢ καί.
21) L: αὐτοῦ.
22) L: ἰδιόκτητον πρᾶγμα.
23) L: αὐτοῦ.
24) L: πατρῷα.
25) N: αὐτῷ. L: αὐτοῦ.
26) YL: ἐξαιρέτως.
27) YL: τῷ ἰδικῷ αὐτοῦ καὶ μόνῳ γν. προσώπῳ.
28) Deest in N.
29) YL: ὁ δέ. Z: καὶ οἱ ἕτεροι μείνωσιν.
30) LZ: σύμφωνα ποιήσωσι.
31) L: στοιχισθέντα. Z: τὰ σύμφωνα.
32) L: ἀστοιχίστως.

ποιήσουσι καὶ μέχρι δεκαετίας μετὰ τὸ [33]) στρατευθῆναι ἕνα ἐξ αὐτῶν συζήσουσι, πάντα [34]) τὰ ἐπικτηθέντα αὐτοῖς εἴτε ἀπὸ ῥόγας [35]) εἴτε ἀπὸ καμάτων τοῦ κοινοῦ αὐτῶν οἴκου καὶ σπουδῆς τοῦ ἐν τῷ οἴκῳ μείναντος ἀδελφοῦ ἢ ἀδελφῶν [36]) ἐξ ἴσου καὶ ἐπ' ἴσης [37]) μοίρας [38]) κομίζεσθαι [39]) αὐτούς. μετὰ δὲ τὴν δεκαετίαν ἕως ἑτέρων τριῶν χρόνων συζώντων αὐτῶν μετ' ἀλλήλων καὶ [40]) μετὰ τοῦτο [41]) συμβῇ αὐτοὺς ἀπ' ἀλλήλων διαιρεθῆναι, ἐπαίρειν τὸν στρατιώτην ἐξαιρέτως [42]) τὸν ἵππον [43]) αὐτοῦ σὺν τῷ σελλοχαλίνῳ καὶ τῷ ἅρματι [44]) αὐτοῦ καὶ ἐὰν ὡς εἰκὸς ἐπεκτήσατο λωρίκιον [45]) καὶ μόνον, τὰ δὲ λοιπὰ πάντα μερίζεσθαι αὐτοὺς ἀδελφικῶς ἐξίσου καὶ ἐπ' ἴσης [46]) μοίρας. εἰ δὲ καὶ ἐπέκεινα τῶν ιγ χρόνων συζήσουσι μετ' ἀλλήλων, καὶ εὑρεθῇ τι ἐκ τῶν [47]) μετὰ ταῦτα ῥογῶν [48]) αὐτοῦ [49]) ἐπικτησάμενος καὶ σώζεται, καὶ τοῦτο κομίζεσθαι αὐτόν. τὰ δὲ προνοίᾳ θεοῦ ἐπικτηθέντα αὐτῷ ἐκ πρώτης ἡμέρας τοῦ στρατευθῆναι αὐτὸν ἀπό τε σκύλων καὶ φιλοτιμιῶν καὶ σώζονται [50]), καὶ ταῦτα ὁμοίως ἔχειν αὐτὸν ἐξαιρέτως.

γ΄. Κληρικοὶ δὲ καὶ χαρτουλλάριοι ἢ καὶ ἕτεροί τινες ἐν οἱῳδήποτε τάγματι [51]) ἐκ [52]) γονικῆς στρατευόμενοι ὑποστάσεως, εἰ μὲν τελευτῶντες οἱ τούτων γονεῖς [53]) θελήσωσι ταῦτα χαρίσασθαι αὐτοῖς [54]), κυρούσθω τούτων ἡ βούλησις. εἰ δὲ μηδὲν περὶ τούτου εἰπόντες τελευτήσουσι, καὶ τὴν περὶ τῆς τοιαύτης ποσότητος ποιήσουσι κίνησιν τῷ στρατευθέντι οἱ συγκληρονόμοι αὐτοῦ, λογίζεσθαι αὐτοὺς [55]) τὰ ἀπὸ τῆς τοιαύτης στρατείας περιελθόντα εἰς τὸν ἑαυτῶν [56]) πατέρα καὶ τὸ περιττεῦον [57]) ἐκ τῆς δοθείσης ποσότητος εἰς τὸ τοιοῦτον στράτευμα συνεισφέρεσθαι τῇ λοιπῇ ὑποστάσει καὶ συνδιαιρεῖσθαι. εἰ δὲ ὡς εἰκὸς ἐπληρώθη διὰ τοῦ τοιούτου στρατεύματος ἡ δοθεῖσα ποσότης, μὴ ἔχειν ἄδειαν τοὺς συγκληρονόμους τὸ

33) Z pro his μετὰ τὸ habet τοῦ.
34) L: ἅπαντα.
35) L: ῥόγων.
36) Z: τῶν — μεινάντων ἀδελφῶν.
37) Y: ἐφίσης καὶ ἐξίσης. L: ἐξ ἴσης καὶ ἐφ' ἴσης.
38) Y: μοίραν.
39) N: νομίζ. Y: κομίζωνται. Z: πάντες ἐξ ἴσης κομιζέσθωσαν.
40) Sic NYZ. L: εἰ.
41) L: ταῦτα.
42) N: ἐξ. τὸν στρατ.
43) Y: τὸ ἱππάριν. L: τὸ ἱππάριον.
44) Y: τὸ ἅρμα. L: τὸ ἅρμα.
45) YL: λωρίκην.
46) Y: ἐξ ἴσης. L: ἐφ' ἴσης καὶ ἐξ ἴσης.
47) L: τί ποτε τῶν. Y: τί ποτε ἐκ τῶν.
48) YL: ῥόγων.
49) L: αὐτοῖς.
50) Haec verba καὶ σώζ. Y non habet.
51) Verba ἐν οἱῳδ. τάγμ. in YLZ desunt.
52) Y: ἀπό.
53) LZ: γονεῖς αὐτῶν. Iidem addunt: δι' ἀγάπην καὶ εὐχαριστείαν τὸ δοθὲν ὑπὲρ τῆς τούτων στρατείας.
54) LZ: θελ. τῷ στρατευθέντι ἀποχαρ.
55) Y: αὐτῷ.
56) Y: αὐτοῦ. L: αὐτῶν.
57) L: τὰ περιττεύοντα.

τὸ τοιοῦτον στράτευμα ἔχον πρόσωπον[58]) ἐπιζητεῖν ἕνεκεν τῆς γενομένης ἐξόδου ὑπὲρ αὐτοῦ τὸ ὁτιοῦν[59]) διὰ τὸ ὡς εἴρηται ἀντεισαγωγὴν ἐκ τοῦ τοιούτου στρατεύματος γενέσθαι[60]).

δ. Ἐπὶ[61]) δὲ τῶν λοιπῶν στρατευομένων ὅσα ἐκ βασιλικῆς ῥόγας ἀννόνων τε καὶ σολεμνίων τούτοις προσενεμήθησαν[62]), τουτέστιν ἀξιωματικοῖς[63]) καὶ λοιποῖς ἅπασι κομιζομένοις ἀπὸ βασιλικῆς χειρὸς[64]) ῥόγας ἢ[65]) ἀπὸ δημοσίου ἀννόνας καὶ συνηθείας, οὗτοι μὲν ἅπαντες ἄνευ μέντοι τῶν στρατιωτῶν ἐπὶ τοῖς τοιούτοις πεκουλίοις διατιθέμενοι, παῖδας μὲν ἔχοντες μέχρι δ τὸν ἀριθμὸν, τὴν[66]) νόμιμον ἤγουν τὴν γ μοῖραν τοῦ αὐτῶν πεκουλίου καταλιμπανέτωσαν· εἰ δὲ καὶ ε καὶ[67]) ἐπέκεινα, τὸ ἥμισυ αὐτοῦ[68]) μέρος. εἰ δὲ παῖδας οὐκ ἔχουσιν, ὕπεισι δὲ αὐτοῖς γονεῖς, τὴν εἰρημένην γ μοῖραν καταλιμπανέτωσαν· εἰς δὲ τὸ ὑπόλοιπον μέτρον[69]) τοῦ αὐτοῦ[70]) πεκουλίου κατὰ τὸ δοκοῦν αὐτοῖς διατιθέσθωσαν.

ε. Παγανικὰ δὲ πεκούλια τῶν ὑπεξουσίων εἰσὶν, ὅσα παρὰ τῶν γονέων αὐτῶν πρὸς κόσμον καὶ τιμὴν ἐδόθησαν[71]) αὐτοῖς ἢ ἐπεκτήθησαν, ἅτινα καὶ ὡς γονικὰ[72]) γνωρίζονται καὶ μετὰ τελευτὴν τῶν γονέων τῇ λοιπῇ αὐτῶν ὑποστάσει ἑνοῦνται καὶ συνδιαιροῦνται[73]), ὥσπερ καὶ τὰ ἀπὸ χρημάτων ἢ πραγμάτων τοῦ πατρὸς ἐπικτηθέντα τῷ υἱῷ τῇ πατρῴᾳ ὑποστάσει γνωρίζονται καὶ αὐτῇ συνενοῦνται. ἐπὶ γὰρ τοῖς μητρῴοις αὐτῶν ἢ[74]) ἐξ ἱδρώτων καὶ καμάτων ἢ κληρονομίας περιαχθεῖσιν εἰς αὐτοὺς πράγμασιν, ἐπ' αὐτοῖς μὲν οὐ[75]) διατίθενται, τὴν δὲ χρῆσιν αὐτῶν καὶ μόνον ἔχουσιν οἱ τούτους ἔχοντες ὑπεξουσίους τὴν δεσποτείαν τῶν τοιούτων πραγμάτων φυλάττοντες αὐτοῖς.

58) **YL**: τῷ (vel τὸ) τοι. στρ. ἔχοντι προσώπῳ.
59) **YL**: εἰτιοῦν.
60) **Y**: γίνεσθαι.
61) **Y: praemittit haec**: Κληρικῶν δὲ καὶ στρατευομένων εἰσὶ πεκούλια ἐφ' οἷς διατίθεσθαι δύνανται κατὰ τὴν ἀκριβῆ καὶ ἐντελῆ τῶν διαθηκῶν παρατήρησιν, ἐπὶ μὲν κληρικῶν τῶν καὶ χειροτονουμένων, τουτέστιν ἀπὸ πρεσβυτέρων καὶ μέχρι ψαλτῶν, τὰ ἀπὸ τῶν οἰκείων αὐτῶν καμάτων ἤτοι ἐκκλησιῶν ἐπικτηθέντα, ἐπὶ δὲ κτλ.
62) **YZ**: προσενομίσθησαν.
63) **Y**: τουτέστι συνεδρίοις δικολόγοις μεμοριαλίοις μαγιστριανοῖς διδασκάλοις ἤγουν παιδευταῖς ἐλευθεριῶν σπουδασμάτων ἀρχιατροῖς κτλ.
64) **Deest in L.**
65) **LZ**: ἢ καί.
66) **N**: τόν.
67) **Verba** ε' καὶ **N non habet.**
68) **Apud LZ deest.**
69) **Y**: μέρος.
70) **YL**: αὐτῶν.
71) **L**: ἐδόθη.
72) **L**: γονέων.
73) **L**: διαιρ.
74) **Deest in L.**
75) **L**: αὐτοί **pro** οὐ.

ΤΙΤΛΟΣ ΕΠΤΑΚΑΙΔΕΚΑΤΟΣ.

Ποινάλιος τῶν ἐγκληματικῶν κεφαλαίων [1].

α΄. Μηδεὶς τὸν ἐν[2]) ἐκκλησίᾳ προσφεύγοντα βίᾳ ἀφαιρείσθω, ἀλλὰ τὴν αἰτίαν τοῦ προσφύγου[3]) δηλοποιείτω τῷ ἱερεῖ καὶ παρ' αὐτοῦ μετὰ τῶν ἀσφαλῶν παραλαμβανέτω τὸν προσφεύγοντα τοῦ νομίμως ζητηθῆναι καὶ διοικηθῆναι τὸ κατ' αὐτὸν[4]) κεφάλαιον. εἰ δέ τις δοκιμάσει χειρὶ ἀπὸ ἐκκλησίας πρόσφυγον[5]) ἐπάραι τὸν οἱονδήποτε, ὁ τοιοῦτος ιβ ἀλλακτὰ λαμβανέτω καὶ τότε κατὰ τὸ πρέπον τὸ τοῦ αὐτοῦ προσφύγου[6]) ζητείσθω κεφάλαιον.

β΄. Ὁ ἐκ δικαστικῆς ψήφου ἢ καὶ ἐπὶ μαρτυρίᾳ παραγόμενος[7]) ἢ ἐξ ἐπαγωγῆς ἀντιδίκου ἐφαπτόμενος[8]) τῶν ἁγίων τοῦ θεοῦ εὐαγγελίων καὶ ἐπομνύμενος[9]), ἐπίορκος δὲ μετὰ ταῦτα ἀποδεικνύμενος, γλωσσοκοπείσθω.

γ΄. Ὁ κατὰ βασιλέως[10]) φρατριάζων[11]) ἢ βουλευόμενος[12]) ἢ συνομοσίας[13]) κατ' αὐτοῦ ἢ τῆς πολιτείας τῶν χριστιανῶν ποιῶν, τὸν μὲν τοιοῦτον ἥρμοζε[14]) κατὰ τὴν ὥραν θανατοῦσθαι ὡς τὴν τοῦ παντὸς κατάλυσιν μελετήσαντα. ἀλλ' ἵνα μή τινες καὶ ἐχθρωδῶς πολλάκις διακείμενοι πρός τινα[15]) ἀκρίτως[16]) φονεύσωσιν ἀπολογίαν[17]) ἐσχάτως προσφέροντες[18]) ὡς[19]) κατὰ τῆς βασιλείας ἐλάλησεν[20]), δέον τὸν τοιοῦτον κατὰ τὸν τόπον ὑπὸ στερεὰν φυλακὴν γενέσθαι[21]) καὶ τὰ περὶ τούτου τῷ[22]) βασιλεῖ ἀναφέρεσθαι καὶ καθὼς λοιπὸν αὐτὸς ἀνακρίνει[23]) καὶ βουλεύσεται ποιεῖν.

1) Vind. 8 verbum κεφαλαίων non habet. A rubricam tituli praetermisit. B: περὶ ἐγκλημάτων. — Caeterum N hunc titulum nequaquam integrum continet, sed praestat tantum §§. 1—7. 16. 23. Codici N in hoc plane similis est Cod. Vatic. 857. Reliqui Codices Eclogae genuinae hunc titulum ita exhibent, ut eum edo maxime ex Codice B. — *Eclogae privatae* Codices aliquantum differunt: certe Paris. 1391 initio §§. 2—11 omisit. — *Ecloga privata aucta* (Y), *Ecloga ad Prochiron mutata* (Z) et L hunc titulum plus minusve interpolatum praestant et maxime ordo §§orum ab eo, quem Ecloga genuina sequitur, diversus est, neque etiam in his ipsis Eclogae recensionibus idem est.

2) Deest in L.

3) LY: πρόσφυγος.

4) L: αὐτοῦ.

5) LY: πρόσφυγα.

6) L: πρόσφυγος.

7) YZ: παραγενόμενος.

8) YZ: καὶ ἐφαπτ.

9) L: ὀμν. Y: ἐφομν. Z: ἐφομνύων.

10) L: βασιλείας.

11) L: φρατρίζων.

12) L: ἐπιβ.-

13) Z: συνουσίας.

14) Y: ἥρμοσε. Z: εἵρμοζε.

15) LZ: τινας.

16) Y: ἀναχρ.

17) L: ἀπολογίας.

18) Z: ποιήσαντες.

19) L: ὅσα.

20) L: ἐλάλησαν. Z: λαλήσαντας.

21) L: γίν.

22) Deest in L.

23) L: ἀνακρινεῖ.

δ. Ὁ ἱερέα εἴτε ἐν ἐκκλησίᾳ εἴτε ἐν λιτῇ τύψαι[24]) ἐπιχειρῶν, τυπτόμενος ἐξοριζέσθω.

ε΄. Ὁ πρᾶγμα ἔχων μετά τινος καὶ μὴ τῇ ἀρχῇ προσφωνῶν, ἀλλ᾽ αὐτοβούλως εἴτε κατ᾽ ἐξουσίαν ἢ[25]) καί τινα δυναστείαν χειρὶ ἐπιβαίνων καὶ ἐπαίρων τὸ ὁτιοῦν[26]), εἰ μὲν κατὰ ἀλήθειαν ἴδιον[27]) ζητῶν[28]) τοῦτο ἐποίησεν[29]), ἐκπιπτέτω τοῦ ἰδίου πράγματος καὶ ἀναδιδότω αὐτό[30]). εἰ δὲ καὶ ἀλλότριόν τι ἀπῆρεν[31]), ὑπὸ μὲν τοῦ κατὰ τόπον[32]) ἄρχοντος δαιρέσθω ὡς μὴ ἀρχόμενος καὶ ἑαυτοῦ[33]) γενόμενος[34]) ἔκδικος, καὶ οὕτως τὴν ἀποκατάστασιν ποιείσθω οὗπερ ἀπείληφεν[35]).

ϛ΄. Οἱ ὑπὸ τῶν πολεμίων χειρωθέντες καὶ τὴν ἀμώμητον ἡμῶν τῶν χριστιανῶν πίστιν ἀπαρνησάμενοι, ὑποστρέφοντες[36]) ἐν τῇ πολιτείᾳ[37]) τῇ ἐκκλησίᾳ παραπεμπέσθωσαν.

ζ΄[38]). Ἐὰν χρήσηταί τις ἵππῳ ἕως ὡρισμένου τόπου, ὑπὲρ δὲ τὸν ὁρισθέντα τόπον τοῦτον ἀπενέγκῃ ἢ πέμψῃ, τὴν ὡς εἰκὸς γενομένην ἐπ᾽ αὐτῷ βλάβην ἢ θάνατον τὸν χρησάμενον ὁρᾶν καὶ τὸ ἀζήμιον ποιεῖσθαι[39]) τῷ κυρίῳ τοῦ ἵππου.

η΄. Ὁ ἀποκλείσας ἀλλότρια θρέμματα καὶ λιμῷ[40]) διαφθείρας ἢ ἄλλως πῶς ἀνελών, εἰς τὸ[41]) διπλάσιον καταδικάζεται.

θ΄. Ἐὰν κριοὶ ἢ βόες[42]) συνέλθωσι μετ᾽ ἀλλήλων[43]), εἰ μὲν ὁ πρῶτος ἐπελθὼν φονευθῇ[44]), οὐκ ἐνάγεται[45]) ὁ κύριος τοῦ φονεύσαντος· εἰ δὲ καθ᾽ οὗ ἐπῆλθεν ἀποθάνῃ, ἐνάγεται ὁ κύριος τοῦ φονεύσαντος, καὶ ἢ[46]) ἐκδίδωσι τὸ ζῶον τὸ φονεῦσαν τῷ κυρίῳ τοῦ ἀποθανόντος[47]) ἢ τὸ ἀζήμιον τῷ βλαβέντι ποιείτω.

ι΄. Ὁ κλέπτων ἐν φοσσάτῳ ἤτοι[48]) ἐν ἐξπεδίτῳ, εἰ μὲν ὅπλα, τυπτέσθω, εἰ δὲ ἄλογον, χειροκοπείσθω.

ια΄. Ὁ κλέπτων ἐν ἑτέρῳ τόπῳ τῆς πολιτείας, ἐν πρώτοις μὲν τοῦτο ποιῶν[49]), ἐὰν ἐλεύθερός ἐστι καὶ εὐπορεῖ[50]), πρὸς τῇ ἀποδό-

24) LYZ non habent.
25) Deest in L.
26) L: εἰτιοῦν. Z: οἱονοῦν.
27) L: τὸ ἴδ.
28) Idem: ζητήσας.
29) Z: πεποίηκεν.
30) L: τῷ ἑτέρῳ.
31) L: ἐπ.
32) Idem: τὸν τόπ.
33) L: αὐτοῦ.
34) N: γινόμ.
35) LZ: ἀφείλετο.
36) Y: ὑποστρέψαντες.
37) Y addit αὐτῶν.
38) §§. 7—15 mutatis nonnullis in Prochiron (XXXIX, 50—58) receptae sunt.
39) L: περιποι.
40) Z addit ταῦτα.
41) B non habet.
42) Z addit ἢ ἵπποι ἢ χοῖροι.
43) Z: κατ᾽ ἀλλ. L verba μετ᾽ ἀλλ. non habet.
44) L: ἐφονεύθη.
45) Z: ἐνέχεται.
46) Deest in LZ.
47) Verba τῷ κ. τοῦ ἀπ. LZ omittunt.
48) Y: ἤ.
49) Y: ἁμαρτάνων.
50) Y: ἐλεύθ. ὢν εἰ μὲν εὐπ.

σαι[51]) τοῦ κλαπέντος μετὰ τοῦτο[52]) διπλὴν τὴν τοῦ κλαπέντος τιμὴν παρεχέτω. εἰ δὲ ἄπορός ἐστι, τυπτέσθω καὶ ἐξοριζέσθω. δεύτερον δὲ[53]), χειροκοπείσθω.

ιβ. Ὁ τοῦ κλέπτου δούλου κύριος[54]), εἰ μὲν βούλεται ἔχειν τὸν τοιοῦτον οἰκέτην, τὸ ἀζήμιον ποιείτω[55]) τῷ κλαπέντι, μὴ βουλόμενος[56]) δὲ ἔχειν τὸν τοιοῦτον[57]) οἰκέτην, τοῦτον ἀποδιδότω[58]) εἰς τελείαν δεσποτείαν τῷ τὴν κλοπὴν ὑπομείναντι.

ιγ. Ὁ ἀλλοτρίας ἀγέλης τῆς οἱασδήποτε ἀπελασίαν ποιούμενος, πρῶτον[59]) μὲν τοῦτο ποιῶν, τυπτέσθω· δεύτερον δέ, ἐξορίᾳ παραπεμπέσθω· τρίτον δέ, χειροκοπείσθω· ὀφειλόντων δηλονότι[60]) τῶν παρ' αὐτοῦ ἀπελαυνομένων[61]) τῇ ἰδίᾳ ἀποκαθίστασθαι δεσποτείᾳ.

ιδ'. Οἱ τοὺς νεκροὺς ἐν τοῖς τάφοις ἐκδύοντες, χειροκοπείσθωσαν.

ιε. Ὁ εἰσερχόμενος ἐν θυσιαστηρίῳ ἢ ἐν ἡμέρᾳ ἢ ἐν νυκτὶ καί τι τῶν ἱερῶν ἀφελούμενος, τυφλούσθω· ὁ δὲ ἔξω τοῦ θυσιαστηρίου ἐκ τοῦ ναοῦ ἐπαίρων τὶ, δαιρέσθω ὡς ἀσεβὴς καὶ κουρευόμενος ἐξοριζέσθω.

ις'. Ὁ σῶμα ἐλεύθερον κλέπτων καὶ πιπράσκων, χειροκοπείσθω.

ιζ. Ὁ ὑπονοθεύων καὶ κλέπτων[62]) καὶ ἀφανῆ ποιῶν ἀλλότριον οἰκέτην, πρὸς τῇ ἀποκαταστάσει τοῦ τοιούτου δούλου καὶ ἕτερον τῷ κυρίῳ αὐτοῦ οἰκέτην ἢ τὰς ὑπὲρ αὐτοῦ τιμὰς διδότω.

ιη. Οἱ παραχαράκται μονήτας χειροκοπείσθωσαν.

ιθ' [63]). Ὁ ἔχων γυναῖκα καὶ πορνεύων[64]), τυπτέσθω πρὸς σωφρονισμὸν ἀλλακτὰ δώδεκα, κἄντε πλούσιός ἐστι κἄντε πένης[65]).

κ. Ὁ μὴ ἔχων γυναῖκα καὶ πορνεύων, τυπτέσθω ἀλλακτὰ ἕξ.

κά. Ὁ ἔχων γυναῖκα καὶ τῇ ἰδίᾳ συγγενόμενος δούλῃ, διαγινωσκομένου τοῦ πράγματος ταύτην ὑπὸ τοῦ κατὰ τὸν τόπον ἐπαίρεσθαι ἄρχοντος καὶ παρ' αὐτοῦ ὑπὲρ ἐπαρχίαν πιπράσκεσθαι, τῶν τιμῶν αὐτῆς κομιζομένων[66]) τῷ μέρει τοῦ δημοσίου.

κβ' Ὁ πορνεύων εἰς δούλην ἀλλοτρίαν, ἔντιμος ὢν παρεχέτω ὑπὲρ[67]) τοῦ τοιούτου πταίσματος τῷ δεσπότῃ[68]) τῆς δούλης νο-

51) YL: ἀποκαταστάσει.
52) Verba μ. τ. in Y desunt.
53) ποιῶν Y addit.
54) Y: δεσπότης.
55) Y: οἴκοθεν ποι.
56) YZ: βουλομένου.
57) LYZ: αὐτόν.
58) Y: μετεκχωρείτω.
59) B: πρώτος. LY: ἐν μὲν πρώτοις.
60) B: δῆλον.
61) L: ἀπολλυομ.
62) YL: κρύπτων.
63) §§. 19 sqq. in Prochiron XXXIX, 59 sqq. transierunt.
64) LZ: Ὁ γυν. νομίμως ἔχ. καὶ εἰς πορνείαν εὑρισκόμενος ὡς τὸ ῥῆμα τοῦ κυρίου καταφρονῶν τὸ διδάσκον· μὴ πορνεύσῃς.
65) Verba κἄντε κτλ. L non habet.
66) LYZ: εἰσκ.
67) In B deest.
68) LY: αὐθέντῃ.

μίσματα λς΄. εὐτελὴς δὲ ὢν τυπτέσθω καὶ εἰς ὅσον [69]) εὐπορεῖ πρὸς [70]) ἀναλογίαν τῶν λς΄ νομισμάτων διδότω [71]).

κγ΄. Ὁ πορνεύων εἰς μοναστρίαν, ὡς τὴν ἐκκλησίαν τοῦ θεοῦ ἐνυβρίζων, ῥινοκοπείσθω, διὸ [72]) κἀκεῖνος μοιχείαν εἰργάσατο τῆς ἐκκλησίας τοῦ θεοῦ ἀλλοτριώσας αὐτὴν [73]) τῆς ὁμοίας καὶ ἐπ' αὐτῆς [74]) φυλαττομένης ἐπεξελεύσεως.

κδ΄. Ὁ ἁρπάζων μοναστρίαν ἢ καὶ παρθένον βιωτικὴν ἐξ οἱουδήποτε τόπου [75]), ἐὰν διαφθείρει [76]) αὐτήν, ῥινοκοπείσθω· οἱ δὲ τοιαύτῃ ἁρπαγῇ [77]) συντρέχοντες, ἐξοριζέσθωσαν.

κε΄. Ὁ πρὸς γάμον τὸ [78]) δοκεῖν ἀγόμενος τὴν ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος γενομένην αὐτῷ σύντεκνον, ἢ καὶ σαρκικῶς ταύτῃ [79]) ἄνευ γάμου συμπλεκόμενος, ὁ τοῦτο πλημμελῶν μετὰ τὸ ἀποδιωχθῆναι αὐτοὺς ἀπ' ἀλλήλων τῇ τῶν μοιχῶν ποινῇ καθυποβαλλέσθω, ἤγουν καὶ αὐτὸς κἀκείνη [80]) ῥινοκοπείσθω.

κς΄. Εἴ τις εἰς ὕπανδρον σύντεκνον αὐτοῦ τι τοιοῦτον εὑρεθῇ ποιῶν, καὶ αὐτὸν καὶ ταύτην πρὸς τῇ ἐκτομῇ τῆς ῥινὸς καὶ σφοδρῶς [81]) τύπτεσθαι.

κζ΄. Ὁ εἰς γυναῖκα ὕπανδρον μοιχεύων [82]), ῥινοκοπείσθω καὶ αὐτὸς καὶ ἡ μοιχαλίς, ὡς ἐντεῦθεν χωρισμοῦ γινομένου καὶ ἀπωλείας τέκνων προερχομένης [83]) καὶ τοῦ κυριακοῦ λόγου [84]) μὴ φυλαττομένου τοῦ διδάσκοντος· ὅτι ὁ θεὸς τούτους εἰς σάρκα μίαν συνήνωσεν. μετὰ δὲ τὸ ῥινοκοπηθῆναι τὴν μοιχαλίδα λαμβάνειν αὐτὴν τὰ ἴδια αὐτῆς πράγματα, ἅπερ εἰσήγαγε τῷ ἀνδρὶ αὐτῆς [85]), τὸν δὲ μοιχὸν ἐκ τῆς ἰδίας γυναικὸς μὴ χωρίζεσθαι, εἰ καὶ ἐρινοκοπήθη. μετὰ πολλῆς δὲ ακριβείας τὸ περὶ μοιχείας ζητείσθω [86]) κεφάλαιον, καὶ ἐπιτηρείτωσαν οἱ ἀκροαταὶ τοὺς κατηγόρους τῆς τοιαύτης ὑποθέσεως. καὶ εἰ μέν ἐστιν ὁ ἴδιος ἀνὴρ ἢ ὁ πατὴρ ἢ ἡ μήτηρ [87]) αὐτῆς ἢ ἀδελφὸς ἢ θεῖος ὁ κατηγορῶν, εὐπιστοτέρα ἡ πρόφασις [88]) τῆς ζητήσεως γίνεται· εἰ δὲ ξένοι εἰσὶν οἱ κατηγοροῦντες, δέον κανονίζεσθαι τὰ πρόσωπα ποίας πολιτείας εἰσί, καὶ τούτους κατασφαλίζεσθαι, καὶ ἀπαιτεῖν αὐτοὺς τὴν περὶ τούτου ἀπόδειξιν. καὶ εἰ μὲν ἀποδείξωσι τὴν μοιχείαν, ῥινοκοπείσθωσαν ὅ τε μοιχὸς καὶ ἡ μοιχαλίς·

69) B: ἴσως ὤν. LY: εἰς ὅ.
70) Y: κατά.
71) Deest in B.
72) L: διότι.
73) B: τὴν ἐκκλησίαν τ. θ. ἀλλοτρίαν οὖσαν.
74) L: αὐτῇ.
75) L non habet.
76) L: φθείρῃ.
77) L: εἰς τὴν —ην —ην.
78) L: τῷ.
79) Deest in B.
80) B: αὐτὸν κἀκεῖνον.
81) L: σφόδρα.
82) Y: πλημμελῶν.
83) L: προσερχ. Ita et Z.
84) Marci 10, 8.
85) LZ addunt: καὶ μηδὲν ἕτερον.
86) B: κεκτείσθω.
87) Verba ἢ ἡ μήτηρ YL non habent.
88) Z: πρόθεσις.

εἰ δὲ οὐκ ἀποδείξωσι τὴν μοιχείαν, ἀλλὰ δι' ἔχθραν[89]) τὴν κατηγορίαν ἐποίησαν, τὴν ταυτοπάθειαν ὡς[90]) συκοφάνται ὑπομενέτωσαν[91]).

κή. Ὁ τῇ ἰδίᾳ γαμετῇ μοιχείαν συγγινώσκων καὶ παραχωρῶν, τυπτόμενος ἐξοριζέσθω· ὁ δὲ μοιχὸς καὶ ἡ μοιχαλὶς ῥινοκοπείσθωσαν.

κθ'. Ὁ συγγινόμενος[92]) κόρῃ παρθένῳ, προαιρέσει μὲν τῆς κόρης, ἀγνοίᾳ[93]) δὲ τῶν αὐτῆς γονέων ἐν ὑστέρῳ δὲ τούτων διαγινωσκόντων[94]), εἰ μὲν θελήσει λαβεῖν αὐτὴν καὶ θελήσουσι καὶ οἱ γονεῖς αὐτῆς, γινέσθω τὸ συνάλλαγμα· εἰ δὲ ἓν τῶν μερῶν οὐ[95]) θελήσει, εἰ μὲν ἐστὶν εὔπορος ὁ φθορεὺς, διδότω τῇ φθαρείσῃ κόρῃ χρυσίου λίτραν μίαν· εἰ δὲ ἐστὶν ἐνδεέστερος, διδότω τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ· εἰ δὲ παντελῶς ὑπάρχει πένης καὶ ἀνεύπορος, τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω.

λ'. Ὁ βιαζόμενος κόρην καὶ φθείρων αὐτὴν, ῥινοκοπείσθω.

λά. Ὁ φθείρων κόρην πρὸ τῆς ἥβης ἤγουν πρὸ τοῦ τρισκαιδεκαετοῦς χρόνου ῥινοκοπείσθω καὶ τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ παρεχέτω τῇ φθαρείσῃ[96]).

λβ'. Ὁ τὴν ἀλλοτρίαν μνηστὴν φθείρων, εἰ καὶ προαιρέσει τῆς κόρης τοῦτο ἐγένετο, ῥινοκοπείσθω.

λγ'. Οἱ αἱμομῖκται ἢ γονεῖς πρὸς τέκνα ἢ τέκνα πρὸς γονεῖς ἢ ἀδελφοὶ πρὸς ἀδελφὰς, ξίφει τιμωρείσθωσαν. οἱ δὲ πρὸς ἄλλην συγγένειαν συμφθειρόμενοι[97]), τουτέστι πατὴρ εἰς[98]) γυναῖκα υἱοῦ ἢ υἱὸς εἰς[99]) γυναῖκα πατρὸς ἤγουν μητρυὰν ἢ πατρωὸς εἰς προγονὴν ἢ ἀδελφὸς εἰς γυναῖκα ἀδελφοῦ ἢ θεῖος εἰς ἀνεψιὰν ἢ ἀνεψιὸς εἰς θείαν, ῥινοκοπείσθωσαν. ὁμοίως δὲ καὶ ὁ εἰς δύο ἀδελφὰς εἰδήσει[100]) μιγνύμενος[101]).

λδ'. Ὁ ἀλλοτρίᾳ μητρὶ καὶ τῇ ταύτης[102]) θυγατρὶ σαρκικῶς εἰδήσει[103]) μιγνύμενος, ῥινοκοπείσθω· τῇ τοιαύτῃ[104]) ποινῇ καὶ τῆς[105]) εἰδήσει[106]) συμπλημμελησάσης[107]) αὐτῷ ὑποκειμένης.

λέ. Ὁ δύο γαμετὰς ἔχων, τυπτέσθω, ἐκδιωκομένου τοῦ ἐπεισάκτου γυναίου[108]) μετὰ τῶν ἐξ αὐτῆς τεχθέντων τέκνων[109]).

89) Y et L addit: τινά.
90) L: οἱ.
91) Z addit: τοῦ τοιούτου συνοικεσίου ἀδιαλύτου μένοντος.
92) YLZ: συγγεν.
93) L: ἀγνώμῃ. Z: ἀγνωῇ. Y: ἀγνοούντων.
94) Z: τούτου διαγινωσκομένου.
95) L: μή.
96) L addit: κόρῃ.
97) B: συμφερόμ. Y: συνδιαφθ.
98) Y: πρός.
99) L: πρός.
100) Y: σὺν εἰδ.
101) Z addit: ὡσαύτως καὶ εἰς μητέρα καὶ εἰς τὴν αὐτῆς θυγατέρα, omissa §. 34.
102) L: αὐτῆς.
103) L: ἐν εἰδ.
104) LY: αὐτῇ.
105) B: τῇ.
106) LY: ἐν εἰδ.
107) L: πλημ.
108) Y: —ης παρ' αὐτοῦ τῆς δευτέρας γυναικός.
109) Y: παίδων.

λϛʹ. Ἐὰν γυνὴ πορνεύσει καὶ γίνεται [110]) ἔγκυος, καὶ ἐπιβουλεύσει τῇ οἰκείᾳ [111]) γαστρὶ πρὸς τὸ ἐκτρῶσαι, τυπτομένη ἐξοριζέσθω [112]).

λζʹ. Οἱ ἀπὸ τοῦ παρόντος [113]) πρὸς γάμον συναπτόμενοι ἐξάδελφοι καὶ τὰ τούτων τέκνα καὶ μόνον, ἢ καὶ πατὴρ καὶ υἱὸς πρὸς μητέρα καὶ θυγατέρα, ἢ [114]) δύο ἀδελφοὶ εἰς δύο ἀδελφὰς πρὸς τῷ χωρισμῷ [115]) καὶ τυπτέσθωσαν [116]).

ληʹ. Οἱ ἀσελγεῖς, ὅ τε ποιῶν καὶ ὁ [117]) ὑπομένων, ξίφει τιμωρείσθωσαν. εἰ δὲ ὁ ὑπομένων ἧττων τῶν δώδεκα ἐτῶν εὑρεθῇ, συγχωρείσθω [118]), ὡς τῆς ἡλικίας δηλούσης μὴ εἰδέναι αὐτὸν τί ὑπέμεινεν [119]).

λθʹ. Οἱ ἀλογευόμενοι ἤγουν κτηνοβάται καυλοκοπείσθωσαν [120]).

μʹ. Ὁ πῦρ ἐμβαλὼν ἐν ἀλλοτρίᾳ ὕλῃ ἢ κόπτων ἐξ αὐτῆς δένδρον [121]) εἰς τὸ διπλάσιον καταδικαζέσθω [122]).

μαʹ. Οἱ διά τινας ἔχθρας ἢ ἁρπαγὰς πραγμάτων ἐμπρησμὸν [123]) ἐν πόλει ποιοῦντες, πυρὶ παραδιδόσθωσαν. εἰ δὲ ἔξω πόλεως χωρία ἢ ἀγροὺς ἢ οἰκίας ἀγρῶν ἐξεπίτηδες ἐμπρήσωσι, ξίφει τιμωρείσθωσαν. εἰ δέ τις τὴν καλάμην τοῦ ἰδίου χωραφίου ἢ τὰς ἀκάνθας βουλόμενος καῦσαι ἐνέβαλε [124]) πῦρ κατ᾽ αὐτῶν, τὸ δὲ πῦρ καὶ περαιτέρω προῆλθε καὶ ἔκαυσε [125]) τὰ [126]) ἀλλότρια χωράφια ἢ τὸν [126]) ἀλλότριον ἀμπελῶνα, δεῖ περιεργάζεσθαι τὸν ἀκροατήν, καὶ εἰ μὲν κατὰ ἀπειρίαν ἢ ῥαθυμίαν τοῦ βάλλοντος [127]) τὸ πῦρ τοῦτο γέγονε, τὸ ἀζήμιον τῷ βλαβέντι ποιείτω. εἰ γὰρ ἐν ἡμέρᾳ πολὺν [128]) ἄνεμον ἐχούσῃ τὸ πῦρ ἐνέβαλεν [129]) ἢ καὶ μὴ παρεφυλάξατο [130]) μὴ προελθεῖν [131]) τὸ πῦρ περαιτέρω [132]), ὡς ἀμελήσας καὶ ῥαθυμήσας [133]) καταδικάζεται· εἰ δὲ [134]) πάντα μὲν παρεφυλάξατο, ἀθρῶον δὲ πνεῦμα βίαιον ἐνέπεσε [135]) καὶ διὰ τοῦτο ποῤῥώτερον [136]) προῆλθε [137]) τὸ πῦρ, οὐ καταδικάζεται. ἐὰν [138]) ἐκ τοῦ

110) LY: γένηται.
111) LY: ἰδίᾳ.
112) Z: δημεύσει ὑπόκειται.
113) Cf. supra tit. II. §. 2.
114) Deest in B.
115) B: τὸν χωρισμόν.
116) Z addit: καὶ τῷ δημοσίῳ ἐπιμενέτωσαν.
117) In B deest.
118) Y: τυπτέσθω καὶ ἐν μοναστηρίῳ εἰσαγέσθω.
119) LZ: τὸ τί ὑπομένει.
120) LY: δένδρα.
121) L: καταδικάζεται. Sic et YZ.
122) L: ἢ ἐμπρ.
123) Z: ἐμβάλλει.
124) Z: παρέλθῃ καὶ καύσῃ.
125) Articulus in Z deest.
126) Z non habet.
127) L: βαλόντος. Z: ἐμβάλλ.
128) B: πολλῇ.
129) LZ: ἔβαλεν.
130) L: παρεφύλαξε τό.
131) Z: παρελθεῖν.
132) B: παρ᾽ ἑτέρῳ. Z: περ᾽ ἑτέρῳ
133) Z: ῥάθυμος.
134) L: εἰ δὲ καί.
135) Z: ἐπέπ. B: ἐμπεσόν.
136) LZ: ποῤῥωτέρω.
137) Z: παρῆλθε.
138) Z: εἰ δὲ.

συμβεβηκότος[139] ἐμπρησϑῇ οἶκός τινος καὶ καυϑῶσί[140] τινα τῶν ἰδίων αὐτοῦ πραγμάτων, καὶ ἐκδράμῃ τὸ πῦρ καὶ ἐμπρήσῃ τινὰ τῶν συμπαρακειμένων[141] αὐτῷ οἰκημάτων, ἀνενόχλητος[142] ἔστω ὡς ἀνοήτως[143] τοῦ τοιούτου ἐμπρησμοῦ γενομένου[144].

μβ'. Ὁ εὑρισκόμενος εἴτε ἐλεύϑερος εἴτε δοῦλος ἐπὶ προφάσει οἱᾳδήποτε διδοὺς ποτὸν, εἴτε γυνὴ ἀνδρὶ εἴτε ἀνὴρ γυναικὶ εἴτε δοῦλοι τῇ αὐϑεντίᾳ[145], καὶ διὰ τῆς τοιαύτης προφάσεως ἀσϑενείᾳ περιπέσοι ὁ λαβὼν τὸν[146] ποτὸν καὶ συμβῇ αὐτὸν καταῤῥεῦσαι καὶ ἀποϑανεῖν[147], ξίφει τιμωρείσϑω.

μγ'. Οἱ γόητες καὶ οἱ φαρμακεῖς[148] οἱ ἐπὶ βλάβῃ ἀνϑρώπων προσλαλοῦντες τοῖς δαίμοσι[149], ξίφει τιμωρείσϑωσαν.

μδ'. Οἱ ποιοῦντες φυλακτὰ[150] τὸ δοκεῖν ἐπ' ὠφελείᾳ ἀνϑρώπων διὰ ἰδίαν αἰσχροκέρδειαν δημευόμενοι ἐξοριζέσϑωσαν[151].

με'. Ὁ φονεύων ἑκουσίως οἱασδηποτε ἡλικίας ἐστὶ, ξίφει τιμωρείσϑω.

μϛ'. Ὁ μετὰ ξίφους πλήττων τινὰ, ἐὰν φονεύσῃ, ξίφει τιμωρείσϑω. εἰ δὲ οὐκ ἀποϑάνῃ ὁ πληγεὶς, χειροκοπείσϑω[152] ὁ δεδωκὼς, διὸ[153] ὅλως μετὰ ξίφους δοῦναι ἐτόλμησεν.

μζ'. Ἐὰν μάχης μεταξύ τινων γινομένης συμβῇ ϑάνατον προελϑεῖν, συγκρινέτωσαν οἱ ἀκροαταὶ καὶ τηρείτωσαν τὰ ὄργανα δι' ὧν ἐπράχϑη[154] ὁ ϑάνατος. καὶ εἰ εὕρωσι[155] διὰ ξύλων τελείων ἢ καὶ λίϑων μεγάλων ἢ καὶ[156] λακτέων τὸν φόνον γενέσϑαι, ὁ τοῦτο ποιῶν[157] χειροκοπείσϑω. εἰ δὲ δι' ἐλαφροτέρων[158] τινῶν συμβῇ γενέσϑαι τὸν ϑάνατον, τύπτεσϑαι τοῦτον[159] καὶ ἐξορίζεσϑαι.

μη'. Ὁ ἐν μάχῃ μετὰ χειρὸς[160] τύπτων καὶ φονεύων, τυπτέσϑω καὶ ἐξοριζέσϑω ὡς ἀκουσίως φονεύων[161].

μϑ'. Εἴ τις τὸν ἴδιον οἰκέτην λώροις ἢ ῥάβδοις τύψῃ καὶ ἀποϑάνῃ, οὐ[162] κατακρίνεται ὁ δεσπότης αὐτοῦ ὡς ἀνδροφόνος[163].

139) L addit ἐμπυρισμοῦ.
140) L: ἐκκαυϑ. Z: πάϑωσι.
141) L: παρακ.
142) L: ἀνέγκλητος.
143) B: ἀνόητος. L: ἀκουσίως. Z: ἀκουσίου.
144) B: γενόμενος. Z: γεγονότος.
145) Z: δοῦλοι αὐϑένταις. L: δούλη τῇ αὐϑεντρίᾳ.
146) L addit ὑπὸ τούτου.
147) Z: ἀποϑάνῃ.
148) LZ: φάρμακοι.
149) Y: δαίμονας ἐπικαλούμενοι.
150) Z: φυλακτήρια.
151) Vind. 3 intercalat §.: Ἡ τὸ νήπιον φονεύσασα τιμωρίᾳ φόνου ὑπόκειται. Eandem §. (Ὁ — φονεύσας —) habet A inter §. 43 et 44.
152) B: χειροκοπηϑήτω.
153) BZ: δι' ὃν. L: διότι.
154) LZ: κατειργάσϑη.
155) B: εὑρεϑῶσι.
156) καὶ — καὶ deest in LYZ.
157) Z: ὁ τοιοῦτος. Y: ὁ τοιοῦτος ποιῶν.
158) L: ἐλαφρῶν.
159) YL: αὐτόν. Z: τὸν τοιοῦτον.
160) Y: χειρῶν.
161) Z: φονεύσας.
162) Deest in L.
163) B: ἀνδροφονεύς.

εἰ δὲ ἀμέτρως αὐτὸν ἐβασάνισεν ἢ φαρμάκῳ ἀνεῖλεν ἢ προσέκαυσεν, ὡς φόνον πεποιηκὼς τιμωρείσθω [164].

ν'. Ὁ ληστεύων καὶ ἔνεδρα [165] ποιῶν καὶ φονεύων, ἐν ᾧ κρατεῖται τόπῳ φουρκίζεται [166].

να'. Οἱ [167] συκοφάνται ἐν οἱᾳδήτινι [168] αἰτίᾳ συκοφαντήσουσί τινα [169], τῇ ταυτοπαθείᾳ ὑποκείσθωσαν.

νβ'. Οἱ μανιχαῖοι καὶ οἱ μοντανοὶ ξίφει τιμωρείσθωσαν [170].

ΤΙΤΛΟΣ ΟΚΤΩΚΑΙΔΕΚΑΤΟΣ [1].

Περὶ διαμερισμοῦ σκύλων.

α'. Τοὺς ἐξερχομένους εἰς ἐχθροὺς [2] ἐπὶ πολέμῳ φυλάξασθαι [3] δεῖ ἑαυτοὺς [4] ἀπὸ παντὸς πονηροῦ ῥήματος καὶ πράγματος καὶ πρὸς μόνον τὸν θεὸν τὸν νοῦν αὐτῶν ἔχειν καὶ τὴν δέησιν καὶ μετὰ συμβουλίας ποιεῖσθαι [5] τὸν πόλεμον. βοήθεια γὰρ ἐκ θεοῦ δίδοται μετὰ καρδίας ἐπιδεομένοις [6]. οὐκ ἐν πλήθει γὰρ δυνάμεως [7] νίκη πολέμου, ἀλλ' ἐκ θεοῦ ἡ ἰσχύς. τοῦ δὲ [8] θεοῦ παρέχοντος νίκην τὸ ἕκτον μέρος ἀφιεροῦσθαι [9] τῷ δημοσίῳ, καὶ τὸ λοιπὸν πᾶν μέτρον [10] πάντας τοὺς λαοὺς [11] ἐξ ἴσου καὶ ἐπ' ἴσης [12] μοίρας μερίζεσθαι, τὸν μέγαν καὶ τὸν μικρόν. ἀρκεῖ γὰρ τοῖς ἄρχουσιν ἡ προσθήκη τῶν ῥογῶν αὐτῶν. εἰ δὲ εὑρεθῶσί [13] τινες ἐκ τῶν [14] ἀρχόντων ἀνδρείως φερόμενοι, ὁ εὑρισκόμενος στρατηγὸς ἐκ τοῦ εἰ-

164) **Z addit:** τυπτόμενος καὶ ἐξοριζέσθω.
165) **YL:** ἐνέδρας.
166) **YL:** φουρκιζέσθω.
167) **Y:** Εἰ.
168) **YZ:** οἱᾳδήποτε. **L:** οἵᾳ δ' ἄν.
169) **Deest in L.**
170) **Hactenus B et C et Vallic. F, 47. — A, Vind. 3 et** Ἰβηρίτης **22 addunt §. hanc:** Οἱ αὐτόμολοι ἤτοι εἰς τοὺς πολεμίους προστρέχοντες, ξίφει τιμωρείσθωσαν. — **Haec eadem § apud L et Y occurrit.**
1) **Tituli numerum A non habet.**
2) **N:** ἐχθρῶν.
3) **LZY:** φυλάξαι.
4) **L non habet.**
5) **YLZ:** ποιῆσαι.
6) **Y:** τελευτικῆς. **LZ:** βουλευτικῆς.
7) **Y:** δυνάμεων.
8) **L verba** θεοῦ ἡ ἰσχύς. τοῦ δὲ **non habet.**
9) **N:** ἀφαιρεῖσθαι. **Z:** ἀφαιρείσθω. **LY addunt** δεῖ.
10) **N:** μέτρῳ. **Z:** μέρος.
11) **Y:** ἅπαντας τοῦ λαοῦ.
12) **YLZ:** ἐξ ἴσης καὶ ἐφ' ἴσης.
13) **N:** εὕρωσι.
14) **LY addunt** αὐτῶν.

ρημένου ἕκτου μέρους τοῦ δημοσίου ἵνα παράσχῃ καὶ κατὰ το πρέπον συγκροτήσῃ αὐτούς. κατὰ δὲ τὴν μερίδα τοῦ εὑρισκομένου εἰς τὸν πόλεμον οὕτως ἔστω κατὰ [15]) τὸ γεγραμμένον καὶ ἡ μερὶς τῶν ἐν τοῖς τούλδοις ἀπερχομένων [16]).

15) N: καὶ. L verba κατα τὸ γεγρ. non habet.

16) C: ἐπερχ. Z: εὑρισκομένων. Paris. 1391 καθημένων. Idem addit: διόρθωται, i. e. correctum est sc. hoc exemplar. — Caeterum plerique Codices Eclogae Appendicem subjiciunt, de qua videas Delineationem hist. JGR. §. 21 et 'Ανέκδοτα a me edita p. 184 sqq.

ΕΠΑΝΑΓΩΓΗ ΤΟΥ ΝΟΜΟΥ

ΥΠΟ

ΒΑΣΙΛΕΙΟΥ ΚΑΙ ΛΕΟΝΤΟΣ ΚΑΙ ΑΛΕΞΑΝΔΡΟΥ.

EPANAGOGE LEGIS

BASILII ET LEONIS ET ALEXANDRI.

Prolegomena.

§. 1.

Epanagoges indoles et historia.

Epanagoge, quod et ipsum ejus nomen [1]) indicat, est repetita praelectio Prochiri illius Basilii, Leonis et Constantini, quod Heidelbergae anno 1837 edidi. In prolegomenis ad eam editionem p. LXXXI sq. Epanagogen sic descripsi: „integrum Prochiron paucis dumtaxat alicubi capitibus omissis [2]) in se continet. Sed ordo titulorum [3]), et capitum in singulis titulis consequentia [4]), quae in Prochiro obtinet, in Epanagoge hic illic in melius mutata est: et textus quoque passim interpolatus [5]) est. Denique ad ea capita, quae Prochiri titulis continentur, nova [6]) quaedam in convenientibus Epanagoges titulis adjecta sunt: imo integri tituli [7]), qui Prochiro prorsus incogniti sunt, in Epanagoge accesserunt.“ Quae quo magis comprobentur, in fine hujus voluminis inter indices tabulas adjiciam, quae concordantiam et discordantiam inter Prochiron et Epanagogen quasi uno obtutu ob oculos ponent.

Teste inscriptione prooemii Epanagoge edita est ab Imperatoribus Basilio, Leone et Alexandro, qui intra annos 879—886 [8] συμβασιλεῖς fuerunt. Videtur autem Basilius repetitam praelectionem Prochiri instituisse, ut cum ἀνακαθάρσει τῶν παλαιῶν νόμων, quam

1) Ἐπανάγειν est reducere, sub incudem revocare.

2) Illa capita Prochiri, quae novas constitutiones Basilii continent, omnia praetermissa sunt. Cf. tamen tit. XXVIII c. 4 ibique not. 4, et tit. XXXIX not 7.

3) Ὁ πρόχειρος νόμος p. XCI not 122.

4) V. c. ea capita, quae summas definitiones alicujus materiae exhibent, sicubi Prochiron medio titulo collocaverat, Epanagoge consultius initio tituli reposuit. Sic Epan. XXIV, 1 est Proch. XVII, 17.

5) E. g. conferas Epan. XXI, 6 cum Proch. XI, 13 sqq. et Epan. XXXIV, 6 cum Proch. XXXIII, 13 sqq.

6) V. c. Epan. XVI, 17. 18. 20. 21 etc.

7) Nimirum titt. 1—7. 9. 11. 13. 30.

8) Procheiros Nomos: auct: Basil, Constantine and Leo, 867-879.

post annum 883 [8]) perfecerat, ratio ejus libri conveniret. Proinde Epanagogen inter 884 et 886 prodiisse probabile est.

Capita quaedam Epanagoges, quae in Epitome tit. I schol. 20 et 22 adjecta reperiuntur, inscriptionem ibi praeferunt Φωτίου. Hoc ita explicari potest, ut Photius Patriarcha Basilio ejusque filiis in elaboranda Epanagoge opem tulisse dicatur. Sane in prooemio Epanagoges de origine et natura legis adversus recentiorum Manichaeorum errores ἀναλόγως disputatur iis, quae Photius contra eorundem haeresin disseruit [9]): atque etiam in contextu Epanagoges, veluti tit. IX c. 16, tit. XI c. 5, tit. XII c. 18, tit. XIV c. 11, tit. XXXVIII c. 20, satis multa occurrunt, quae clericum sapiant. Itaque non refragabimur, si quis conjecturam illam ad veritatem prope accedere arbitretur.

§. 2.

Codices MSS. et Scholia Epanagoges.

Epanagoge nobis servata est in

Codice MS. Marciano 181 fol. 1—206.

Codice MS. Palatino 55 fol. 2—49 (ex Cod. Marciano descripta)

Codice MS. Vaticano 847 fol. 26—179 (absque prooemio).

Prooemium praestare dicitur Cod. Taurinensis 105: indicem titulorum et titulos I—VII habet Cod. Palatin. 233 fol. 7—13: titulos II—XI Cod. Palat. 371 fol. 1—24: fragmenta ex toto opere ordine descripta Codex Paris. reg. gr. 1367 fol. 54 sqq. Plura de his Codicibus dixi in libro Ὁ πρόχειρος νόμος p. CLXXXVIII sqq. et in *Schneider* Krit. Jahrb. 1847 p. 615 sqq.

In his Codicibus omnibus [10]) Epanagogae s c h o l i a accedunt, quae a librariis partim in margine adscripta partim textui interjecta sunt. Scholia ista notatu dignissima sunt. Auctor, jus Justinianeum praevalere arbitratus, accurate exponit, sicubi Epanagoge cum isto parum congruit [11]): locos juris Justinianei in Epanagogen non receptos hic illic adscribit [12]): ad interpolationes a compositoribus

8) Hoc scilicet anno Nomocanonem Photius absolvit, inque illo Basilicorum nullum vestigium est. Cf. Ὁ πρόχειρος p. XCII sqq. Ad ea, quae ibi dicta sunt, locuples testis accedit Balsamon in Proleg. ad Photii Nomocanonem (Voelli et Justelli Bibl. II p. 814 lin. 31 sq.) et ad can. 16 synodi Constantinop. (Beveregii Synod. I p. 357).

9) Videatur Ὁ πρόχ. νόμος p. LXXXIII sq.

10) In Prochiro p. LXVI hoc de Codd. Marciano et Palatino nondum mihi constitit.

11) Cf. tit. XVIII sch. i, XIX, c etc.

12) E. g. tit. II sch. a. Nonnullos ejusmodi locos librarii postea perperam cum textu miscuerunt: cf. tit. XV not. 5, tit. XXIV not. 10. Ali-

Epanagoges factas animum advertit[13]): passim notat textum Epanagoges a textu Prochiri differre[14]), et novas constitutiones Basilii in Prochiro positas, in Epanagoge vero praetermissas, ex illo repetit[15]): aliquando semet ipsum in textu aliqua emendasse vel addidisse profitetur[16]): denique non raro vituperat, quae in textu male habere sibi visa sunt[17]).

Auctor quidem ipso Basilio regnante[18]) haec scholia scripsit: sed quo consilio, equidem dijudicare non ausim. Fortasse ejus opera arctissime cum confectione Epanagoges cohaeret, ut novae editionis προπαρασκευὴν[19]) auctoritate quasi publica factam repraesentet. Certe mirum est, quod non tantum Codices MSS. supra laudati omnes ista scholia contineant, sed etiam auctores, qui, ut §. 3 dicemus, Epanagoge usi sunt, omnes etiam scholia Epanagoges ob oculos habuerint.

§. 3.

Epanagoges tituli XIII. — Epanagoge cum Prochiro composita. — Prochiron Vaticanum. — Epanagoge aucta.

Tituli I—III Epanagoges passim in Codicibus MSS. quasi fortuito inserti reperiuntur, veluti in Cod. Vindob. phil. gr. 89 fol. 153 et jurid. gr. 16 fol. 277, ut et auctores non desunt, qui hos tantum titulos cognitos habuerunt. Haec tamen ad crisin Epanagoges et ad auctoritatem et historiam ejus illustrandam vix quicquam faciunt. Majoris momenti sunt libri nonnulli ex Epanagoge efformati, nimirum Epanagoges tituli XIII, Epanagoge cum Prochiro composita, Prochiron Vaticanum et Epanagoge aucta. Sed de his omnibus, praeter Prochirum Vaticanum, in libro Ὁ πρόχειρος νόμος p. XCV sq. et XCIX sqq. egi, et semel dicta repetere nolo.

quoties locum Digestorum, quem textus Epanagoges ex recensione Anonymi praestat, scholiastes in margine ἐκ τῆς ἄλλης ἐκδόσεως, scilicet e Cyrilli Digestis adscribit: v. c. tit. XXII, b; XXIV, a, c, e; XXV, b, c; XXVI, a.

13) Veluti tit. XXXIII, d, g; XXXVII, b.

14) His locis Prochiron vocat τὸν ἄλλον, nempe πρόχειρον. Cf. tit. XVII not. 3; tit. XVIII, e; XXI, g; XXXIII, f, i, h, k.

15) Videsis tit. XVI not. 1. 2; XXI, f; XXIII not. 2; XXXIV, d et not. 7.

16) Cf. tit. XVIII, g.

17) E. g. tit. XIII, a; XIX, 12 sqq.; XXI, i; XXXII, a; XXXIII, c.

18) In Prochiro p. XCVIII minus recte sub Leone id factum esse statui. Nam tit. XVI not. 2 et tit. XXI sch. a et f is, quem auctor τὸν ἡμέτερον βασιλέα vocat, aperte Basilius, Prochiri auctor, est.

19) Sic auctor tit. XVI schol. d in fine et tit. XVII schol. a et b de lege ferenda quodammodo consilium dat. Idque forsitan Leonem, Basilii filium, movit, ut hic illic Novellis jus repurgaret: videsis tit. XVII not. 4.

Hoc tantum illis addo, Codicem Vindob. jurid. gr. 18 fol. 1—5 fragmenta titulorum XVI. XL. XII et XVII Epanagoges cum Prochiro compositae praestare, et quod jam §. 2 observavi, auctores istorum enchiridiorum etiam scholia Epanagoges in usum suum vertisse. De libro autem, quem *Prochiri Vaticani* nomine appellavi, paucis hoc loco defungar. Extat in Codice Vaticano 1168 fol. 28^b—122, et similiter in Cod. Vallicell. E, 55 fol. 157—249 [20]), nisi quod hic Codex variis additamentis hic illic interspersis conspicuus sit. Inscriptio est: Νόμος τῶν εὐσεβῶν ἡμῶν βασιλέων βασιλείου λέοντος καὶ ἀλεξάνδρου. Subjicitur prooemium Prochiri Basiliani, sed sic: Ἐν ὀνόματι τοῦ δεσπότου ἰησοῦ χριστοῦ ἡμῶν αὐτοκράτορες καίσαρες βασίλειος λέων καὶ ἀλέξανδρος εὐτυχεῖς ἔνδοξοι νικηταὶ τροπαιοῦχοι εὐσεβεῖς πιστοὶ βασιλεῖς. Τὸν μέγαν φύσει — τὴν ἀρχὴν εἰλήφαμεν. Sequitur

περὶ συναίσεως (sic) μνηστείας τίτλος ά.

[ά.] Μνηστεία ἐστὶν . . .	=	Proch.	I,	1	Epanag. XIV,	1
[β'.] Συνίσταται μνηστεία .	=	„	„	[2]	„ „	[3]
[γ'.] Οἱ συναινοῦντες . . .	=	„	„	3	„ „	5
[δ'.] Παραγνώμην	=	„	„	4	„ „	8
[ε'.] Ὡς ἐπὶ τῶν γάμων . .	=	„	„	6	„ „	10
[ς'.] Ὁ τὸ γινόμενον . . .	=	„	„	[8]	„ „	11
[ζ'.] Μνηστείας ἡγησαμένης .	=	„	„	[10]	„ „	13
[ή.] Ὁ πατὴρ τῆς . . .	=	„	„	5	„ „	7
[θ'.] Διχονοοῦντος	=	„	„	7	„ „	6
[ί.] Μνηστεύεταί τις . . .	=	„	„	11	„ „	4
[ιά.] Οἱ τῶν αἱρετικῶν . .	=	„	„	14	„ „	17

Reliquorum titulorum ordo atque consequentia haec est: Titulorum II—XXXIX rubricae eaedem sunt, quae in Prochiro Basiliano, nisi quod τί. κς' περὶ λύσεως ὑπεξουσιότητος plane omissus est. Tituli XXXIX rubrica haec est: ὁ πινάλιος (sic) [21]) περὶ ποινῶν. Subjicitur in fine tituli illud περὶ διαμερισμοῦ σκύλων et περὶ τῶν ἐν ἀλλοτρίᾳ γῇ κ. τ. λ. Sequitur

τί. μ'. περὶ βίας — τάφων (Epitome tit. 40 vel 43).

τί. μά. περὶ τῶν δημευομένων — αἱρέσεων (Epit. tit. 41 vel 44).

[τί. μβ'.] περὶ συκοφαντῶν — καὶ περὶ πλαστοῦ (Epit. tit. 43 vel 46).

[τί. μγ'.] περὶ ἱεροσύλων (Epit. tit. 44 vel 47).

20) Cognata etiam sunt, quae Cod. Vind. jur. gr. 8. fol. 9—23 praestat.

21) Cf. Fragmenta versionis gr. legum Rotharis p. 31 sq.

[τί. μδ'.] περὶ κεφαλικῶν ἐγκλημάτων — αἰσχρότητος. (Epit. tit. 45 vel 48.)
[τί. μέ.] περὶ στρατιωτικῶν ἐπιτιμίων.
[τί. μς'.] κεφάλαια τοῦ νόμου τοῦ ῥοδίου.
[τί. μζ'.] κεφάλαια νόμου γεωργικοῦ.

Auctor, ut in titulis XL sqq. Epitomen, ita in titulis XXXIX prioribus componendis fere Epanagogen sequitur: nonnunquam autem, maxime tit. IX et XXXVI, locos *Prochiri* in Epanagoge non repertos quasi ἐκ τῆς νεαρᾶς διατάξεως βασιλείου λέοντος καὶ ἀλεξάνδρου (sic) vel quasi λειπόμενα κεφάλαια ἐκ τοῦ μ τίτλου τῶν εὐσεβεστάτων βασιλέων βασιλείου λέοντος καὶ ἀλεξάνδρου addit, ut proinde Prochiron non Basilio, Constantino et Leoni, sed Basilio, Leoni et Alexandro tribuisse videatur.

Quo tempore tum Prochiron Vaticanum tum reliqui libri ex Epanagoge efformati compositi sint, dijudicare admodum difficile est. Conjecturas de ea re in libro: Ὁ πρόχειρος νόμος proposui, quas *Mortreuil* Hist. du droit Byzantin to. II p. 414—435 cautius sequi debuisset.

Utut est, Epanagoge quantae apud posteros auctoritatis fuerit, vel sic perspicitur, quum toties a recentioribus auctoribus retractata fuerit. Idem Prochiro aucto et Epitome Marciana confirmatur, quorum auctores similiter in compilandis libris istis Epanagoge usi sunt[22]). De quo velim conferas, quae in libro Ο πρόχειρος νόμος p. CLV sqq. et supra in Prolegomenis ad Eclogam §. 5 observavi.

§. 4.
Editionis ratio.

Sub titulo Eclogae Leonis et Constantini etiam tituli I—IX et XI Epanagoges a Leunclavio jam olim in I. G. R. II p. 82 sqq. publica luce donati sunt: idemque etiam disjecta quaedam fragmenta titulorum II, III et VIII in eodem IGR. I p. 178. 296 et 394 edidit: sed ita ut textus, quem exhibet, a Codicibus MSS., qui quidem mihi innotuerint, hic illic recedat. Nostra aetate cl. *Witte* prooemium titulorumque indicem ex Codice Marciano 181 edidit, quae recudi ego curavi in Prochiro p. LXVII sqq.

Jam vero integram edo Epanagogen cum suis scholiis, sequutus potissimum eundem Codicem Marcianum 181, ita tamen, ut

22) Idem fortassis dicendum est de Prochiro, quod in Codice Monacensi 309 fol. 1—193 habetur, nec non de Prochiro, quod cum prooemio Epanagoges servatum est in Cod. Taurinensi supra §. 2 laudato.

obiter Codicem Palatinum et Vaticanum contulerim, et ex reliquis libris §. 3 enumeratis saltem Epanagogen auctam adhibuerim. In notis adjiciendis eo parcior fui, quo major pars Epanagoges ex Prochiro sumta est, cujus uberiores notae in editione anno 1837 a me parata a curiosis harum rerum relegi possunt.

Explicatio siglorum:

A = Cod. MS. Venetus sive Marcianus 181.
B = Cod. MS. Palatinus 55.
C = Cod. MS. Vaticanus 847.
D = Epanagoge aucta, quam ex Codd. Bienerianis aliisque compluribus descriptam habeo.
Leuncl. = Leunclavii sive Freheri Jus Graeco-Romanum to. II p. 82 sqq.

ΠΡΟΟΙΜΙΟΝ ΤΗΣ ΕΠΑΝΑΓΩΓΗΣ
ΤΟΥ ΝΟΜΟΥ ΤΟΥ ΣΥΝ ΘΕΩΙ ΕΜΦΑΝΕΣΤΕΡΟΥ [1]

ὑπὸ

βασιλείου καὶ λέοντος καὶ ἀλεξάνδρου

τῶν παναγάϑων [2] καὶ εἰρηνοποιῶν βασιλέων.

Τὸ ἀξίωμα καὶ τὸ μέγεϑος τῆς προκειμένης πραγματείας δηλώσει μὲν ἔπειτα ὅ τε σκοπὸς καὶ τὸ τέλος, τεκμηριοῖ καὶ μάλιστα περιφανέστατα καὶ ἡ ἐκ τούτων ἁπλῶς ἐν αἰτίαις καὶ ἐν δόξαις [3]) ἁγιωτάτη εὐγένεια. δόγμα γὰρ πρώτιστον καὶ μυστικώτατον εἰσηγήσασϑαι, μυστικῶς ἐν τούτῳ πάντων ἔργοις [4]) ὁ τῶν ἀγαϑῶν πάντων πρύτανις καὶ ταμιοῦχος εὐ βουληϑείς, μετὰ τὴν τῶν νοητῶν καὶ αἰσϑητῶν ποίησιν [5]) μικτόν τε κοινὸν σύνδεστον [6]) καὶ τύπον κοινὸν [7]) τῶν ἀντικειμένων [8]) καὶ ἀντιϑέτων φύσεων παράγει τὸν ἄνϑρωπον, νόμον [9]) αὐτῷ ἀγαϑὸν δοὺς ὡς ἀνάῤῥυσίν τινα καὶ κρᾶσιν καὶ διαμονὴν [10]) τῆς τοιαύτης διαϑέσεως· τοῦτο μὲν ἵνα μή τις αὐτὰς ἑκατέρωϑεν τοῦ ζώου τούτου κεχωρισμένας ἀρχὰς [11]) καὶ ἐνοικήσεις σεσοφισμένας ἄλλης καὶ ἄλλης ἀρχῆς ὑποδείξειεν [12])· τὸ δὲ ἵνα καί, ὅταν μιᾶς ἀρχῆς ταῦτα γνωρίσῃ, μὴ πονηροῦ [13]) τινος ἀλλ᾽ ἀγαϑοῦ ϑεοῦ πιστεύσῃ καὶ κατανομίσῃ. τὸ μὲν γὰρ ἐκ δύο ἑτεροουσίων ἐνσύνϑεσιν [14]) δημιουργῆσαι τὸν ἄνϑρωπον, διδάσκει αὐτὸν τοῦτον εἶναι καὶ τῶν ὁλοτήτων ἐκείνων ποιητήν, ἐξ ὧν αἱ μοῖραι αὐταὶ κατὰ συγγένειαν ἐλογίσϑησαν· τὸ δὲ καὶ νόμον ἀγαϑὸν δοῦναι πρὸς φυλακὴν καὶ σωτηρίαν καὶ διαμονὴν ἐπ᾽ ἀγαϑῷ τῆς τοιαύτης συνϑέσεως, διδάσκει, ὅτι καὶ ἀγαϑὸς ὁ ποιήσας πάντα ϑεὸς καὶ κύριος, ἐξωώζων τὴν τῶν ἐναντιωϑεϊτῶν καὶ ἀϑέων μὴ εὐνομίων δυσσέβειαν, εἰσάγων δὲ τὴν τῆς μιᾶς δεσποτείας καὶ ἑνιαίας μοναρχίας κυριότητά τε καὶ ἐξουσίαν. οὐ προσωπικὴν δὲ μο-

1) **Taurin. 105**: ἐμφανιζομένου.
2) **Idem**: πανταγάϑων.
3) **A**: αἰτιοις καὶ ἐν δοξοις.
4) **Haec *Witte* corrupta esse censet.**
5) **A**: ποίησις.
6) **Lego**: μικτῶν τε κοινὸν σύνδεσμον.
7) **A**: κῶον.
8) ***Witte* ediderat ex A**: αὐτίκα μνημονευομένων, **adjecta hac nota: Cod.**: μενω πιστων. **Nimirum in A primitus scriptum fuit** ἀντικειμεναπίστων. **Deinde correctura effectum, ut nunc legatur** ἀντικειμένωντίστων.
9) **A**: νομῳ.
10) **Lego**: διανομήν.
11) **A**: ἀρχῆς. ***Witte* edidit**: φύσεις.
12) **A et B**: ὑποδείξειε νῦν **vel** νῆν. ***Witte:*** ὑποδείξῃ λέγων.
13) **A**: πονηράς.
14) ***Witte:*** ἐν συνϑέσεσιν **vel** ἐν συνϑέσει **conjecit. Forsan**: εὐσύνϑεσιν.

ναρχίαν ἠνίξατο, ἀλλὰ τὴν τρισυπόστατον δεσποτείαν ἐμηνύσατο· τρία γὰρ δείκνυται εὐθὺς ὁ θεὸς δημιουργῶν καὶ κτίζων, νοητὰ καὶ αἰσθητὰ καὶ συνέχοντα καὶ συγκρατοῦντα νόμον, ὡς ὑπὸ ἑνὸς καὶ τοῦ αὐτοῦ ζώου ἐν μιᾷ τῇ οὐσίᾳ καὶ τρισὶ προσώποις προσκυνεῖσθαι οἰκονομῶν ὁμοῦ καὶ προοιμιαζόμενος.

Καὶ τοῦτο ἐκ τῆς φυσικῆς μοναρχίας καὶ τριαδικῆς δεσποτείας ἡ ἡμετέρα βασιλεία θείως πως καὶ ἀποῤῥήτως μυηθεῖσα, ἐπὶ τὴν τοῦ ἀγαθοῦ καὶ σωσικόσμου νόμου ἀνάληψιν καὶ ἀναγόρευσιν μετὰ πολλῆς σπουδῆς καὶ ἐπιμελείας διηγέρθη καὶ διανέστη· καὶ πρῶτον μὲν τὰ ἐν πλάτει τῶν παλαιῶν νόμων κείμενα ἅπαντα ἀνακαθαρίσασα, ἐν τεσσαράκοντα βίβλοις ἀθόλωτον καὶ ἀνόθευτον τὸ πᾶν χῦμα[15]) τοῦ νόμου ὡς πόμα θεῖον ὑμῖν ἐκέρασε· νῦν δὲ τὰς ἐπὶ ἐναντιώσει τοῦ εἰρημένου θείου δόγματος καὶ ἐπὶ καταλύσει τῶν σωστικῶν νόμων παρὰ τῶν Ἰσαύρων φληναφίας ἐκτεθείσας πάντη[16]) ἀποβαλομένη καὶ ἀποῤῥίψασα, ἐκ τῶν εἰρημένων τεσσαράκοντα βίβλων τῶν προκεχριμένων[17]) ὡς θεοδιδάκτων νόμων ἐκλεξαμένη ἐν τεσσαράκοντα τίτλοις, ἰσαρίθμῳ ταῖς βίβλοις, ἐν χερσὶ φέρειν σωτήριον καὶ ψυχωφελῆ νόμον καὶ σύντομον καὶ σαφῆ καὶ εἰσαγωγικὸν ἐκείνων τῶν ἐν ταῖς τεσσαράκοντα βίβλοις κειμένων ὑμῖν ἐφιλοτιμήσατο. καὶ τοῦτον τὸν νόμον αὐτοκρατορικῶς τε καὶ παντοκρατορικῶς πάντων τῶν ὑπὸ τὴν ἐξουσίαν ἡμῶν πιστῶν ἀνδρῶν κρατεῖν κελεύομεν.

Καὶ γὰρ ὁ νόμος παρὰ θεοῦ κατάρχειν τῶν ἐν τῷ σταδίῳ τῆς προαιρέσεως ἀποδυομένων ἀνθρώπων καὶ μόνον οὐχὶ βασιλεύειν τῆς δεξιᾶς φάλαγγος ἐχειροτονήθη, ὡς μεμαθήκαμεν· διὸ βασιλεὺς καὶ βασιλέων ἐστὶν ἀνέκαθεν, καὶ βασιλέων οὐ τῶν τυχόντων, ἀλλὰ τῶν ἐν ὀρθοδοξίᾳ καὶ δικαιοσύνῃ πάνυ μνημονευομένων καὶ ᾀδομένων· καὶ ὡς ἐκ τῶν φθασάντων κατείδομεν, μόνος τῶν λοιπῶν ἀγαθῶν καθ' αὐτὸ ὁ νόμος ἡμῖν ἐκ θεοῦ δέδοται, καὶ αὐτὴν τὴν φύσιν ἡμῶν ῥώννυσι καὶ τὸ σεβάσμιον κέκτηται. ὅθεν εἰδότες ὅτι πολλῶν μὲν ἄλλων χρησίμων καὶ ὠφελίμων ἐν ἀνθρώποις ὄντων ὁ νόμος καθ' αὐτὸ μαρτυρεῖται κατὰ τὴν προειρημένην ἱερολογίαν ἐκ θεοῦ διδόμενος καὶ ἀναγορευόμενος, πρὸς πάντα τὰ λοιπὰ χαίρειν εἰπόντες ἐπὶ τὴν τούτου ἰσχὺν καὶ αὐτοκτρατορίαν συνεδράμομεν. πάλιν δὲ εἰδότες ὅτι καὶ πολλῶν τεχνῶν καὶ ἐπιτηδευμάτων περὶ

15) Verbum χῦμα idem significat, quod πλάτος. Vide: Pselli de Justin. Novellis libellum. ed. *Berger*. Lips. 1836. 8. p. 17 not. k.

16) Nimirum in Prochiri prooemio §. 2. Isaurorum Ecloga non in totum abrogata est, ἀλλ' ὅσον ὤφειλεν, hic vero tota rejicitur. Quamquam in ipso textu Epanagoges vel magis Eclogae ratio habita est, quam in Prochiro.

17) *Witte* vertit: *„in primo loco constitutis.“* Sed similiter Nov. Leonis 1 ἐγκρίνειν significat *sancire*, ergo προκρίνειν debet esse *antea sancire.*

τὴν οὐσίαν τῶν ἀνθρώπων ὑπαρχόντων καὶ συμβαλλομένων, μόνος ὁ νόμος κατ' αὐτὴν ἡμῶν τὴν οὐσίαν ὀνίνησι καὶ χρησιμεύει, ἁπασῶν τῶν τεχνῶν καὶ ἐπιστημῶν προυργιαιτέραν τὴν εἰς αὐτὸν ἐμμελῆ μάθησιν ποιησόμεθα· ἐπεὶ καὶ πάντων τῶν μαθημάτων κρείττων καὶ ἀνωτέρα ἡ τοῦ νόμου ἐπιστήμη, ὡς ἐκείνων μὲν πρὸς τὸ τέλος τῆς εὐζωΐας ἀφορώντων, τὸν νόμον δὲ καὶ τὴν δικαιοσύνην αὐτὸ τὸ τέλος τῆς εὐδαιμονίας εἰπών τις καὶ τῆς ἀνθρώπῳ μακαριότητος οὐχ ἁμαρτήσοι. καὶ ὡς[18]) οὐκ ἔστιν ἡμῖν ζῆν ἄνευ τοῦ ἀναπνεῖν[19]), οὕτως οὐκ ἔστι σώζεσθαι καὶ εὖ εἶναι ἄνευ τοῦ συμμαχοῦντος καὶ στρατηγοῦντος νόμου. καὶ τὸν θεὸν πολλοῖς τε καὶ ἐκλελεγμένοις καὶ ἀγαθοῖς ὀνόμασι γεραίρειν ἐπειγόμενοι, ἡνίκα δίκαιον εἴπωμεν, πιστεύομεν τῷ καλλίστῳ τῶν ὀνομάτων τοῦ οἰκείου τέλους αὐτὸν κατευφραίνειν μέλποντες. δίκαιον δὲ ὄντα τὸν θεὸν ἀεὶ ὑστέρως ἡμεῖς ὀνομάσαι ὑπειλήφαμεν, ὅτι πάντα τὰ ἔργα ἐν δικαιοσύνῃ ἤγουν ἰσότητι νόμου τῇ ἑκάστῃ πρεπούσῃ ἑωράκαμεν· πάντα γὰρ ἀρχῆθεν πραγματικῶς ὑπὸ τοῦ νόμου περαίνεται καὶ μορφοῦται, καὶ τῆς προσηκούσης εὐταξίας εὐμοιρήσαντα, ὥσπερ ὑπὸ διβήτου[20]) τινὸς ἢ κανωνίου σφραγιζόμενα καὶ προτυπούμενα, εἰς ἑνὸς κόσμου σύστασιν ἁρμονικῶς συνάγεται καὶ συναθροίζεται. οὐδὲν γὰρ κωλύει μᾶλλον ἡμᾶς φάναι, ὡς προκεντήματι τῷ τῆς ἰσότητος[21]) νόμῳ βλέποντα τὸν θεὸν τὸν κόσμον συστήσασθαι, ἢ ἰδέας ἀπείρους τῶν καθ' ἕκαστα ἀναπλάττεσθαι. οὕτω γὰρ καὶ τὴν ψυχὴν ὁρῶμεν ἐν διαγράμμασι νομικοῖς τὸ ἀγαθὸν κατὰ λόγον διοπτεύουσαν, τὸ φαῦλον καὶ ἄλογον ἀποσειομένην. ὅ τε γὰρ θυμὸς καὶ ἡ ἐπιθυμία, καίπερ ἐν τοῖς τῆς ἰσότητος δυσὶν εἴδεσιν καταβληθέντα, ὑπὸ τοῦ νόμου κοσμεῖται, ὡς ὑπό τινος ἀληθοῦς ἰσότητος ἢ ταὐτότητος, καὶ ἐκ τῆς ἐνισώσεως ταύτης θᾶττον ἐν ἡμῖν ὥσπερ αἰθριάζουσαι καὶ πανηγυρίζουσαι αἱ λεγόμεναι τέσσαρες συνεκτιμότεραι ἀρεταὶ κατ' ἐνέργειαν ἀνασκιρτῶσι καὶ ἀναλάμπουσιν. τέλος γὰρ θεοῦ, ἀποτέλεσμα δὲ νόμου ἐν ἡμῖν ἡ ὄντως δικαιοσύνη. αὐτῷ δὲ τούτῳ τῷ ἀγαθῷ νόμῳ, ὥσπερ δὴ καὶ θεῷ σκοπὸς ἡ δικαιοπραγία, καὶ διὰ ταύτης ἢ παρόντα ἀγαθὰ φυλάξαι, ἢ ἀπόντα ἀνακαλέσασθαι, τέλος δὲ τὸ τὴν δικαιοπραγίαν διὰ πάντων ἐνεργεῖσθαι καὶ τὴν ἀγαθότητα.

Δέξασθε[22]) οὖν τοῦτον τὸν νόμον ὀρθοφρόνως καὶ θεοπρεπῶς ὡς παρὰ θεοῦ γεγονότα, ὡς ἄνωθεν ὑπαγορευθέντα, ὡς δακτύλῳ θεοῦ οὐ πλαξὶ λιθίναις ἀλλ' ἐν ταῖς ἡμετέραις ψυχαῖς πυρίναις γλώτταις ἐντυπούμενον. Προτάττομεν δὲ ἐν τοῖς τίτλοις τὰ περὶ

18) Deficit in A.
19) A in margine: πνεῖν.
20) *Witte* διαβήτου edidit.
21) B: ἀνισότητος.
22) AB: δέξασθαι.

τῆς συστάσεως καὶ εἰσφορᾶς αὐτοῦ τοῦ νόμου καὶ τῆς δικαιοσύνης[23]) ἐγκείμενα, ὡς δι' αὐτοῦ τὸν νομοθέτην καὶ δικαιοδότην χριστὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν προβασιλεύειν καὶ προκαθέζεσθαι πάντων τῶν χριστιανῶν καὶ ἡμῶν εὐχόμενοι καὶ πιστεύοντες· ἐπὶ τούτοις δὲ τὰ περὶ βασιλέων, καὶ πατριαρχῶν, καὶ τῶν ἑξῆς ἀρχοντικῶν προσώπων[24]), τὴν τάξιν καὶ τὸν κόσμον τῆς ἐκ θεοῦ πολιτείας ὥσπερ δι'[25]) αὐτῶν τῶν ἐπισήμων καὶ περιφανῶν προσώπων ταῖς ἀναλόγοις ἀξίαις τῶν προομολογηθεισῶν αὐτοῖς ἀρετῶν ἀναστηλοῦντες καὶ ὅλην τὴν πολιτείαν ἀναζωγραφοῦντες. καὶ ἐπειδὴ πᾶσα ψυχὴ πρὸς τὸ πολιτεύεσθαι κατανεύσασα ταύτην τὴν ἡμετέραν καὶ χριστιανικὴν πολιτείαν εὐθὺς μυεῖσθαί τε τῆς εὐσεβείας ἐπιποθεῖ σὺν τῇ τάξει τῇ πολιτικῇ, καὶ τὰ τῆς σωτηρίας καὶ τελειώσεως καὶ πρὸς θεὸν ἀναβάσεως ὀφείλοντα ἤτοι τὰ περὶ τῶν ἐκκλησίᾳ[26]) ἱερατικῶν καὶ ἀρχιερατικῶν τελετῶν καὶ ἀποκληρώσεων[27]) εἰκονικῶς τεθείκαμεν, μετὰ τὴν σωματοποίησιν οἱονεὶ τῆς πολιτείας ὥσπερ καὶ τὴν ψυχογονίαν συντάξαντες, ἢ καθάπερ ὕλῃ τῇ πολιτείᾳ τὸ εἶδος ἤγουν τὴν ἐκκλησίαν συντεθεικότες. καὶ ἐπειδὰν εἴτε δὴ η τελεία φύσις ἐξ ἀμφοτέρων ἀπετελέσθη εἴτε δὴ ὁ τέλειος εἰπεῖν ἄνθρωπος, τὸν διὰ κινήσεως καὶ ὀργάνων τινῶν τελούμενον καὶ ἐνεργούμενον βίον, τουτέστι μνηστείαν, γάμον[28]), καὶ τὰ ἐπισυμβαίνοντα τῷ βίῳ, δωρεὰς καὶ προῖκας[29]) καὶ παντοῖα συναλλάγματα[30]) κατόπιν τῆς περὶ μαρτύρων καὶ συμβολαίων[31]) διδασκαλίας ἐξεθέμεθα· ὀργάνων γὰρ λόγον ἔχειν τοὺς μάρτυρας καὶ τὰ συμβόλαια ἐν ταῖς ἐπερωτήσεσι καὶ τοῖς συμφώνοις καὶ τοῖς συναλλάγμασιν ἐγνώκαμεν. τελευταῖον δὲ τὰ ἐν τέλει τοῦ βίου συμβαίνοντα, οἷον τὰ περὶ διαθηκῶν δηλαδὴ καὶ ὅσα τούτοις ἕπεται[32]). ἔξωθεν δὲ πάντων τούτων [τῶν] εἰρημένων ὡς ἀλλότρια τῆς εἰρηνικῆς ζωῆς καὶ ἐλευθερίας καὶ διὰ τὴν ἁμαρτίαν παρακολουθήσαντα, τὰς καινοτομίας[33]) καὶ τὰ καλούμενα ποινάλια[34]) καίπερ λυπούμενοι καὶ δυσχεραίνοντες κατελέξαμεν· καὶ ἁπλῶς ἔχει τὰ εἰρημένα, ὡς ὑποτέτακται[35]).

23) Tit. 1.
24) Tit. 2—7.
25) An: ὥσπερ δή;
26) Malim: ἐν ἐκκλ.
27) Tit. 8—11.
28) Tit. 14. 16. 17. 21.
29) Tit. 15. 18—20. [Fortassis legendum est: πράσεις, ut verbis: μνηστείαν, γάμον significentur tituli 14—21, verbo: δωρεάς tit. 22, verbo: πράσεις tit. 23, denique παντοῖα συναλλάγματα tit. 24—28.]
30) Tit. 22—28.
31) Tit. 12. 13.
32) Tit. 29—38. Verbis: ὅσα τούτοις ἕπεται innuuntur *libertates* et *tutelae* testamento datae.
33) Tit. 39.
34) Tit. 40.
35) Titulorum indicem, qualem haec ultima indicare videntur, ABC non habent.

ΤΙΤΛΟΣ ΠΡΩΤΟΣ.

Περὶ νόμου καὶ δικαιοσύνης.

Κεφ. α' [1]. Νόμος ἐστὶ κοινὸν παράγγελμα, φρονίμων ἀνδρῶν δόγμα, ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων ἐπιστροφὴ, πόλεως συνθήκη κοινή· ἐστὶ δὲ καὶ θεῖον εὕρημα.

β'. Τοὺς νόμους ἀπὸ τῶν ὡς ἐπὶ τὸ πλεῖστον συμβαινόντων οὐ μὴν τῶν σπανίως εἰσάγεσθαι δεῖ, οὐδὲ ἀπὸ τῶν δυναμένων ἐν ἑνὶ συμβαίνειν θέματι· παρορῶσι γὰρ οἱ νομοθέται τὸ ἅπαξ ἢ δίς.

γ'. Ἀρετὴ νόμου τὸ κελεύειν, τὸ κωλύειν, τὸ ἐπιτρέπειν, τὸ τιμωρεῖσθαι.

δ'. Δικαιοσύνη ἐστὶ σταθηρὰ καὶ διηνεκὴς βούλησις ἑκάστῳ τὸ ἴδιον ἀπονέμουσα δίκαιον.

ε'. Ἴδια δικαιοσύνης τὸ κοσμίως ζῆν καὶ ἑκάστῳ τὸ ἴδιον ἀπονέμειν.

ϛ'. Σοφία δικαιοσύνης τὸ εἰδέναι τὰ θεῖα καὶ ἀνθρώπινα πράγματα καὶ τὸ δίκαιον καὶ τὸ ἄδικον.

ΤΙΤΛΟΣ ΔΕΥΤΕΡΟΣ.

Περὶ βασιλέως.

Κεφ. α'. Βασιλεύς ἐστιν ἔννομος ἐπιστασία, κοινὸν ἀγαθὸν πᾶσι τοῖς ὑπηκόοις, μήτε κατὰ ἀντιπάθειαν τιμωρῶν [a]), μήτε κατὰ

a) Ἐκ τοῦ γ' βι. τοῦ κυροῦ θεοδώρου σχολαστικοῦ τί. ϛ' διατ. α' [1]). μὴ κολαζέσθω ὁ ὑβρίζων τὸν βασιλέα, ἀλλὰ μηνυέσθω [2]) τὰ περὶ αὐτοῦ ὁ βασιλεὺς, ἐὰν τῶν ἐν λόγῳ εἴη· εἰ γὰρ ἐλάχιστός ἐστι, περιφρονείσθω τελείως. σημείωσαι δὲ, ὅτι ὁ τοὺς καιροὺς διαβάλλων δοκεῖ λοιδορεῖν τὸν βασιλέα [3]).

1) Fontes singulorum capitum indicavi in tabula, quam in fine hujus voluminis inter Indices reperies.

1) Est Cod. IX, 7, 1. Sed nolui numeros mutare, quum iisdem idem locus etiam alibi citetur. Cf. Prochiron p. 283. — Caeterum hoc scholium in C abest.

2) A: μηνυέτω.

3) Cf. Basil. LX, 16, 13 schol.

προσπάθειαν [4]) ἀγαθοποιῶν, ἀλλ' ἀνάλογός τις ἀγωνοθέτης τὰ βραβεῖα παρεχόμενος [5]).

β'. Σκοπὸς τῷ βασιλεῖ τῶν τε ὄντων καὶ ὑπαρχόντων δυνάμεων δι' ἀγαθότητος ἡ φυλακὴ καὶ ἀσφάλεια, καὶ τῶν ἀπολωλότων δι' ἀγρύπνου ἐπιμελείας ἡ ἀνάληψις, καὶ τῶν ἀπόντων διὰ σοφίας καὶ δικαίων τροπαίων καὶ ἐπιτηδεύσεων ἡ ἀνάκτησις [6]).

γ'. Τέλος τῷ βασιλεῖ τὸ εὐεργετεῖν, διὸ καὶ εὐεργέτης λέγεται, καὶ ἡνίκα τῆς εὐεργεσίας ἐξατονήσῃ [7]), δοκεῖ κιβδηλεύειν κατὰ τοὺς παλαιοὺς τὸν βασιλικὸν χαρακτῆρα.

δ'. Ὑπόκειται ἐκδικεῖν καὶ διατηρεῖν ὁ βασιλεὺς πρῶτον μὲν πάντα τὰ ἐν τῇ θείᾳ γραφῇ γεγραμμένα, ἔπειτα δὲ καὶ τὰ παρὰ τῶν ἑπτὰ ἁγίων συνόδων δογματισθέντα, ἔτι δὲ καὶ τοὺς ἐγκεκριμένους ῥωμαϊκοὺς νόμους.

ε'. Ἐπισημότατος ἐν ὀρθοδοξίᾳ καὶ εὐσεβείᾳ ὀφείλει εἶναι ὁ βασιλεὺς, καὶ ἐν ζήλῳ θείῳ διαβόητος, ἔν τε τοῖς ὑπὲρ τῆς τριάδος δογματισθεῖσιν ἔν τε τοῖς ὑπὲρ τῆς οἰκονομίας λαμπρότατα καὶ ἀσφαλέστατα διὰ τὴν κατὰ σάρκα οἰκονομίαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ ὁρισθεῖσιν· τουτέστι τὸ ὁμοούσιον τῆς τρισυποστάτου θεότητος ἄτμητον καὶ ἀσυναίρετον διατηρῶν, καὶ τὴν ἐν τῷ ἑνὶ χριστῷ τῶν δύο φύσεων καθ' ὑπόστασιν ἕνωσιν, ὡσαύτως ἀσύγχυτον καὶ ἀδιαίρετον τέλειον θεὸν καὶ τέλειον ἄνθρωπον αὐτὸν, καὶ τὰ τούτοις ἑπόμενα, οἷον ἀπαθῆ καὶ παθητὸν, ἄφθαρτον καὶ φθαρτὸν, ἀόρατον καὶ ὁρατὸν, ἀναφῆ καὶ ἁπτὸν, ἀπερίγραπτον καὶ περιγραπτὸν, καὶ τὸ διττὸν τῶν θελήσεων καὶ τῶν ἐνεργειῶν χωρὶς ἐναντιότητος, καὶ τὸ ἄγραπτον καὶ τὸ γραπτόν [8]).

ϛ'. Τὰ τοῖς παλαιοῖς νομοθετηθέντα τὸν βασιλέα δεῖ ἑρμηνεύειν, καὶ ἐκ τῶν ὁμοίων τέμνειν τὰ περὶ ὧν οὐ κεῖται νόμος.

ζ'. Ἐν τῇ τῶν νόμων ἑρμηνείᾳ δεῖ καὶ τῇ συνηθείᾳ προσέχειν τῆς πόλεως. τὸ δὲ παρὰ κανόνας εἰσαγόμενον οὐκ ἐᾶται πρὸς ὑπόδειγμα [9]).

η'. Φιλαγάθως δεῖ τοὺς νόμους ἑρμηνεύειν τὸν βασιλέα· ἐν γὰρ τοῖς ἀμφιβόλοις τὴν φιλόκαλον ἑρμηνείαν προσιέμεθα.

θ'. Οὐ δεῖ μεταποιεῖν τὰ πρόδηλον ἑρμηνείαν ἔχοντα.

ι'. Περὶ ὧν ἔγγραφος οὐ κεῖται νόμος, παραφυλάττειν δεῖ τὸ ἔθος καὶ τὴν συνήθειαν. εἰ δὲ καὶ τοῦτο ἐκλείπει, ἀκολουθεῖν δεῖ τοῖς παραπλησίως [10]) ἔχουσι τῷ ζητουμένῳ [11]).

4) A: προπάθ. Emendavi secundum Leuncl.

5) Leuncl.: καὶ τὰ βρ. ἐξ ἴσου παρ.

6) Idem: ἐπιτηδευμάτων ἡ ἐπίκτησις.

7) Idem: ἀτον.

8) Verba καὶ τὸ ἄγραπτον καὶ τὸ γραπτόν ABCD similiter habent, Leuncl. autem non agnoscit.

9) Leuncl.: οὐ δεῖ λαμβάνειν εἰς παράδειγμα.

10) Idem: παραπλήσιον.

11) Idem addit: ἂν δὲ μηδὲ τοῦτο

ια΄. Ὥσπερ ἡ θέσις τοῦ νόμου ἢ ἔγγραφός ἐστιν ἢ ἄγραφος, οὕτω καὶ ἡ ἀναίρεσις αὐτοῦ ἢ δι' ἐγγράφου γίνεται νόμου ἢ δι' ἀγράφου, τουτέστι διὰ τῆς ἀχρηστίας [12]).

ιβ΄. Τότε κεχρήμεθα τῇ συνηθείᾳ τινὸς πόλεως ἢ ἐπαρχίας, ὅτι ἀμφισβητηθεῖσα ἐν δικαστηρίῳ βεβαιωθῇ. τὰ δὲ μακρᾷ συνηθείᾳ δοκιμασθέντα καὶ ἐπὶ πολλοὺς ἐνιαυτοὺς [13]) φυλαχθέντα οὐχ ἧττον τῶν ἐγγράφων κρατοῦσιν.

ΤΙΤΛΟΣ ΤΡΙΤΟΣ.

Περὶ πατριάρχου.

Κεφ. α΄. Πατριάρχης ἐστὶν εἰκὼν ζῶσα χριστοῦ καὶ ἔμψυχος, δι' ἔργων καὶ λόγων [1]) χαρακτηρίζουσα τὴν ἀλήθειαν.

β΄. Σκοπὸς τῷ πατριάρχῃ, πρῶτον μέν, οὓς ἐκ θεοῦ παρέλαβεν εὐσεβείᾳ καὶ σεμνότητι βίου διαφυλάξαι, ἔπειτα δέ, καὶ πάντας τοὺς αἱρετικοὺς κατὰ τὸ δυνατὸν αὐτῷ πρὸς τὴν ὀρθοδοξίαν καὶ τὴν ἕνωσιν τῆς ἐκκλησίας ἐπιστρέψαι (αἱρετικοὶ δὲ τοῖς νόμοις καὶ τοῖς κανόσι καλοῦνται καὶ οἱ τῇ καθολικῇ μὴ κοινωνοῦντες ἐκκλησίᾳ), ἔτι δὲ καὶ τοὺς ἀπίστους διὰ τῆς λαμπρᾶς καὶ περιφανεστάτης καὶ θαυμασίας αὐτοῦ πράξεως ἐκπλήττων μιμητὰς ποιῆσαι τῆς πίστεως.

γ΄. Τέλος τῷ πατριάρχῃ ἡ τῶν καταπεπιστευμένων αὐτῷ ψυχῶν σωτηρία, καὶ τὸ ζῆν μὲν χριστῷ, ἐσταυρῶσθαι δὲ τῷ κόσμῳ.

δ΄. Ἴδια πατριάρχου τὸ εἶναι διδακτικόν, τὸ πρὸς πάντας ὑψηλούς τε καὶ ταπεινοὺς ἀστενοχωρήτως ἐξισοῦσθαι, καὶ πρᾷον μὲν εἶναι ἐν δικαιοσύνῃ, ἐλεγκτικὸν δὲ πρὸς τοὺς ἀπειθοῦντας, ὑπὲρ δὲ τῆς ἀληθείας καὶ τῆς ἐκδικήσεως τῶν δογμάτων [2]) λαλεῖν ἐνώπιον βασιλέως καὶ μὴ αἰσχύνεσθαι.

ε΄. Τὰ παρὰ τῶν παλαιῶν κανονισθέντα καὶ παρὰ τῶν ἁγίων πατέρων ὁρισθέντα καὶ παρὰ τῶν ἁγίων συνόδων ἐκτεθέντα τὸν πατριάρχην μόνον δεῖ ἑρμηνεύειν.

ἢ, τῶν συνετωτέρων ἅμα καὶ πλειόνων ἡ γνώμη κρατείτω· συγγενὲς γὰρ τοῦτο τῇ φύσει τοῦ νόμου. Unde haec Leuncl. sumserit, necdum invenire potui: certe non hausit ex ABCD.

12) Leuncl. subdit: ἀχρηστία δὲ ἐστὶν οὐχ ἁπλῶς τὸ μὴ χρήσασθαι τῷ νόμῳ, ἀλλὰ τὸ καιροῦ καλοῦντος τὸν δημόσιον κρίνοντα τούτῳ μὲν πολλάκις τῷ νόμῳ μὴ χρήσασθαι καὶ χρόνῳ παριδεῖν, ἑτέραν δὲ ψῆφον ἀντὶ τούτου ἐξενεγκεῖν. Quae absunt ab ABCD, atque etiam ab Epanagoges tit. XIII.

13) Leuncl.: πολλοῖς ἐνιαυτοῖς.

1) Leuncl. addit ἐν ἑαυτῇ.

2) Pro his: τῆς ἐκδικ. τῶν δογμ. Leuncl. habet: τῆς συντηρήσεως τοῦ δικαίου καὶ τῆς εὐσεβείας.

ς'. Τὰ παρὰ τῶν ἀρχαίων πατέρων ἐν συνόδοις ἢ ἐν ἐπαρχίαις ἰδικῶς καὶ καθολικῶς πραχθέντα καὶ οἰκονομηθέντα τὸν πατριάρχην δεῖ διαιτᾶν καὶ διακρίνειν.

ζ'. Οἱ προγενέστεροι κανόνες καὶ εἰς τοὺς μεταγενεστέρους ἕλκονται, ὡσαύτως δὲ καὶ αἱ προγενέστεραι πράξεις καὶ οἰκονομίαι καὶ εἰς τοὺς [3]) μεταγενεστέρους ἕλκονται καὶ κρατοῦσιν, ἐπὶ τῶν ὁμοίων δηλονότι προσώπων τε καὶ πραγμάτων.

η'. Τῆς πολιτείας ἐκ μερῶν καὶ μορίων ἀναλόγως τῷ ἀνθρώπῳ συνισταμένης, τὰ μέγιστα καὶ ἀναγκαιότατα μέρη βασιλεύς ἐστι καὶ πατριάρχης. διὸ καὶ ἡ κατὰ ψυχὴν καὶ σῶμα τῶν ὑπηκόων εἰρήνη καὶ εὐδαιμονία βασιλείας ἐστὶ καὶ ἀρχιεροσύνης ἐν πᾶσιν ὁμοφροσύνη καὶ συμφωνία.

θ'. Ὁ κωνσταντινουπόλεως θρόνος βασιλείᾳ ἐπικοσμηθεὶς ταῖς συνοδικοῖς ψήφοις πρῶτος ἀνεῤῥήθη [4]), αἷς [5]) οἱ θεῖοι κατακολουθοῦντες νόμοι καὶ τὰς ὑπὸ τοὺς ἑτέρους θρόνους γινομένας ἀμφισβητήσεις ὑπὸ τὴν ἐκείνου προστάττουσιν ἀναφέρεσθαι [6]) διάγνωσιν καὶ κρίσιν.

ι'. Πασῶν [7]) τῶν μητροπόλεων καὶ ἐπισκοπείων, μοναστηρίων τε καὶ ἐκκλησιῶν ἡ πρόνοια καὶ φροντίς, ἔτι δὲ καὶ κρίσις καὶ κατάκρισις καὶ ἀθώωσις, τῷ οἰκείῳ πατριάρχῃ ἀνάκειται. τῷ δὲ κωνσταντινουπόλεως προέδρῳ ἔξεστι καὶ ἐν ταῖς τῶν ἄλλων θρόνων ἐνορίαις, ἐν οἷς οὐκ ἔστι προκαθιέρωσις ναοῦ, σταυροπήγια διδόναι, οὐ μὴν ἀλλὰ καὶ τὰς ἐν τοῖς ἄλλοις θρόνοις γινομένας ἀμφισβητήσεις ἐπιτηρεῖν καὶ διορθοῦσθαι καὶ πέρας ἐπιτιθέναι ταῖς κρίσεσιν.

ια'. Τῶν ψυχικῶν ἁπάντων ἡ πρόνοια τῷ πατριάρχῃ ἀνάκειται, ἀναφέρεται [8]) δὲ καὶ εἰς ἑτέρους, οἷς ἂν ἐκεῖνος ἀναφέρεσθαι ὁρίσῃ [9]). ὡσαύτως δὲ καὶ μετανοίας καὶ ἐπιστροφῆς ἀπό τε ἁμαρτημάτων καὶ αἱρέσεων αὐτὸς καὶ μόνος καθίσταται διαιτητής τε καὶ γνώμων, καὶ οὓς ἂν αὐτὸς ὁρίσῃ. καὶ κατὰ τὰς μητροπόλεις δὲ καὶ ἐπισκοπὰς τοῖς μητροπολίταις τε καὶ ἐπισκόποις ἡ αὐτὴ φυλάττεται τάξις καὶ ἐξουσία.

3) Leuncl.: τάς.
4) Idem: ἀνῃρέθη.
5) Leuncl.: αἷς καί.
6) Leuncl.: διάγν. ἀναφ.
7) A: Πάντων.
8) A: ἀναφαίρεται et mox ἀναφαίρεσθαι.
9) Leuncl.: δοκιμάσῃ.

ΤΙΤΛΟΣ ΤΕΤΑΡΤΟΣ.

Περὶ τάξεως ἐπάρχου πόλεως.

Κεφ. α΄. Ὁ τῆς πόλεως ἔπαρχος πάντα ζητεῖ τὰ ἐγκλήματα, καὶ τὰ ἐν τῇ πόλει γινόμενα ἀκροᾶται.

β΄. Ὁ τῆς πόλεως ἔπαρχος τῶν προσφευγόντων δούλων καὶ τῶν λεγόντων ἰδίοις ἀγορασθῆναι νούμμοις [1]) ἐπὶ τῷ ἐλευθερωθῆναι [2]) ἀκροᾶται, καὶ τῶν πατρώνων μάλιστα τῶν ἀπόρων ἐπιζητούντων ἀποτραφῆναι παρὰ τῶν ἀπελευθέρων.

γ΄. Ὁ τῆς πόλεως ἔπαρχος καὶ ἐξορίζει καὶ περιορίζει, τοῦ βασιλέως τὴν νῆσον [3]) ὁρίζοντος.

δ΄. Ὁ τῆς πόλεως ἔπαρχος ζητεῖ· καὶ τὰ ἐντὸς ἑκατὸν μιλίων τῆς πόλεως πλημμελούμενα, οὐ μὴν τὰ ποῤῥωτέρω.

ε΄. Παρὰ τῷ τῆς πόλεως ἐπάρχῳ παραπέμπονται καὶ οἱ κακῶς γινόμενοι κηδεμόνες καὶ μείζονος ὑπεξελεύσεως χρῄζοντες, καὶ οἱ δεδωκότες χρήματα ἐπὶ τῷ [4]) ἐπιτροπεῦσαι ἢ λαβόντες εἰς τὸ ἐμποδίσαι γενέσθαι ἐπιτηδείους, καὶ οἱ ἐπίτηδες ἡττόνως ἀπογραψάμενοι τὰ τοῦ νέου πράγματα ἢ φανερῶς κατὰ δόλον ἐκποιήσαντες.

ς΄. Ὁ τῆς πόλεως ἔπαρχος φροντίζει τοῦ μὴ προστῆναι ἐπὶ πορνείᾳ δημοσίᾳ ἀνδράποδα, καὶ τοῦ [5]) πιστῶς συναλλάσσειν τοὺς τραπεζίτας καὶ ἀπέχεσθαι τῶν κεκωλυμένων.

ζ΄. Ὁ τῆς πόλεως ἔπαρχος σωφρονίζει καὶ τοὺς ἀπελευθέρους καταφρονοῦντας ἢ ὑβρίζοντας τοὺς πάτρωνας ἢ τὰς γαμετὰς ἢ τοὺς παῖδας αὐτῶν, ἀπειλῶν καὶ μαστίζων ἢ ἄλλως πρὸς τὸ ἁμάρτημα ἐπεξιών. εἰ δὲ συκοφαντήσωσιν αὐτοὺς ἢ τοῖς ἐχθροῖς αὐτῶν συμπνεύσωσι, τυπτόμενοι καὶ κουρευόμενοι καὶ ἀναδουλούμενοι ἀποδίδονται τοῖς συκοφαντηθεῖσιν.

η΄. Ὁ τῆς πόλεως ἔπαρχος φροντίζει καὶ τοῦ δικαίοις τιμήμασι τὸ κρέας πιπράσκεσθαι, καὶ τῆς εἰρήνης, καὶ τῆς τῶν θεωριῶν καταστάσεως, καὶ ἔχει στρατιώτας ἐπὶ τῇ εἰρήνῃ καὶ ἐπὶ τὸ ἀναφέρειν αὐτῷ τὰ πανταχοῦ κινούμενα.

θ΄. Ὁ τῆς πόλεως ἔπαρχος δύναται ἀπαγορεύειν τινὶ τῆς πόλεως καὶ μέρους αὐτῆς, καὶ πραγματείας καὶ θέας καὶ ἐπιτηδεύσεως καὶ συνηγορίας φόρου καὶ προσκαίρως καὶ διηνεκῶς, καὶ ἐὰν

1) Sic et Basil. Leuncl. contra: ἀργυρίῳ ἰδίῳ ἀγορασθῆναι.

2) Leuncl. addit αὐτούς.

3) Idem addit ἢ ἁπλῶς τὸν τόπον, licet etiam Basilica refragentur.

4) A: τό.

5) A: τούς.

ἐξορίσῃ [6]) τινὰ, εἴργειν αὐτὸν ὀφείλει καὶ τῆς ἰδίας πατρίδος μὴ ἐξιστᾶν.

ι'. Παρὰ τῷ ἐπάρχῳ τῆς πόλεως οἱ ἀργυροπράται καὶ χρηματικῶς ἐνάγουσι καὶ ἐνάγονται.

ια'. Ὁ τῆς πόλεως ἔπαρχος ἐν τῇ πόλει μείζων πάντων ἐστὶ μετὰ τὸν βασιλέα, ἐξελθὼν δὲ τοὺς ὅρους τῆς πόλεως [7]) ἐξουσίαν οὐκ ἔχει πλὴν τοῦ κελεύειν καὶ δικάζειν.

ΤΙΤΛΟΣ ΠΕΜΠΤΟΣ.

Περὶ τοῦ κοιαίστωρος.

Κεφ. α'. Ὁ κοιαίστωρ ἐξουσίαν ἔχει τοὺς ἐπὶ τῆς μεγάλης ταύτης ἐπιδημοῦντας πόλεως ἐξ οἱασδηποτοῦν [ἀναζητεῖν] [1]) χώρας, εἴτε ἄνδρας ἢ γυναῖκας ἢ κληρικοὺς ἢ μοναχοὺς ἢ ἀσκητρίας εἴτε τῶν ἔξω πόλεων συνηγόρους ἢ καὶ ἄλλης οἱασοῦν τύχης τε καὶ ἀξίας, καὶ περιεργάζεσθαι τίνες τε εἶεν καὶ πόθεν ἥκοιεν καὶ ἐπὶ ποίᾳ προφάσει, καὶ σκοπεῖν τίνες αὐτοὺς ἀδικοῦσι, καὶ ἐπιμελεῖσθαι τοῦ συντόμως αὐτοὺς ἀπαλλάττειν τῶν δυσκόλων δι' ἅπερ ἐνταυθοῖ παραγεγόνασι, καὶ ὅτι τάχιστα τούτους ὅθεν ἥκουσιν ἐκπέμπειν τῶν προσηκόντων ἀπολαύσαντας.

β'. Ὁ κοιαίστωρ τοὺς τελοῦντας γεωργοὺς ὑπὸ δεσπότας καὶ δεομένους τῶν αὐτοῖς ἐξ αὐτῶν προσηκόντων, τούτους εἰς ταύτην παραγεγονότας τὴν βασιλίδα πόλιν ἐπισκοπεῖν δύναται, καὶ ἀναγκάζειν τοὺς κεκτημένους θᾶττον αὐτοῖς ἀποδοῦναι τὰ ἐφ' οἷς ἀφίκοντο, καὶ ἐκπέμπειν αὐτίκα τυχόντας τῶν δικαίων. εἰ δὲ ὡς εἰκὸς εἰς ἐναντίωσιν τῶν κεκτημένων παραγένοιντο καὶ πρὸς αὐτοὺς λέγοιεν δίκας, πλῆθος δὲ εἴησαν, τοὺς μὲν πολλοὺς ἀποπέμπειν παραχρῆμα εἰς τὴν χώραν, δύο ἢ τριῶν καταλιμπανομένων, οἵπερ καὶ τὴν τῶν συνδίκων δίκην ἀγωνιοῦνται· καὶ οὕτως αὐτὸν ἐπιμεληθῆναι ὡς τάχιστα τέμνειν τὰς ὑποθέσεις, ἵνα μὴ μῆκος αὐτοῖς ἐγγίνοιτο [2]) χρόνου, καὶ μάλιστα γεωργοῖς οὖσιν, ὧν ἡ ἐνταῦθα παρουσία περιττὴ καὶ ἡ ἐκ τῆς γεωργίας σχολὴ βλάβος αὐτοῖς τε καὶ τοῖς κεκτημένοις ποιεῖ.

γ'. Ὁ κοιαίστωρ τὸ ἐπιδημοῦν πλῆθος, εἰ μὴ γεωργικὸν εἴη, ἀλλὰ τυχόν τινες ἕτεροι ἢ δικασόμενοι πρὸς ἑτέρους, καὶ ἐνταῦθα

6) A et Leuncl. addunt: τίς; sed D rectius omittit.
7) Leuncl. subdit: ὅσον γε ἐπὶ τῇ ἐπαρχότητι.

1) Addo e textu Novellae 80, licet in AD et Leuncl. desit.
2) A: ἐγγίγνυτο.

χρονίζοιεν, μὴ ἐνδιδότω ἀλλὰ πάσῃ συντονίᾳ[3]) αὐτοὺς τῶν ἀμφισβητουμένων ἀπαλλαττέτω καὶ τῶν δικῶν ἐλευθερουμένους ἐκπεμπέτω, ὥστε αὐτοὺς τὰς οἰκείας χώρας καὶ πόλεις οἰκεῖν.

δ'. Ὁ κοιαίστωρ εἰ πολλάκις ἐνοχλήσας τοὺς τῶν γεωργῶν κυρίους ἀναβαλλομένους εὕροι καὶ μὴ θᾶττον αὐτοὺς τῆς προσεδρείας ἀπαλλάξαι θέλοντας, αὐτὸς παριστῶν τοὺς δεσπότας κατενώπιον τῶν δεομένων ἐπιτιμάτω σφοδρότερον, καὶ ἐν τάχει διατιθέτω ἐφ' οἷς οἱ γεωργοὶ ἐπεδήμησαν, καὶ πρὸς τὰς οἰκείας πατρίδας ἐκπεμπέτω ἢ ὅλως ἐξ ὧν ἥκουσι τόπων, πάσης[4]) ἀνῃρημένης πρὸς τοῦτο προνομίας τε καὶ φόρου παραγραφῆς.

ε'. Ὁ κοιαίστωρ, εἰ βίου πρόφασίν τινες ἢ δίκης αἰτίαν ουκ ἔχοντες ἐπὶ ταύτης εἰσὶ τῆς ἡμετέρας πόλεως ὡς διαζῆν ἐκ τοῦ μεταιτεῖν, ὁποῖοί τινες εἰσὶν ἐποπτευέτω, καὶ εἰ ἔῤῥωται αὐτοῖς τὰ σώματα καὶ δυνατοὶ διαρκεῖν πρὸς πόνον εἰσὶν, εἰ μὲν οἰκέται εἶεν, γνωριζομένων τῶν δεσποτῶν τούτους καὶ ἄκοντας τοῖς κεκτημένοις ἐκπεμπέτω, εἰ δὲ ἐλεύθεροι [τὴν] τύχην[5]), τούτους ἐκπεμπέτω εἰς τὰς ἐξ ὧν εἰσὶν ἐπαρχίας. εἰ δὲ αὐτόχθονες εἶεν, παραδιδότω θᾶττον αὐτοὺς τοῖς τε τῶν ἔργων τῶν δημοσίων τεχνίταις εἰς ὑπουργίαν, τοῖς τε προεστῶσιν ἀρτοποιϊκῶν ἐργαστηρίων ἢ τοῖς τοὺς κήπους ἐργαζομένοις ἢ καὶ ἄλλαις[6]) διαφόροις τέχναις καὶ ἐργασίαις, ἐν αἷς ἰσχύουσιν[7]) ἅμα μὲν ἔργοις προσέχειν ἅμα δὲ ἀποτρέφεσθαι καὶ τὸν ἀργὸν ἐπὶ τὸν κρείττω[8]) μεταβάλλειν βίον. εἰ δὲ μή τινες βουληθῶσι προσεδρεύειν ταῖς ἐργασίαις αἷς παρεδόθησαν, τούτους ἀπελαυνέτω τῆς βασιλίδος πόλεως. φειδόμενοι γὰρ αὐτῶν ταῦτα νομοθετοῦμεν, ὅπως ἂν μὴ τῆς ἀργίας αὐτοὺς εἰς ἀτόπους πράξεις συνωθούσης οἱ νόμοι τούτους ἁρπάσοιεν πρὸς ποινάς[9]).

ς'. Ὁ κοιαίστωρ τοὺς βεβλαμμένους τὸ σῶμα ἢ τὰς βεβλαμμένας ἢ τῇ πολιᾷ βαρεῖς τούτους ἀνενοχλήτους ἐάτω ἐπὶ ταύτης τῆς[10]) φιλανθρώπου πόλεως παρὰ τῶν εὐσεβεῖν βουλομένων ἀποτρέφεσθαι ἕως ἂν βούλωνται· εἰ δ' ἀποδημεῖν αἱροῖντο, ἐρωτάτω αὐτοὺς, τίνος παρεγένοντο χάριν, καὶ πυνθανόμενος τὰ εἰκότα ἐπ'

3) Leuncl.: συντομίᾳ.
4) A.: πᾶσιν.
5) Leuncl.: τύχοιεν. Articulum τὴν addidi ex textu Nov.
6) Leuncl.: ἄλλας ἁπλῶς διαφόρους τέχνας καὶ ἐργασίας.
7) Pro his: ἐν αἷς ἰσχύουσιν, quae etiam textus Nov. agnoscit, Leuncl. substituit: πρὸς ἃς ἂν ἐπιτηδείως ἕκαστος ἔχῃ διακείμενον τὸ σῶμα.
8) Leuncl., Novella ipsa quantumvis refragante, sic: ἅμα μὲν ἀποτρ. ἅμα δὲ τὸν ἀργὸν καὶ ἔκλυτον εἰς τὸν ἔνεργον καὶ ἀμείνω μεταβ. βίον.
9) Sic A et D, quibuscum facit Nov. 80. Leuncl. longe aliter: συνωθούσης, ἀνάγκη τῶν νόμων εἰς ποινὰς ἁρπαζόντων τοῖς ἄρχουσι τὰς δίκας ὑποσχεῖν καὶ παραδίδοσθαι· καίτοι καὶ χωρὶς τούτου τὸ παρορᾶν τὰ τῶν ἀσθενῶν τοὺς ἐῤῥωμένους, κατεσθίειν δυναμένους ἴσως διὰ τῆς ἐργασίας καὶ ἄλλοις ἐπαρκεῖν, πῶς οὐκ ἀπρονόητον;
10) Leuncl.: τῆς βασιλίδος καὶ φιλ.

αὐτοῖς πραττέτω, ὥστε μὴ πονοῦντας ἐνταῦθα καθέζεσθαι. εἰ δέ τινες τῶν εἰρημένων, ἢ τῶν ἐπ' αὐτῆς οἰκούντων τῆς πόλεως ἢ καὶ τῶν ἔξωθεν παραγενομένων, μέμφοιντό τισιν ὡς παρ' αὐτῶν ἐπί τισι ζημιωθέντες, ἀγαγέτω τοὺς αἰτιαθέντας εἰς ζήτησιν ἀκριβῆ, ὁποίας ἂν εἶεν ἀξίας τε καὶ στρατείας καὶ ὑφ' οἱανοῦν τέλοιεν ἀρχὴν, καὶ μάλιστα εἰ περὶ τὰς λεγομένας συνηθείας ἔσχον τὴν αἰτίαν, ἤ τινας ἄλλας ἀρχοντικὰς προφάσεις, ἐν οἷς καὶ τῶν ἡμετέρων νόμων συντετολμημένη καθορᾶται ἡ παράβασις· καὶ τούτους συλλαμβανέτω μέν, μετὰ δὲ τοῦ ἀδεκάστου ἐλέγχους τὰς ἠπειλημένας κατὰ τοὺς ἡμετέρους νόμους εἰσπραττέτω ποινάς, οὐδενὸς τῶν προσφόρων αὐτοῖς ἀρχόντων ἀντιποιεῖσθαι τούτων δυναμένου, καὶ τοῖς ἠδικημένοις ἀποκαθιστάτω τὸ ἀδίκημα, καὶ εἰς τὴν βασίλειον ἀρχὴν περὶ αὐτῶν ἀναφερέτω, ἔνθα ἂν συνίδοι δοθησομένας [11]).

ζ'. Ὁ κοιαίστωρ πάντα, ὅσα μέμψιν λαμβάνει παραποιήσεως ἤτοι τῆς καλουμένης πλαστογραφίας, ἐν οἱῳδήποτε τάγματι ταῦτα ἀναζητείτω, καὶ τοὺς ἐπὶ τούτοις προσαγγελλομένους κατεχέτω καὶ ἐλεγχομένους τιμωρείτω. καὶ γὰρ καὶ τῆς τοιαύτης ἀκροάσεως δίδομεν ἐξουσίαν αὐτῷ.

η'. Ὁ κοιαίστωρ μέγιστον πάντων καὶ διηνεκὲς ἐχέτω τοῦτο σπούδασμα, τὸ καθαραῖς ταῖς χερσὶν ἅπαντα πράττειν, καὶ τοὺς ὑπουργοῦντας ἔχειν μὴ ῥυπῶντας μηδὲ αἰσχροῦ λήμματος ἐλάττους, ἀλλ' αὐτόν τε καθαρῶς καὶ ἐλευθέρως ἄρχειν, καὶ εἴ τι τοιοῦτο παρὰ τῶν ὑπηρετουμένων πλημμελούμενον εὕροι, τοῦτο κολάζειν καὶ ἐξ αὐτῶν πρῶτον δεικνύναι τὴν ἑαυτοῦ στεῤῥότητά τε ὁμοῦ καὶ σωφροσύνην.

θ'. Τῷ κοιαίστωρι δίδομεν παῤῥησίαν καὶ ἄρχοντας ἐνοχλεῖν καὶ εἰς ἡμᾶς ἀναφέρειν καὶ οἴκοθεν πράττειν τὰ προσήκοντα, ἵνα μήτε ἀσθένειαν μήτε ἄλλο τὶ παντελῶς αἰτιώμενος τῆς ἡμετέρας ἑαυτῷ [12]) κρίσεως ἐλάττων φανείη.

ι'. Τῷ κοιαίστωρι ἄδειαν δίδομεν δημοσίαις ἐπιστολαῖς χρῆσθαι πρὸς τοὺς τῶν ἐπαρχιῶν ἡγουμένους, ὥστε τοὺς ἐκπεμπομένους παρ' αὐτοῦ εἰς τὰς αὐτῶν χώρας ἀπραγμόνως ἐκεῖσε διάξειν, καὶ εἴ τινος δέονται βοηθείας νομικῆς μὴ στερεῖσθαι ταύτης, προ-

11) Sic A, sed vix recte, quum verbum δοθησομένας non habeat quo referatur. (Quod et in ipso Novellae textu observandum est.) D itaque verba: ἔνθα — δοθησομένας plane omisit. Leuncl. contra longe aliter: ἀδίκημα. εἰ δέ τις τοῖς ἠδικηκόσι καὶ ἄλλη ζημία παρὰ τῶν νόμων ἐπιβέβληται εἰς τὸ δημόσιον ἀρχεῖον ἀποβλέπουσα, μετὰ τὴν ἀποκατάστασιν τοῦ ἀδικήματος εἰς τὴν βασίλειον ἀρχὴν περὶ αὐτῶν ἀναφερέτω, καὶ ἔνθα ἂν αὐτὸν συνίδῃ, ἀνατιθέτω τὸ χρηματικὸν ἐπιτίμιον.

12) Corrige: ἐπ' αὐτῷ ex Novella, licet AD et Leuncl. ἑαυτῷ habeant.

νοεῖν δὲ μάλιστα, ὥστε μηδὲ περὶ τῶν αὐτῶν δὶς ἐνοχλεῖσθαι καὶ δευτέρων αὐτῷ πραγμάτων παρέχειν ἀφορμάς. εἰ γὰρ πάλιν ἐπὶ τῆς εὐδαίμονος ταύτης λάβοι πόλεως ἐμφωλεύοντας μάτην τοὺς ἀπαλλαγέντας καὶ ἐπὶ τὴν οἰκείαν χώραν ἀποπεμφθέντας, τούτοις καὶ σωφρονισμὸν ἐπιτιθέτω πρέποντα καὶ σφοδρότερον αὖθις ἐκπεμπέτω.

ΤΙΤΛΟΣ ΕΚΤΟΣ.

Περὶ ἁπλῶς ἀρχόντων.

Κεφ. α΄. Τὸ τοῦ ἄρχοντος ὄνομα γενικόν ἐστι, καὶ σημαίνει καὶ στρατηγὸν καὶ ἀνθύπατον καὶ πάντας τοὺς ἐπαρχιῶν διοικητάς, εἰ καὶ συγκλητικοὶ ὦσιν· τὸ δὲ ὄνομα τοῦ ἀνθυπάτου εἰδικόν ἐστιν.

β΄. Ὁ ἄρχων κατὰ μόνην τὴν ἰδίαν ἐπαρχίαν τὴν ἐξουσίαν ἔχει· ἔξωθεν γὰρ ταύτης ἰδιώτης ἐστίν.

γ΄. Ὁ ἄρχων ἐν τῇ ἐπαρχίᾳ μείζω ἁπάντων ἐξουσίαν ἔχει μετὰ τὸν βασιλέα.

δ΄. Ο ἄρχων ἐπίτροπον ἢ δικαστὴν ἰδικὸν ἑαυτὸν οὐ δίδωσιν.

ε΄. Ὁ ἄρχων κωλυέτω τὰς ἀθεμίτους καὶ βιαίας εἰσπράξεις, καὶ τὰς κατὰ φόβον ἢ χωρὶς τιμῶν πράσεις, καὶ τὰ ἄδικα κέρδη καὶ ζημιώματα [1]). τὴν ἀλήθειαν δὲ σκοπείτω· τὸ γὰρ ἀληθὲς ἐκ τῶν κατὰ πλάνην [2]) γενομένων οὐ βλάπτεται.

ϛ΄. Ὁ ἄρχων ἐκδικείτω τὰ παρὰ τῶν στρατευομένων κατά τινων πλημμελούμενα, καὶ κωλυέτω ἐν προσχήματι δημοσίων εἰσπράξεις ἀθεμίτους γίνεσθαι ἢ διὰ παρουσίαν ὀφφικίων ἢ στρατιωτῶν ἀδικεῖσθαι τοὺς πένητας· ἐπιτρεπέτω δὲ τὰς θεμιτὰς ἐμπορείας καὶ κωλυέτω τὰς ἀπηγορευμένας.

ζ΄. Ὁ ἄρχων ὅσα διαγινώσκουσιν οἱ ἐν τῇ πόλει ἄρχοντες καὶ αὐτὸς διαγινώσκει· ἀνήκουσι γὰρ πάντα πρὸς τὸ ὀφφίκιον αὐτοῦ.

η΄. Ὁ ἄρχων φροντιζέτω τῆς εἰρήνης, ζητῶν τοὺς ἱεροσύλους καὶ ἀνδραποδιστὰς καὶ κλέπτας καὶ ὑποδοχεῖς καὶ πρὸς τὸ πλημμέλημα ἐπεξιὼν αὐτούς.

θ΄. Ὁ ἄρχων τοὺς μαινομένους ἐν εἰρκτῇ βαλλέτω, εἰ μὴ διὰ τῶν συγγενῶν φυλαχθῆναι δύνανται, ἢ δεσμείτω· εἰ δὲ φονεύσωσι, δεῖ ζητεῖν, μήποτε προσεποιήσαντο μαίνεσθαι ἢ ἐν τῷ καιρῷ τῆς

1) Sic Leuncl. et Basil. — AD: ζημειώτατα. 2) Leuncl. addit: ἢ βίαν.

ἀναλήψεως καὶ φρονήσεως ἐφόνευσαν, καὶ τιμωροῦνται. δεῖ δὲ καὶ τοῖς φύλαξιν αὐτῶν ἐπεξιέναι [3]) ῥαθυμοῦσιν. οὐ γὰρ μόνον διὰ τὸ μὴ αὐτοὺς βλαβῆναι φυλάττουσιν, ἀλλὰ καὶ διὰ τὸ μὴ βλάψαι ἄλλους.

ι'. Ὁ ἄρχων μὴ ἐξίτω τῆς ἐπαρχίας, εἰ μὴ δι' εὐχὴν καὶ τότε [μὴ] διανυκτερευέτω [4]).

ια'. Ὁ ἄρχων εὐχερὴς ἔστω τοῖς προσιοῦσιν καὶ ἀκαταφρόνητος, καὶ μὴ ἐξ ἴσου συναναστρεφέσθω τοῖς ἀρχομένοις, καὶ μὴ δηλούτω τῇ ὄψει ἐλεῶν ἢ ὀργιζόμενος.

ΤΙΤΛΟΣ ΕΒΔΟΜΟΣ.

Περὶ τοῦ χωρὶς δόσεως γίνεσθαι τοὺς ἄρχοντας καὶ μηδένα ἐν μηδενὶ διὰ χρημάτων κρίνειν ἢ τοὺς ὑποπίπτοντας τοῖς ἐγκλήμασι συγχωρεῖν.

Κεφ. α'. Οἱ ἄρχοντες τοὺς ἐξ οἱουδήποτε δικαστηρίου οὐκ ὀφείλουσι συγχωρεῖν λαμβάνειν καθ' οἱονδήποτε τρόπον οὐδὲ ἐν [1]) ὀνόματι συνηθείας [2]), γινώσκοντες, ὡς εἰ τούτου ῥαθυμήσειαν πᾶσαν ζημίαν ἐντεῦθεν τοῖς ἡμετέροις ὑποτελέσιν ἐπαγομένην αὐτοὶ καταθήσουσι. δίδομεν δὲ αὐτοῖς ἄδειαν καὶ εἰ εὕροιέν τινας διὰ τὴν τῆς ἀξίας ἢ τῆς ζώνης ὑπεροψίαν [3]) τοὺς ἡμετέρους ὑποτελεῖς ἀδικοῦντας, ἐξετάζειν τὰ τούτων ἀδικήματα καὶ τοὺς ὑπευθύνους [4]) εὑρισκομένους ἀφαιρεῖσθαι τῆς ζώνης. καὶ γὰρ τὴν ἡμετέραν τάξιν ἐν ταῖς ἐπαρχίαις ἔχειν παρέχομεν αὐτοῖς, καὶ ὥσπερ αὐτοὺς παντὸς ἀδίκου κέρδους εἴργομεν, οὕτω καθαρῶς ταῖς ἀρχαῖς κεχρημένους πάσης τιμῆς καὶ αἰδοῦς καὶ σεμνότητος ἀπολαύειν θεσπίζομεν.

β'. Τοὺς ἄρχοντας θεσπίζομεν, παρόντος τοῦ τῆς πόλεως ἡμῶν ἐπάρχου καὶ τοῦ ἐνδοξοτάτου κόμητος τῶν θείων ἡμῶν εἰσοδίων, τοῦ τε ἐνδοξοτάτου κοιαίστωρος τοῦ θείου ἡμῶν παλατίου, τοῦ τε ἐνδοξοτάτου κόμητος τῶν ἀπανταχοῦ θείων ἡμῶν εἰδικῶν, παρόντος δὲ καὶ τοῦ κατὰ καιρὸν μεγαλοπρεπεστάτου χαρτουλαρίου τῶν θείων ἡμῶν κοιτώνων, ἰδιόχειρον ποιεῖν, μηδὲν παντελῶς μήτε τινὶ παρασχεῖν μήτε ὑποσχέσθαι δοῦναι μήτε προστασίαν ἐπαγγείλασθαι μήτε

3) Idem: τοὺς φύλακας — ῥαθυμοῦντας.
4) A: νυκτερευέτω. Omnes negationem μή omittunt, quae tamen ex Basil. addenda est.

1) Leuncl.: ἐπ'.
2) Leuncl. addit: δωροδοκεῖσθαι λήμμασιν.
3) Leuncl.: ὑπεροχήν.
4) Idem: ἐν αἰτίαις.

ἐκ τῆς ἐπαρχίας ὁμολογῆσαι στέλλειν [5]) μήτε τοῖς ἄλλοις τοῖς τὰς ἀρχὰς ἔχουσι μήτε τοῖς περὶ αὐτοὺς καθεστῶσι μήτε ἑτέρῳ τινί, ἀλλ' ὥσπερ ἄμισθον λαμβάνει τὴν ἀρχήν, προσλαμβάνει τε παρὰ τοῦ δημοσίου τὰς σιτήσεις (ταύτας γὰρ δὴ μόνας λαμβάνειν αὐτὸν [6]) ἀφίεμεν), οὕτως αὐτὴν καθαραῖς φυλάξαι χερσί, θεῷ τε καὶ ἡμῖν τὸν ὑπὲρ αὐτῆς ὑφέξων [7]) λόγον. ἴστωσαν δὲ ὡς εἴτινες θαῤῥήσειαν λαβεῖν τι παρὰ τῶν εἰς τὰς εἰρημένας ἀρχὰς παριόντων περαιτέρω τῶν προφάσει συνηθειῶν παρ' ἡμῶν αὐτοῖς ὡρισμένων, ὡς οὐκ ἐν μικροῖς ἡ ποινὴ γενήσεται τούτοις· ἀλλ' οἱ μὲν μέγιστοι ἄρχοντες οἱ λαβεῖν τι θαῤῥήσαντες παρὰ τῶν εἰς τὰς εἰρημένας ἀρχὰς παριόντων ἢ συγχωροῦντες τῇ οἰκείᾳ τάξει τοιοῦτό τι πράττειν καὶ προσαγγελθὲν οὐ θεραπεύοντες, οὐ μόνον τετραπλάσιον ἀποδώσουσι πᾶν ὅσον εἰλήφασιν, ἀλλὰ καὶ μεγάλην ἀγανάκτησιν ὑποστήσονται καὶ τὸν ἐπὶ τῇ ἀρχῇ κίνδυνον εὐλαβηθήσονται· καὶ οἵ γε ἀμφ' αὐτοὺς ὄντες καὶ ἡ πειθομένη τάξις αὐτοῖς εἰ πλέον τι τῶν παρ' ἡμῶν συγκεχωρημένων ἐπιχειρήσαιε λαβεῖν, αὐτοί τε ὑποκείσονται τοῖς ἐζημιωμένοις καὶ εἰς τὸ τετραπλοῦν ἀποδώσουσιν, ἐκπεσοῦνται δὲ καὶ οὐσίας [8]) καὶ ζώνης πρὸς τὸ [9]) καὶ τιμωρίαις ὑποβάλλεσθαι πρεπούσαις τοῖς πλημμελήμασιν.

γ'. Τοὺς ἄρχοντας τοὺς ἀμίσθως παραλαμβάνοντας τὰς ἀρχὰς κελεύομεν πρῶτον σπούδασμα ἔχειν τοῖς δημοσίοις ἀγρύπνως προσέχειν, καὶ τοὺς μὲν ἀγνωμονοῦντας καὶ ἀμελοῦντας ἐν τοῖς ἀναγκαίοις μετὰ πάσης εἰσπράττειν τῆς σφοδρότητος, μηδὲν ὑποκατακλινομένους μηδὲ ὑπὲρ αὐτοῦ τούτου κέρδος τὶ παντάπασιν ἐννοοῦντας· τοῖς δὲ εὐγνώμοσι πατρικῶς προσφέρεσθαι.

δ'. Τοὺς ἄρχοντας κελεύομεν τοὺς ἡμετέρους ὑπηκόους φυλάττειν πανταχόθεν ἀνεπηρεάστους, οὐδοτιοῦν παρ' οὐδενὸς αὐτῶν κομιζομένους. ἴσοι δὲ ἐν ταῖς δημώδεσι στάσεσιν ἔστωσαν, ἐπεξιόντες τοῖς ἁμαρτήμασιν, καὶ τοὺς μὲν ἀνευθύνους πανταχόθεν φυλάττοντες καθαρούς, τοῖς δὲ ὑπευθύνοις ἐπιτιθέντες τὴν κατὰ νόμους ποινήν· καὶ οὕτως ἄρχοντες τῶν ὑπηκόων ὡσὰν πατέρες υἱῶν ἔστωσαν, ἀγαπῶντες μὲν αὐτοὺς ἀνευθύνους ὄντας, ὑπευθύνους δὲ φαινομένους σωφρονίζοντές τε καὶ τιμωρούμενοι, καὶ πᾶσαν δικαιοσύνην ἔν τε τοῖς δημοσίοις ἔντε τοῖς ἰδίοις συμβολαίοις αὐτοῖς διατηροῦντες, καὶ οὐκ αὐτοὶ μόνον τοῦτο πράττοντες, ἀλλὰ καὶ τὸν ἀεὶ παρεδρεύοντα τοιοῦτον λαμβάνοντες καὶ τοὺς περὶ αὐτοὺς ἅπαντας ὡς μὴ δοκεῖν ἐκείνους δῆθεν ἀνευθύνους εἶναι, δι' ἑτέρων δὲ

5) Idem subjicit: μήτε τοῖς ἐνδοξοτάτοις ὑπάρχοις. Quod licet Nov. et Bas. agnoscant, tamen nec A nec D habet.
6) Leuncl.: τοῦτον.
7) Idem: τοὺς — ὑφέξοντα λόγους ὀφείλει.
8) Idem: ἀξίας.
9) Sic AD. Leuncl. et Basil.: τῷ.

πλημμελεῖν τε καὶ κλέπτειν, ὅπερ ἔτι μᾶλλον αἰσχρότερόν ἐστιν. εἰ δέ τις παρὰ ταῦτα πράξειεν, ἴστω ὅτι καὶ δήμευσιν καὶ ἐξορίαν ὑποστήσεται καὶ τὴν εἰς τὸ σῶμα βάσανόν τε καὶ τιμωρίαν· καθαρὰς γὰρ ἀπαιτοῦμεν εἶναι τῶν ἀρχόντων τὰς χεῖρας, ἵνα τοὺς ἀρχομένους ἀζημίους φυλάξωμεν.

ε΄. Κελεύομεν τοῖς ἐπαρχιώταις, τουτέστι τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ καὶ τοῖς ἐν τῇ χώρᾳ πρωτεύουσιν, εἴ τι κατὰ τῆς ἐπαρχίας ἄδικον ὁ τῆς χώρας ἄρχων διαπράξηται, δεήσεις ποιεῖσθαι καὶ εἰς ημᾶς ἀναπέμπειν καταλέγοντας τοῦ τὴν ἀρχὴν ἔχοντος τὰ πλημμελήματα. ἡμεῖς γὰρ ταῦτα μανθάνοντες στελοῦμεν τὸν ταῦτα ἐξετάσοντα, ἐφ᾽ ᾧτε αὐτὸν ἔνθα καὶ ἠδίκησεν ἐκεῖσε καὶ τὰς ποινὰς ὑποσχεῖν τοῦ πλημμελήματος, ὡς μηδὲ ἕτερόν τινα τοιοῦτο πράξαι θαῤῥῆσαι πρὸς τὸ παράδειγμα βλέποντα.

ϛ΄. Κελεύομεν τοὺς τῶν ἐπαρχιῶν ἄρχοντας πᾶσι τρόποις μετὰ τὸ ἀποθέσθαι τὴν ἀρχὴν ν ἡμέρας ἐν ταῖς ἐπαρχίαις διατρίβειν καὶ τοῖς ἐνάγειν αὐτοῖς βουλομένοις ἀποκρίνεσθαι. εἰ δὲ συμβαίη τινὰ ἐξ αὐτῶν πρὸ τοῦ πληρῶσαι τὰς α ἡμέρας καταλιπεῖν τὴν χώραν, κελεύομεν πάντας τοὺς παρ᾽ αὐτοῦ ζημίας τινὰς ὑπομείνοντας συνιέναι παρὰ τῷ ὁσιωτάτῳ τῆς μητροπόλεως ἐπισκόπῳ τῆς αὐτῆς ἐπαρχίας, καὶ ἐπὶ πράξεως ὑπομνημάτων ἕνα ἕκαστον αὐτῶν ἁπτόμενον τῶν ἁγίων εὐαγγελίων φανεροῦν τὰς ἐπαχθείσας αὐτῷ ζημίας, καὶ ἐκ τῆς ἐκείνου περιουσίας, καθ᾽ οὗ τὰ τοιαῦτα συνέστη ὑπομνήματα, πᾶσαν ζημίαν τοῖς βλαβεῖσιν ἀποκαθίστασθαι. εἰ δέ τις τῶν ἀρχόντων τῶν ἐπαρχιῶν μετακληθείη εἰς ἄλλην ἀρχὴν ἢ χρείαν, κελεύομεν αὐτὸν νόμιμον ἐντολέα προβαλλόμενον τοῖς τὰς ἐναγωγὰς ὑπὲρ ζημιῶν προτιθεῖσιν ἀποκρίνεσθαι· ὅπερ εἰ μὴ πράξοι, θεσπίζομεν ὑπομνήματα παρὰ τῷ ὁσιωτάτῳ ἐπισκόπῳ, καθὼς ἀνωτέρω εἴρηται, πράττεσθαι καὶ τοῖς ὑπὲρ τῶν ζημιῶν τῶν ἐπαχθεισῶν αὐτοῖς ὀμόσασι κατὰ τὴν τῶν πεπραγμένων δύναμιν πᾶσαν ζημίαν ἀποδίδοσθαι· δηλονότι μηδενὸς χρόνου δυναμένου παραγράφεσθαι τῶν ἀδικημάτων τὴν εἴσπραξιν, ἐφ᾽ ὅσον ἂν ὁ ἄρχων τὴν ἀρχὴν διέπειν παρακεχώρητο.

ζ΄. Κελεύομεν πάντας τοὺς ἄρχοντας, τοῦτο μὲν στρατιωτικοὺς τοῦτο δὲ καὶ πολιτικοὺς, δι᾽ ἑαυτῶν ἀναζητεῖν τοὺς ληστείας ἢ βίας ἢ ἁρπαγὰς πραγμάτων ἢ γυναικῶν ἢ ἄλλα οἱαδήποτε ἀτοπήματα ἐν ταῖς ἐπαρχίαις πλημμελοῦντας, καὶ τιμωρίας αὐτοῖς νομίμους ἐπάγειν, καὶ μηδὲ ὑπὲρ τούτων τῶν αἰτιῶν κομίζεσθαί τι συνηθειῶν ὀνόματι, ὥστε πανταχόθεν τοὺς ἡμετέρους υποτελεῖς ἀβλαβεῖς φυλάττεσθαι. εἰ δέ τις τῶν ἀρχόντων ταῦτα μὴ παραφυλάξῃ, γινωσκέτω μὴ μόνον τῆς καταπιστευθείσης αὐτῷ ἀρχῆς γυμνοῦσθαι, ἀλλὰ καὶ ι χρυσίου λιτρῶν ποινὴν καταβαλεῖν.

η΄. Κελεύομεν μηδένα τῶν ἀρχόντων ἐξεῖναι χωρὶς ἀναγκαίας χρείας ἀποδημίας ποιεῖσθαι ἢ τὰς λεγομένας γύρας. εἰ δέ τις ἀνάγκη καλέσοι τοιοῦτό τι γενέσθαι, δαπανήμασιν οἰκείοις τοῦτο ποιείτωσαν οἵ τε ἄρχοντες καὶ οἱ προσήκοντες αὐτοῖς καὶ ἡ πειθομένη αὐτοῖς τάξις. μήτε δὲ ἀγγαρείαις ἢ τοῖς καλουμένοις ἐπιδημητικοῖς ἢ ἑτέρᾳ οἱαδήποτε ζημίᾳ βαρύνειν τοὺς ἡμετέρους ὑποτελεῖς, μήτε δὲ συνηθείας ὀνομάζειν ἢ ζητεῖν ὥσπερ τυχόν τινες τῶν προηγησαμένων εἰς οἰκεῖον κέρδος ἀδίκως ἐπενόησαν· τὰ γὰρ κακῶς ἐπινοούμενα οὐδὲ ἐκ μακρᾶς συνηθείας βοηθεῖσθαι βουλόμεθα.

ΤΙΤΛΟΣ ΟΓΔΟΟΣ.

Περὶ ἐπισκόπων καὶ χειροτονιῶν καὶ προβολῶν ἐκκλησιαστικῶν παντοίων.

Κεφ. α΄. Ἐπίσκοπός ἐστιν ἐπιτηρητὴς καὶ ἐπιμελητὴς πασῶν τῶν ἐκκλησιαζομένων ψυχῶν τῶν ἐν τῇ αὐτοῦ ἐπαρχίᾳ, δύναμιν ἔχων τελετικὴν πρεσβυτέρου καὶ διακόνου καὶ ἀναγνώστου καὶ ψάλτου καὶ μοναχοῦ [1]).

β΄. Ἴδιον ἐπισκόπου τοῖς μὲν ταπεινοῖς συγκατέρχεσθαι, καταφρονεῖν δὲ τῶν ἐπαιρομένων, καὶ πρὸς ταπείνωσιν ἔργῳ καὶ λόγῳ τῶν ὑπερηφάνων τὸ φρόνημα καθέλκειν, καὶ προκινδυνεύειν τοῦ ποιμνίου καὶ τὴν ἐκείνου στενοχωρίαν οἰκείαν ὀδύνην ποιεῖσθαι [2]).

γ΄. Κελεύομεν, εἰ μέλλει ἐπίσκοπος χειροτονεῖσθαι, συνεληλυθέναι τοὺς κληρικοὺς καὶ τοὺς πρώτους τῆς πόλεως, καὶ ἐπὶ τρισὶ προσώποις ψηφίσματα ποιεῖν, καὶ ἕκαστον αὐτῶν χειρογραφεῖν, ὅτι οὐδὲ διὰ δόσιν οὔτε ὑπόσχεσιν ἢ φιλίαν ἢ χάριν ἢ ἄλλην οἱανδήποτε προσπάθειαν, ἀλλ' εἰδότες αὐτοὺς τῆς ὀρθῆς καὶ καθολικῆς πίστεως καὶ σεμνοῦ βίου καὶ ὑπὲρ τὸ τριακοστὸν [a]) ἔτος τούτους εἶναι ἐπελέξαντο, καὶ ὅτι οὐδὲ γαμετὴν οὐδὲ παῖδας ἴσασί τινας ἐξ αὐτῶν ἔχειν ἢ παλλακὴν ἢ παῖδας φυσικούς, ἀλλ' εἰ καὶ πρότερόν τις ἐξ αὐτῶν γαμετὴν εἶχεν, καὶ αὐτὴν μίαν καὶ οὐδὲ χήραν οὐδὲ ἀνδρὸς ἀποζευχθεῖσαν οὐδὲ τοῖς ἱεροῖς κανόσιν ἀπηγορευμένην. καὶ ἐκ τῶν τριῶν προσώπων τῶν ψηφιζομένων ὁ βελτίων χειροτονείσθω

a) Ἡ νεαρὰ οὐχ ἧττονας λε΄ φησίν.

1) Cf. Harmenopul. Append. tit. 4, §. 7.

2) Harm. ibid. §. 8.

ἐπιλογῇ καὶ τῷ κρίματι τοῦ χειροτονοῦντος, λιβέλλου παρ' αὐτοῦ γινομένου μεθ' ὑπογραφῆς ἰδίας περιέχοντος περὶ τῆς ὀρθῆς αὐτοῦ πίστεως. ἀπαγγέλλειν δὲ τοῦτον καὶ τὴν θείαν προσκομιδὴν τὴν ἐπὶ τῇ ἁγίᾳ κοινωνίᾳ γινομένην καὶ τὴν ἐπὶ τῷ ἁγίῳ βαπτίσματι εὐχὴν καὶ τὰς λοιπὰς εὐχάς. ἰδιόχειρον δὲ ὑπέχειν καὶ αὐτὸν τὸν χειροτονούμενον, ὡς οὔτε δι' ἑαυτοῦ οὔτε δι' ἑτέρου προσώπου δέδωκεν ἢ ὑπέσχετο, οὐδὲ μετὰ ταῦτα δώσει ἢ αὐτῷ τῷ χειροτονοῦντι αὐτὸν ἢ τοῖς τὰ ψηφίσματα ποιησαμένοις ἢ ἑτέρῳ τῶν πάντων τινὶ ὑπὲρ τῆς εἰς αὐτὸν γινομένης χειροτονίας.

δ'. Κελεύομεν τοὺς ψηφιζομένους, εἴ τινα κοσμικὸν ἄξιον τῆς προειρημένης ἐπιλογῆς εἶναι νομίσωσι, τὸν τοιοῦτον ἅμα ἄλλοις τρισὶ κληρικοῖς ἢ μοναχοῖς ἐπιλέξασθαι, οὕτω μέντοι, ἵνα ο κοσμικὸς τούτῳ τῷ τρόπῳ εἰς ἐπισκοπὴν ἐπιλεγεὶς μὴ ἐπίσκοπος χειροτονηθῇ, ἀλλὰ πρῶτον τοῖς κληρικοῖς οὐκ ἔλαττον τριῶν μηνῶν συναριθμηθῇ, καὶ οὕτω τοὺς ἁγίους κανόνας καὶ τὴν ἱερὰν τῆς ἐκκλησίας λειτουργίαν διδαχθεὶς ἐπίσκοπος χειροτονηθῇ· ὁ γὰρ ἄλλους ὀφείλων διδάσκειν παρ' ἑτέρων μετὰ τὴν χειροτονίαν διδάσκεσθαι οὐκ ὀφείλει. εἰ μέντοιγε ἤδη διδακτικός ἐστι καὶ ἐν τῷ λαϊκῷ ἀριθμούμενος τάγματι καὶ μηδὲν ἐλλείπων ὅσα γε εἰς ἑτέρων ὠφέλειαν καὶ καταρτισμὸν, ἐπ' αὐτοῦ τὸν τοιοῦτον μὴ παρατηρεῖσθαι χρόνον ἡ πεῖρα παρέσχεν ἀκίνδυνον[3]).

ε'. Ἐὰν κατηγορηθῇ ὁ μέλλων χειροτονεῖσθαι ὡς ἀνεπιτήδειος, ἀναβαλλέσθω τέως ἡ χειροτονία, καὶ προβαινέτω ἡ ἐξέτασις παρόντος τοῦ ἀντιδίκου ἢ ἀπόντος ἐντὸς γ μηνῶν, καὶ κωλυέσθω ἡ χειροτονία. καὶ εἰ εὑρεθῇ ὁ χειροτονούμενος ὑπαίτιος κατὰ νόμους ἢ κατὰ κανόνας, κωλυέσθω· εἰ δ' ἀνεύθυνος εὑρεθῇ, χειροτονείσθω. εἰ δὲ χειροτονηθῇ παρὰ τὰ εἰρημένα, καὶ αὐτὸς καὶ ο χειροτονῶν αὐτὸν τῆς ἐκκλησίας ἐκβάλλονται. ἐὰν δὲ ὁ κατήγορος παρὼν μὴ δείξῃ ἃ διεβεβαιώσατο, ἢ ἀπολειφθῇ, εἰ μὲν κληρικός ἐστι, τῆς ἐκκλησίας ἐκβάλλεται, εἰ δὲ λαϊκὸς εἴη, δεόντως σωφρονίζεται.

ϛ'. Εἴ τις τῶν ἐπισκόπων εἴτε πρὸ τῆς ἰδίας χειροτονίας εἴτε μετὰ τὴν χειροτονίαν βουληθῇ τὰ ἴδια πράγματα ἢ μέρος ἐξ αὐτῶν προσαγαγεῖν τῇ ἐκκλησίᾳ, ἧς τὴν ἱερωσύνην λαμβάνει, οὐ μόνον οὐ κωλύομεν καὶ πάσης καταδίκης καὶ ποινῆς τοῦ παρόντος νόμου ἐλεύθερον αὐτὸν εἶναι θεσπίζομεν, ἀλλὰ καὶ παντὸς ἐπαίνου ἄξιον κρίνομεν, ἐπειδὴ τοῦτο οὐκ ἐστὶν ἀγορασία, ἀλλὰ προσφορά.

ζ'. Πρεσβύτερος χειροτονείσθω μὴ ἥττων λ χρόνων, ἐν παρθενίᾳ μεμαρτυρημένος ἢ μιᾶς γυναικὸς ἀνὴρ ὢν ἢ γεγονὼς καὶ

3) **Harm. ibid. §. 5.**

ταύτης σεμνοτάτης, καὶ τῶν ἄλλων ἀπηγορευμένων ἔργων ἠλευθερωμένος, καὶ τῇ κανονικῇ καὶ ἀδωροδοκήτῳ μαρτυρίᾳ κατησφαλισμένος [4]).

η'. Διάκονος ὀφείλει χειροτονεῖσθαι μὴ ἧττων τῶν κε̅ χρόνων, καὶ αὐτὸς ἐν παρθενίᾳ μεμαρτυρημένος ἢ μιᾶς γυναικὸς ἀνὴρ ὢν ἢ γεγονὼς καὶ ταύτης σεμνοτάτης, καὶ τῶν ἄλλων ἀπηγορευμένων ἔργων ἠλευθερωμένος, καὶ τῇ κανονικῇ καὶ ἀδωροδοκήτῳ μαρτυρίᾳ κατησφαλισμένος [4]).

θ'. Ὑποδιάκονος χειροτονείσθω μὴ ἧττων τῶν κ̅ [b]) χρόνων κατὰ τὰς προειρημένας διατυπώσεις. ἀπαγορεύομεν [6]) δὲ τοῦ λοιποῦ τὰς ὑπὸ τὸν ὅρον τοῦτον χειροτονίας· ἄτοπον γὰρ μετὰ τὴν χειροτονίαν πρὸς γαμικὰς ἔρχεσθαι συναφείας [4]) [6]).

ι'. Ἀναγνώστης χειροτονείσθω ἀφ' ὅτου οὖν χρόνου [c]) δύναται καὶ ἐπίσταται ἀναγινώσκειν [4]).

ια'. Ψάλτης χειροτονείσθω ἀφ' ὅτου οὖν χρόνου καὶ αὐτὸς δύναται ψάλλειν [4]).

ιβ'. Εἰ ἀναγνώστης δευτέραν γαμετὴν ἀγάγηται ἢ πρώτην μέν, χήραν δὲ ἢ διαζευχθεῖσαν ἀνδρὸς ἢ τοῖς νόμοις ἢ τοῖς ἱεροῖς κανόσιν ἀπηγορευμένην, μηκέτι εἰς ἄλλον ἐκκλησιαστικὸν βαθμὸν προβαινέτω.

ιγ'. Ὥσπερ κληρικὸν οἱουδήποτε βαθμοῦ ἐπὶ χρήμασι προβάλλεσθαι οὐκ ἀνεχόμεθα, οὕτως οὐδὲ ξενοδόχον ἢ πτωχοτρόφον ἢ νοσοκόμον ἢ ἄλλου οἱουδήποτε εὐαγοῦς οἴκου διοικητὴν ἢ οἱονδήποτε ἐκκλησιαστικὸν φρόντισμα χειρίζοντα. εἰ δὲ τοῦτο γένηταί ποτε, καὶ ὁ διδοὺς καὶ ὁ λαμβάνων καὶ ὁ μεσίτης τῆς ἱερωσύνης ἤτοι τῆς ἐμπιστευθείσης αὐτῷ οἱασδήποτε διοικήσεως γυμνωθήσεται, τῶν δεδομένων ἐκδικουμένων τῷ εὐαγεῖ τόπῳ, οὗτινος τὸ τοιοῦτο πρόσωπον τὴν χειροτονίαν ἢ φροντίδα ἢ διοίκησιν ἔλαβεν. εἰ δὲ κοσμικὸς ᾖ ὁ λαβὼν ἢ μεσίτης γενόμενος, τὸ δοθὲν διπλοῦν ἀπαιτηθήσεται, καὶ ἀποκατασταθήσεται τῷ εὐαγεῖ τόπῳ, οὗ τὸ τοιοῦτο πρόσωπον τὴν χειροτονίαν ἢ τὴν φροντίδα ἔλαβεν.

ιδ'. Εἴ τις κληρικὸς οἱουδήποτε βαθμοῦ ἢ διοικητὴς εὐαγοῦς τόπου ἢ πρὸ τῆς χειροτονίας ἢ τῆς πιστευθείσης αὐτῷ οἱασδήποτε διοικήσεως ἢ φροντίδος ἢ μετὰ ταῦτα βουληθῇ τι τῶν ἰδίων πραγ-

b) σχόλ. Νεαρά· κε̅ [5]).

c) Νεαρὰ ιη̅ φησίν [5]).

4) Harm. ibid. §. 9.

5) A hoc schol. non habet. — Videatur Nov. Leonis 16 et 75.

6) D: ἀπαγορεύομεν δὲ τοῦ λοιποῦ ὑπὸ ὅρον χειροτονεῖσθαι πρὸ γάμου ἢ μετὰ τὴν χειροτονίαν εἰς γάμον ἔρχεσθαι, ἀλλ' ὅτε χειροτονεῖται.

μάτων προσαγαγεῖν τῇ ἐκκλησίᾳ, ἐν ᾗ χειροτονεῖται, ἢ τῷ τόπῳ, οὔτινος τὴν διοίκησιν ἢ τὴν φροντίδα ἀναδέχεται, οὐ μόνον οὐ κωλύομεν τοῦτο γίνεσθαι, ἀλλὰ καὶ μᾶλλον ἐπιτρέπομεν.

ιε'. Θεσπίζομεν, ἐὰν ἐπίσκοπος μεσιτευόντων τινῶν ἐν χρυσίου καταβολῇ χειροτονηθῇ, καὶ τὸν διδόντα καὶ τὸν λαμβάνοντα καὶ τὸν μεσιτεύοντα τῆς ἱερωσύνης ἢ τῆς τοῦ κλήρου τιμῆς κατὰ τοὺς ἱεροὺς κανόνας ἀποκινεῖσθαι· τὸ δὲ ὑπὲρ ταύτης τῆς αἰτίας δοθὲν τῇ ἐκκλησίᾳ ἐκείνῃ ἐκδικείσθω, ἧς ἠβουλήθη τὴν ἱερωσύνην ὠνήσασθαι. εἰ δὲ κοσμικὸς εἴη ὁ ὑπὲρ ταύτης τῆς αἰτίας τὶ λαβὼν ἢ μέσος τῷ πράγματι γενόμενος, τὰ δοθέντα πράγματα ἐν διπλῷ ἀπαιτεῖσθαι αὐτὸν κελεύομεν.

ΤΙΤΛΟΣ ΕΝΝΑΤΟΣ.

Περὶ τῶν ἁρμοζόντων ἐπισκόποις καὶ πρεσβυτέροις καὶ διακόνοις καὶ ἁπλῶς πᾶσιν ἐκκλησιαστικοῖς καὶ μοναχοῖς.

Κεφ. α'. Τοὺς θεοφιλεστάτους ἐπισκόπους καὶ μοναχοὺς ἐκ μηδενὸς νόμου ἐπιτρόπους [a]) ἢ κουράτορας οἱουδήποτε προσώπου γίνεσθαι συγχωροῦμεν.

β'. Τοὺς πρεσβυτέρους καὶ διακόνους καὶ ὑποδιακόνους τῷ δικαίῳ καὶ μόνῳ τῆς συγγενείας εἰς ἐπιτροπὴν ἢ κουρατορείαν καλουμένους τὴν λειτουργίαν ὑποδέχεσθαι συγχωροῦμεν.

γ'. Ἐπίσκοπον ἢ οἰκονόμον ἢ ἄλλον κληρικὸν οἱουδήποτε βαθμοῦ ἢ μοναχὸν ἐκλήπτορα ἢ ἀπαιτητὴν δημοσίων συντελειῶν ἢ μισθωτὴν τελῶν ἢ ἀλλοτρίων κτήσεων κουράτορα καὶ οἴκου ἢ ἐντολέα δίκης ἢ ἐγγυητὴν γίνεσθαι οὐ συγχωροῦμεν.

a) σχόλιον. Ἐπιτρόπους [1]) φησὶ παίδων ὀρφανῶν καὶ τῆς οὐσίας αὐτῶν. τοῦτο γὰρ ἦν ἡ πρώην ἐπιτροπή, ἡ τῶν τοιούτων παίδων καὶ τῆς αὐτῶν ὑποστάσεως ἔστ' ἂν ἔφηβοι γένωνται παντοία φροντίς. ἐκ δὲ τῆς νῦν λεγομένης ἐπιτροπῆς οἷον ὡς ἐπὶ τὸ πλεῖστον τῆς τοῦ τελευτήσαντος περιουσίας εἰς εὐσεβεῖς αἰτίας διανομῆς, οὐδαμῶς ὁ νόμος τοὺς ἐπισκόπους ἐκώλυσεν· τοὐναντίον μὲν οὖν ἡ ρλα' φησὶ νεαρά, ὅτι κἂν ὁ διαθέμενος τοῦτο ἀπηγόρευσεν, ἀλλ' οὖν ἐκ παντὸς ὁ ἐπίσκοπος τὰ εἰς εὐσεβεῖς αἰτίας ὑπ' ἐκείνου καταλειφθέντα ἐποπτευέτω, πῶς διοικοῦνται, καὶ εἰ κατά τι μὴ καλῶς προβαίνουσιν, αὐτὸς προνοητικῶς ἐνεργείτω.

1) Cf. Nov. Leonis 68.

δ'. Τοῖς θεοφιλεστάτοις ἐπισκόποις τὰς οἰκείας καταλιμπάνειν ἐκκλησίας καὶ εἰς ἄλλας ἐπαρχίας παραγίνεσθαι ἀπαγορεύομεν. εἰ δὲ ἀνάγκη τὶς ἀπαιτῇ, μὴ ἄλλως ἢ μετὰ γραμμάτων τοῦ μακαριωτάτου αὐτῶν πατριάρχου ἢ μητροπολίτου ἢ κατὰ βασιλικὴν δηλαδὴ κέλευσιν τοῦτο ποιείτωσαν, οὕτω μέντοιγε, ἵνα μηδὲ ἐκείνοις τοῖς ἐπισκόποις, οἵτινες ὑπὸ τὸν μακαριώτατον ἐπίσκοπον κωνσταντινουπόλεως καὶ πατριάρχην εἰσίν, ἐξείη δίχα ἐπιτροπῆς αὐτοῦ ἢ ἡμετέρας κελεύσεως κατὰ τὴν βασιλίδα πόλιν ἐλθεῖν. εἰ γὰρ καὶ κατὰ τὸν τρόπον τοῦτον ἐπίσκοπος οἱοσδήποτε ἀποδημήσει, μὴ πλέον ἑνὸς ἐνιαυτοῦ τὴν ἰδίαν καταλιμπανέτω ἐκκλησίαν. τοὺς δὲ ἐπισκόπους τοὺς κατὰ τὴν βασιλίδα πόλιν ὡς εἴρηται παραγενομένους, οἱασδήποτε εἶεν διοικήσεως, πρὸ πάντων ἀπιέναι πρὸς τὸν μακαριώτατον ἀρχιεπίσκοπον κωνσταντινουπόλεως καὶ πατριάρχην, καὶ οὕτως δι' αὐτοῦ πρὸς τὴν ἡμετέραν εἰσιέναι γαληνότητα. τοῖς δὲ παρὰ ταύτην ἡμῶν τὴν διατύπωσιν ἀποδημοῦσιν ἢ ὑπὲρ τὸν ὡρισμένον τοῦ ἐνιαυτοῦ χρόνον ἔξω τῆς ἰδίας ἐκκλησίας ποιοῦσιν πρῶτον μὲν μὴ χορηγεῖσθαι παρὰ τῶν οἰκονόμων τῆς ἰδίας ἐκκλησίας δαπάνας, ἔπειτα δὲ ὑπομιμνήσκεσθαι αὐτοὺς διὰ γραμμάτων τῶν ἱερέων, ὑφ' οὓς τελοῦσιν, ὥστε ἐπανελθεῖν εἰς τὰς ἰδίας ἐκκλησίας· καὶ εἰ μὴ ἐντὸς τοῦ χρόνου ὑποστρέψουσιν[2]), αὐτοὺς μὲν τῆς ἐπισκοπῆς ἐξωθεῖσθαι γνώμῃ καὶ κρίσει καὶ δοκιμασίᾳ τοῦ οἰκείου ἀρχιερέως, ἑτέρους δὲ ἀντ' αὐτῶν ἀμείνους χειροτονεῖσθαι κατὰ τὴν τοῦ παρόντος νόμου δύναμιν· τούτου αὐτοῦ καὶ ἐπὶ τῶν κληρικῶν κρατοῦντος, οἱουδήποτε βαθμοῦ εἶεν ἢ ἐν ὑπηρεσίᾳ.

ε'. Τοῖς ἐπισκόποις καὶ πρεσβυτέροις ἀπαγορεύομεν μὴ χωρίζειν τινὰς τῆς ἁγίας κοινωνίας, πρὶν ἡ αἰτία δειχθείη, δι' ἣν οἱ ἐκκλησιαστικοὶ κανόνες τοῦτο γενέσθαι κελεύουσιν. εἰ δέ τις παρὰ ταῦτα τῆς ἁγίας κοινωνίας τινὰ χωρίσοι, ἐκεῖνος μέν, ὃς ἀδίκως ἀπὸ τῆς κοινωνίας ἐχωρίσθη, λυόμενος τοῦ χωρισμοῦ ὑπὸ τοῦ μείζονος ἱερέως τῆς ἁγίας ἀξιούσθω κοινωνίας, ὁ δὲ χωρίσαι τολμήσας πᾶσι τρόποις ὑπὸ τοῦ ἱερέως ὑφ' ὃν τέτακται χωρισθήσεται τῆς κοινωνίας, ἐφ' ὅσον χρόνον ἐκεῖνος συνίδοι, ἵνα ὅπερ ἀδίκως ἐποίησεν δικαίως ὑπομείνῃ.

ϛ'. Θεσπίζομεν καὶ τοὺς κληρικοὺς τοὺς ὑφ' ἑτέρᾳ ἐνορίᾳ τεταγμένους μηδαμῶς παρὰ γνώμην τοῦ οἰκείου ἐπισκόπου ἢ μητροπολίτου εἰς ἑτέραν ἐνορίαν μεταπίπτοντας ἢ ἐν ἐκκλησίᾳ καταλέγεσθαι ἢ χειροτονίαν ἀναδέχεσθαι. ἐκ γὰρ τοῦ μὴ τὰ τοιαῦτα πα-

2) Haec verba: καὶ εἰ — ὑποστρ. A et Leuncl. non habent. Ego ex D addidi. Sed forte plura exciderunt, quae textus Novellae praestat: id enim propter ὁμοιοτέλευτα facile evenire potuit. Cf. etiam Harmenop. App. tit. 4, §. 17.

OXFORD

ραφυλάττεσθαι πολλῆς ἀταξίας καὶ πλάνης πολλαὶ τῶν ἐκκλησιῶν ἐπληρώθησαν. εἰ δέ τις φωραθείη τὴν παροῦσαν διάταξιν ἀθετῶν, εἰ μὲν τὴν οἰκείαν ἐνορίαν ἀπολιπὼν ἐν ἑτέρᾳ μόνον κατελέγη ἐκκλησίᾳ, μηδένα βαθμὸν χειροτονίας προσλαβὼν, ἐπαναστρέφεσθαι εἰς τὸν οἰκεῖον ἐπίσκοπον, τῆς ὑπερορίου ἐκκλησίας ἐν ᾗ καὶ ἀπαρχῆς κατελέγη ἐλαυνόμενον· εἰ δὲ καὶ χειροτονίαν προσείληφε, τοῦτον ἐπὶ τριετίαν τῆς λειτουργίας ἀργοῦντα μένειν [3]) τὸ λοιπὸν ἐπὶ τῇ κρίσει τοῦ οἰκείου ἐπισκόπου τὴν αὐτοῦ συγγνώμην καταλιμπάνεσθαι [4]).

ζ΄. Ὅσα πράγματα ἔσχεν ὁ ἐπίσκοπος πρὸ τῆς ἐπισκοπῆς, δωρεῖται καὶ ἐκποιεῖται ὡς θέλει, οὐ μὴν ἀλλὰ καὶ διατίθεται εἰς αὐτά. ὅσα δὲ ἐκτήσατο μετὰ τὴν ἐπισκοπὴν, τῇ ἐκκλησίᾳ αὐτοῦ διαφέρει b), καὶ οὐδὲ διατίθεται εἰς αὐτὰ, εἰ μὴ ἄρα ἀπὸ γονέων ἢ θείων ἢ ἀδελφῶν αὐτοῦ εἰς αὐτὸν περιῆλθον.

η΄. Τοὺς πρεσβυτέρους καὶ διακόνους καὶ ἀναγνώστας καὶ ψάλτας, οὓς πάντας κληρικοὺς καλοῦμεν, πράγματα οἱῳδήποτε τρόπῳ εἰς τὴν αὐτῶν δεσποτείαν περιελθόντα ἔχειν ὑπὸ τὴν ἰδίαν ἐξουσίαν προστάττομεν καθ' ὁμοιότητα τῶν ἰδιοκτήτων πεκουλίων, καὶ δωρεῖσθαι κατὰ τοὺς νόμους καὶ ἐπ' αὐτοῖς διατίθεσθαι, κἂν ὑπὸ τὴν τῶν γονέων εἰσὶν ἐξουσίαν· οὕτω μέντοι, ὥστε τοὺς τούτων παῖδας ἢ τούτων μὴ ὑπόντων τοὺς γονεῖς αὐτῶν τὸ νόμιμον μέρος κομίζεσθαι.

θ΄. Ὁ μέλλων εἰσιέναι ἐν μοναστηρίῳ διατιθέσθω τὰ καθ' ἑαυτὸν πρὸ τῆς εἰσόδου αὐτοῦ, ἐπεὶ προσκυροῦται τῷ μοναστηρίῳ πάντα τὰ αὐτοῦ, κἂν μὴ ῥητῶς φήσειεν εἰσάγειν αὐτὰ, καὶ οὐκέτι ἔσται κατ' οὐδένα τρόπον κύριος αὐτῶν.

ι΄. Ὁ ἐπὶ παισὶ μονάσας δύναται καὶ μετὰ τὸ μονάσαι διελεῖν τὴν οὐσίαν αὐτοῦ τοῖς ἰδίοις παισὶ, φυλάττων ἑαυτῷ ἓν μέρος, ὃ καὶ τῷ μοναστηρίῳ ἁρμόζει. ἐὰν δὲ ἀδιάθετος τελευτήσῃ, τότε οἱ μὲν παῖδες αὐτοῦ λήψονται τὸ ἐξ ἀδιαθέτου, τουτέστι τὸν φαλκίδιον, καὶ τὸ λοιπὸν δίδοται τῷ μοναστηρίῳ.

b) σχόλιον. Πλὴν καὶ ταῦτα, ὥς φησιν ἡ ρλα΄ νεαρὰ ἧς ἐστὶ καὶ το κεφάλαιον [5]), εἰς αἰχμαλώτων ἀνάρρυσιν καὶ πτώχων ἀποτροφὴν καὶ εἰς ἄλλας εὐσεβεῖς αἰτίας καὶ ὑπὲρ τοῦ συμφέροντος τῆς ἰδίας ἐκκλησίας δύναται ἀναλίσκειν· κρατεῖν δὲ ὁμοίως πάντα τὸν τοιοῦτον νόμον καὶ ἐπ' ὀρφανοτρόφων καὶ πτωχοτρόφων καὶ νοσοκόμων καὶ γεροντοκόμων καὶ ξενοδόχων καὶ πάντων τῶν ἄλλων διοικητῶν τῶν σεβασμίων οἴκων ἡ αὐτὴ νεαρὰ κελεύει.

3) In AD deest.
4) Cf. Harm. App. tit. 4, §. 18.
5) Innuit Nov. 131 cap. 13, quamquam hoc nostrum caput potius ex Codice Theodori in Prochiron atque ex eo in Epanagogen transiisse videtur.

ια΄. Ἐὰν μοναχὸς καταλείψῃ τὸ ἴδιον μοναστήριον καὶ εἰς ἄλλο ἔλθῃ, εἴ τινα πράγματα ἐν τῷ καιρῷ καθ' ὃν τὸ μοναστήριον καταλέλοιπεν ἔχων φανείη, τῷ πρώτῳ μοναστηρίῳ, ἐν ᾧ ἐξ ἀρχῆς εἰσῆλθε, ταῦτα διαφέρειν κελεύομεν [c]).

ιβ΄. Τοῖς εὐλαβεστάτοις πρεσβυτέροις καὶ διακόνοις εἰ εὑρεθεῖεν ὑπὲρ χρηματικῆς αἰτίας ψευδομαρτυρήσαντες, μὴ μέντοιγε ὅρκῳ τὸ ψεῦδος βεβαιωσάμενοι, τούτους ἀρκέσει ἀντὶ βασάνων ἐπὶ τρεῖς ἐνιαυτοὺς χωρίζεσθαι τῆς θείας ὑπηρεσίας καὶ μοναστηρίοις παραδίδοσθαι· εἰ καὶ τῷ ψεύδει τὸν ὅρκον προσέθεσαν, ὁ κανὼν αὐτοὺς προεξέκοψε τῆς ἱερωσύνης. ἀλλ' οὕτω μὲν χρηματικῆς δίκης προκειμένης· ὑπὲρ δὲ ἐγκληματικῶν αἰτιῶν εἰ ψευδομαρτυρίαν εἴποιεν, ἐγγραψάμενοι δηλονότι, ὡς τοῖς θείοις ὥρισται κανόσι τοῦ κλήρου ἀπογυμνοῦνται [7]).

ιγ΄. Ἕλληνες καὶ ἰουδαῖοι καὶ αἱρετικοὶ οὔτε στρατεύονται οὔτε πολιτεύονται, ἀλλ' ἐσχάτως ἀτιμοῦνται.

ιδ΄. Οἱ τῷ κλήρῳ κατειλεγμένοι καὶ τῷ μοναχικῷ σχήματι τελειωθέντες, εἶτα τὴν οἰκείαν τάξιν λιπόντες καὶ εἰς λαϊκοὺς μετασχηματισθέντες, οὔτε στρατεύονται οὔτε πολιτεύονται, ἀλλὰ τοῖς προειρημένοις ὁμοίως ἀτιμοῦνται.

ιε΄. Οἱ τὸν μονήρη βίον ἐπανῃρημένοι οὔτε ἐπιτροπεύουσιν οὔτε δίκας ἑτέρων λέγουσιν, οὐδ' ἂν συγγενεῖς εἶεν οἱ τὰς δίκας ἔχοντες, πλὴν ὑπὲρ τῆς ἰδίας καὶ μόνον μονῆς καὶ τότε συνέσει τοῦ ἡγουμένου.

ιϛ΄. Τὰ μοναστήρια καὶ αἱ ἐκκλησίαι καὶ πρὸς τούτων [8]) αἱ μητροπόλεις καὶ ἐπισκοπαὶ οὐχ ὑπόκεινται οὔτε ἰδιωτικῇ ἀγγαρείᾳ ἤτοι δουλείᾳ οὔτε δημοσίᾳ· ἀφαίρεμα γάρ εἰσιν ἐκ πάντων οὗτοι τῷ θεῷ, καθάπερ ἡ λευῖτις φυλὴ κατὰ τὸν μωσαϊκὸν νόμον πάσης ἀτελὴς ἦν λειτουργίας. εἰ δέ τις ἀπαραίτητος καὶ κοινωφελὴς χρεία κατεπείγῃ, καὶ τούτους εἰς τὴν οἰκείαν σωτηρίαν πρὸς λειτουργίαν τινὰ καλοῦσα, διὰ τῶν κατὰ τὸν τόπον ἐπισκόπων ἀλλ' οὐ διὰ λαϊκῶν ὅλως τὴν τοιαύτην δουλείαν τελέσουσιν.

c) Ὁ [6]) μονάζων ἐν μοναστηρίῳ, κατὰ τὴν ἀκρίβειαν δηλονότι τῶν κανόνων, οὗτος, κἂν εἰς ἕτερον μοναστήριον μετατεθῇ, γνώμῃ δηλονότι τοῦ τε παραδίδοντος καὶ τοῦ παραλαμβάνοντος ἡγουμένου, οὐ συμμετατίθησι καὶ τὴν ὑπόστασιν αὐτοῦ, ἧς τὸ πρότερον μοναστήριον τὴν δεσποτείαν ἀνέλαβεν ἅπαξ εἴτε σιωπηρῶς, μηδὲν τοῦ εἰσιόντος εἰς τὸ μοναστήριον περὶ τῆς αὐτοῦ ὑποστάσεως διαταξαμένου εἴτε κατὰ διαθήκας εἴτε καὶ διὰ συμφώνου.

6) Hoc scholium C in textu collocatum habet.

7) Cf. Nov. Leonis 76.

8) D πρὸ πάντων, quod forte praestat.

ιζ'. Εἴ τις τῶν θείων μυστηρίων ἢ τῶν ἄλλων ἁγίων λειτουργιῶν ἐπιτελουμένων ἐν ἁγίᾳ εἰσελθὼν ἐκκλησίᾳ ἢ τῷ ἐπισκόπῳ ἢ τοῖς κληρικοῖς ἢ ταῖς ἄλλαις ὑπηρέταις τῆς ἐκκλησίας ὕβρεώς τι ἐπάγοι, κελεύομεν τοῦτον βασάνους ὑπομεῖναι καὶ εἰς ἐξορίαν πεμφθῆναι. εἰ δὲ καὶ αὐτὰ τὰ θεῖα μυστήρια καὶ τὰς θείας λειτουργίας ταράξοι ἢ ἐπιτελεῖσθαι κωλύσοι, κεφαλικῶς τιμωρείσθω· τούτου αὐτοῦ καὶ ἐπὶ ταῖς λιταῖς ἐν αἷς ἐπίσκοποι ἢ κληρικοὶ εὑρίσκονται φυλαττομένου, ἵνα εἰ μὲν ὕβριν τὶς μόνον ποιήσει, βασάνοις καὶ ἐξορίᾳ παραδοθῇ· εἰ δὲ καὶ τὴν λιτὴν διασκεδάσει, κεφαλικὸν κίνδυνον ὑπομείνῃ.

ιη'. Πᾶσι τοῖς λαϊκοῖς ἀπαγορεύομεν λιτὰς ποιεῖν δίχα τῶν ὁσιωτάτων ἐπισκόπων καὶ τῶν ὑπ' αὐτοὺς εὐλαβεστάτων κληρικῶν. ποία γάρ ἐστι λιτή, ἐν ᾗ ἱερεῖς οὐχ εὑρίσκονται καὶ τὰς συνήθεις οὗ τελοῦσιν εὐχάς; ἀλλὰ καὶ τοὺς τιμίους σταυρούς, μεθ' ὧν ἐν ταῖς λιταῖς ἐξέρχονται, μὴ ἀλλαχόσε πλὴν εἰ μὴ ἐν εὐαγέσι τόποις ἀποτίθεσθαι· καὶ εἴ ποτε χρεία καλέσοι τοῦ λιτὰς ἐπιτελεῖσθαι, τότε μόνον τοὺς αὐτοὺς τιμίους σταυροὺς λαμβάνειν τοὺς εἰωθότας φέρειν αὐτοὺς καὶ μετὰ τοῦ ἐπισκόπου καὶ τῶν κληρικῶν τὰς λιτὰς ἐπιτελεῖσθαι.

ιθ'. Τοὺς οἰκονόμους καὶ ξενοδόχους καὶ νοσοκόμους καὶ πτωχοτρόφους καὶ τοὺς τῶν ἄλλων εὐαγῶν οἴκων διοικητὰς καὶ τοὺς ἄλλους ἅπαντας κληρικοὺς κελεύομεν ὑπὲρ τῶν ἐμπιστευθεισῶν αὐτοῖς διοικήσεων παρὰ τῷ ἰδίῳ ἐπισκόπῳ, ᾧ ὑπόκεινται, ἀποκρίνεσθαι, καὶ τοὺς λογισμοὺς τῆς ἰδίας [9]) διοικήσεως πληροῦσθαι καὶ εἰσπράττεσθαι.

ΤΙΤΛΟΣ ΔΕΚΑΤΟΣ.

Περὶ τῶν ἐκκλησιαστικῶν ἐμφυτεύσεων καὶ μισθώσεων.

Κεφ. α'. Τὰς ἐμφυτεύσεις παρὰ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς βασιλίδος πόλεως καὶ τοῦ ὀρφανοτροφείου καὶ τῶν ξενώνων καὶ τῶν νοσοκομείων καὶ τῶν πτωχείων γίνεσθαι κελεύομεν ἐπί τε τῷ προσώπῳ αὐτοῦ τοῦ λαμβάνοντος καὶ ἄλλων δύο ἐφεξῆς κληρονόμων.

9) A et Leuncl.: καρδίας.

β΄. Τὰς δὲ μισθώσεις παρὰ τῶν εἰρημένων εὐαγῶν οἴκων γίνεσθαι κατὰ δύο τρόπους συγχωροῦμεν, ἢ μέχρι τοῦ τῆς ζωῆς χρόνου τοῦ ἐμφυτευσαμένου, ἢ εἰς ὅσους ἂν τοῖς συναλλάττουσι συναρέσοι, μὴ ὑπερβαίνοντας δηλαδὴ τὸν τριακονταετῆ χρόνον.

γ΄. Τὰς ἐκποιήσεις τῶν κτημάτων ἃ τοῖς εὐαγέσιν οἴκοις ἀνήκει ἴσμεν τῇ πείρᾳ εἰς ἐσχάτην βλάβην καὶ παντελῆ καταστροφὴν τῶν ἐκκλησιῶν τοῦ θεοῦ γενομένας. περιψιλούμεναι γὰρ διὰ τῶν ἐκποιήσεων ἢ ἐμφυτεύσεων τῆς οἰκείας περιουσίας εἰς τὸ μηκέτι περιΐστανται εἶναι. διὸ ἄμεινον ἀπὸ τοῦ νῦν μὴ συγχωρεῖν προέρχεσθαι ταύτας. εἰ μέντοι τὶς ἀπαραίτητος κατεπείγει χρεία, ἣν οὐκ ἔστι δι' ἑτέρας ὁδοῦ ἀποκλῖναι, ἢ φανερὰν καὶ ὁμολογουμένην βλάβην καὶ ζημίαν ἡ κτῆσις τῷ εὐαγεῖ οἴκῳ οὗ ἐστι τὸ κτῆμα προξενοῦν καθορᾶται, τηνικαῦτα οἱ διοικηταὶ τῶν αὐτῶν εὐαγῶν οἴκων εἰς μίσθωσιν ἢ ἐμφύτευσιν τοῦ τοιούτου ἐπιζημίου κτήματος, ἢ οὗ χωρὶς οὐκ ἔστι τὴν ἀπαραίτητον διαλύσασθαι ἀνάγκην, χωρείτωσαν, τῶν κληρικῶν ἢ μοναχῶν δηλονότι τὰς τοιαύτας αἰτίας ἐν αὐτῷ τῷ συμβολαίῳ ἢ ἐπὶ πράξεως ὑπομνημάτων φανερούντων καὶ συναινούντων καὶ τὸ συμφέρον τοῖς εὐαγέσιν οἴκοις ἐπιδεικνύντων, ὡς ἕπεται διὰ τῆς τοιαύτης ἐμφυτεύσεως. ἀλλὰ καὶ αὐταῖς ταῖς ἁγιωτάταις ἐκκλησίαις καὶ τοῖς ἄλλοις σεπτοῖς οἴκοις δίδομεν ἄδειαν κατὰ μόνους τοὺς προειρημένους δύο τρόπους μισθώσεις καὶ ἐμφυτεύσεις πρὸς ἀλλήλους ποιεῖν, καὶ τοῖς κληρικοῖς ὁμοίως τῶν ἑαυτῶν ἐκκλησιῶν τὰς κτήσεις μισθοῦσθαι καὶ διοικεῖν, γνώμῃ μέντοι τοῦ ἐπισκόπου καὶ τοῦ οἰκονόμου [a]).

δ΄. Εἴ τινες εἰσὶ τόποι ἢ τῇ αὐτῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ἤ τινι τῶν εἰρημένων εὐαγῶν οἴκων προσήκοντες, ἐν οἷς παλαιαὶ οἰκήσεις τυγχάνουσαι κατηνέχθησαν καὶ ἐξ ὧν οὐδεμία παράγεται πρόσοδος, ἀλλ' εἰς ἐρείπια προέβησαν, οἱ δὲ μνημονευθέντες εὐαγεῖς οἶκοι, οἷς διαφέρουσιν οἱ τόποι, τούτους ἀνοικοδομῆσαι μὴ δύνανται, ἄδειαν δίδομεν τοῖς τούτων διοικηταῖς τῷ τῆς ἐμφυτεύσεως διηνεκεῖ δικαίῳ ἐκδιδόναι τοὺς αὐτοὺς τόπους, οὕτω μέντοιγε, ὥστε τὴν ἐμφύτευσιν ἢ ἐπὶ τρίτῃ μοίρᾳ τῶν στεγονομίων, ἅτινα ἐκ

a) σχόλιον. Αὕτη ἡ διάταξις δοκεῖ ταῖς νεαραῖς διαφέρεσθαι [1]) · ἅπερ γὰρ ἐκεῖσε περὶ τῆς παντελοῦς ἐκποιήσεως ἤτοι πράσεως λέγεται, αὕτη καὶ ἐπὶ τῶν ἐμφυτεύσεων νομοθετεῖ· κἀκεῖ μὲν οὐ μόνον τοῖς διοικηταῖς τῶν εὐαγῶν οἴκων, ἀλλὰ καὶ τοῖς συγγενεῦσιν αὐτῶν, οὐ τὸ ἐμφυτεύεσθαι μόνον, ἀλλὰ καὶ τὸ ἄλλως πως ἐκλαμβάνεσθαι ἀπηγόρευται, ἐνταῦθα δὲ συγκεχώρηται.

1) Nimirum Nov. 123 c. 6, ad quem locum cap. 3 hujus tituli efformatum est, scholiastae diligentiam effugit, isque Nov. 120 ob oculos habuit, quam inter et nostrum caput differentias notatas animadvertere est.

τῶν οἰκημάτων ἔτι ἑστώτων συνήγετο, ἐκ προοιμίων τοῦ χρόνου τοῦ ἐμφυτεύματος προϊέναι· ἢ εἴπερ ὁ ἐμφυτευτὴς βουληθῇ μᾶλλον ἐπὶ τούτῳ τῷ ὅρῳ λαβεῖν τοὺς τόπους, ὥστε πρότερον οἰκοδομῆσαι, καὶ ἐκ τῶν προσγινομένων ἐκεῖσε κατὰ διατίμησιν στεγονομίων τὸ ἥμισυ μέρος διδόναι τῷ εὐαγεῖ οἴκῳ, ἐξ οὗ τοὺς αὐτοὺς τόπους λαμβάνει, καὶ τοῦτο γίνεσθαι συγχωροῦμεν, κεχρῆσθαι δὲ τὸν τοιοῦτον ἐμφυτευτὴν καὶ ταῖς ἐκεῖσε εὑρισκομέναις ἐκ τῶν κατενεχθέντων οἰκημάτων ὕλαις.

ε΄. Ἐὰν συμβῇ οἱονδήποτε πρᾶγμα ἔκ τινος τῶν εἰρημένων εὐαγῶν τόπων ἐμφυτευτικῷ δικαίῳ ἢ μισθωτικῷ διδόμενον ἢ εἰς βασιλικὸν οἶκον ἢ εἰς τὸ θεῖον ἡμῶν ταμεῖον ἢ εἰς πόλιν τινὰ ἢ εἰς ἄλλον τινὰ εὐαγῆ οἶκον περιελθεῖν, ἄδειαν παρέχομεν τοῖς διοικηταῖς τῶν εὐαγῶν τόπων, ἀφ᾽ ὧν ἐξ ἀρχῆς ἡ ἐμφύτευσις ἢ ἡ μίσθωσις γέγονεν, ἡνίκα περιέλθῃ εἰς ἕν τι τῶν εἰρημένων προσώπων ἡ τοιαύτη ἐμφύτευσις ἢ ἡ μίσθωσις, φανεροῦν τὴν ἑαυτῶν γνώμην εἴσω διετίας, καὶ ἢ παρ᾽ ἐκείνοις καταλιμπάνειν τὸ αὐτὸ πρᾶγμα, εἰς οὓς περιῆλθε, καὶ τὴν αὐτὴν πρόσοδον τὴν τῷ πάκτῳ περιεχομένην κομίζεσθαι, εἰ μισθωτικῶς ἐξεδόθη· ἢ τοῦτο ἀναλαμβάνειν. εἰ δὲ καὶ τίμημα κατεβλήθη κατὰ τὸν καιρὸν τῆς ἐμφυτεύσεως, κατὰ τὸ ἀνάλογον τοῦ παρελθόντος ἐν τῇ ἐμφυτεύσει χρόνου καὶ τοῦ ὑπολειπομένου τοσοῦτον μέρος τῆς ἐξ ἀρχῆς τιμῆς ἀναδιδόναι, καὶ ἀναλαμβάνειν τὸ οἰκεῖον πρᾶγμα, λυομένης δηλονότι τῆς ἐμφυτεύσεως ἢ μισθώσεως, μάλιστα εἴπερ τοῦτο λυσιτελὲς ἑαυτοῖς εἶναι νομίσαιεν.

ϛ΄. Οἱ ἀπὸ τῶν εὐαγῶν μοναστηρίων ἢ ἁπλῶς ἐκκλησιαστικῶν ἢ ἐπισκοπείων ἐμφυτευόμενοι ἢ μισθούμενοι ἢ ἀγοράζοντες ἢ κατά τινα τρόπον ἐκλαμβανόμενοι κτῆσιν ἀκίνητον πολλὴν ὀφείλουσι καταβάλλεσθαι φροντίδα, ἵνα τὰ παρ᾽ αὐτῶν καταβαλλόμενα εἰς ἀναγκαίας χρείας τῶν εἰρημένων ἐκκλησιῶν ἢ ἀντεισαγωγὴν ἑτέρων κτημάτων χρησιμευόντων αὐταῖς ἐκδαπανηθῶσιν. ἐὰν δὲ τὰ παρ᾽ αὐτῶν καταβληθέντα μὴ κατὰ τὸν εἰρημένον τρόπον διοικηθῶσιν, ἀλλ᾽ εἰς ἄλλας τινὰς ἰδίας χρείας ἢ ἁπλῶς ἔξωθεν τῆς ὠφελείας τῶν εἰρημένων οἴκων οἱ ταῦτα πεπρακότες ἢ ἁπλῶς ὁπωσδήποτε ἐκδεδωκότες τὰ καταβληθέντα καταναλώσωσιν, οἱ μὲν προειρημένοι εὐαγεῖς οἶκοι καὶ ἐκκλησίαι εἴσω τεσσαρακονταετίας ἀγωγὴν ποιούμενοι ἀναργύρως τὰ οἰκεῖα παντὶ τρόπῳ ἀπολήψονται, οἱ δὲ τὴν δέουσαν φροντίδα περὶ τῶν παρ᾽ αὐτῶν καταβληθέντων μὴ ποιησάμενοι ἀπὸ μὲν τοῦ εὐαγοῦς οἴκου οὐδὲν ὅλως ὡς προείρηται λήψονται· ἀρκεῖ γὰρ αὐτοῖς τὸ μὴ καὶ ἑτέραν τινὰ ὑποσχεῖν τιμωρίαν, ὅτι τὰς τοῦ θεοῦ ἐκκλησίας ὅσον τῇ αὐτῶν ἀμελείᾳ εἰς διαφθορὰν ἐλθεῖν συγκατειργάσαντο. κατὰ μέντοιγε τῶν κατανα-

λωσάντων αὐτὰ εἰς οἰκείαν δαπάνην ἢ ἁπλῶς ἔξωθεν τῆς τῶν εὐαγῶν οἴκων ὠφελείας ἀγωγὴν ἔχειν δύνανται.

ζ'. Οἱ εὐαγεῖς τόποι μὴ εὐποροῦντες ἀλλαχόθεν πληροῦν τὰ δημόσια καλῶς πωλοῦσι καὶ κτήσεις, δηλονότι ἐξεταζομένης τῆς ἐκποιήσεως παρὰ τῷ μητροπολίτῃ συνόντων τῶν ἐπισκόπων καὶ τῶν κληρικῶν, προκειμένων τῶν θείων λογίων· καὶ εἰ μὴ δειχθῇ ἄλλος πόρος ἐξ οὗ δοῦναι τὰ δημόσια δυνηθῶσι, βεβαιούσθω τῶν ἀκινήτων ἡ πρᾶσις ἐπὶ δεκρέτου καὶ διδόσθω τῷ δημοσίῳ τὸ τίμημα τῶν πραθέντων καὶ τῷ εὐαγεῖ οἴκῳ ἀπόδειξις τῶν καταβληθέντων.

η'. Ἐὰν ἰδιώτης χρεωστῆται παρά τινος ἐκκλησίας, ἀναγκάζεται λαβεῖν ἀντὶ τοῦ χρέους καὶ ἀκίνητον πρᾶγμα b)).

θ'. Εἴ τις βουληθείη οἱονδήποτε πρᾶγμα ἀκίνητον ὀνόματι χρήσεως λαβεῖν παρὰ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς βασιλίδος πόλεως ἢ ἑνὸς τῶν μνημονευθέντων οἴκων, μὴ ἄλλως τοῦτο λαμβανέτω, εἰ μὴ ἕτερον εὐθὺς πρᾶγμα δεσποτείας δικαίῳ παράσχοι τῷ εὐαγεῖ οἴκῳ, ἐξ οὗ τὸ αὐτὸ πρᾶγμα λαμβάνει, τοσαύτην ἔχον πρόσοδον, ὁπόσην ἔχει τὸ πρᾶγμα ὅπερ αὐτῷ δίδοται, καὶ μὴ πλείοσι δημοσίοις τελέσμασι βεβαρημένον, ὥστε μετὰ τὴν αὐτοῦ τελευτὴν ἢ μετὰ τὸν χρόνον, ἐφ' ὃν ἡ δόσις τῆς χρήσεως συνήρεσε, μὴ ὑπερβαίνοντα δηλαδὴ τὴν τοῦ λαμβάνοντος ζωὴν, ἑκάτερον πρᾶγμα ἐπ' ἀκεραίῳ καὶ κατὰ δεσποτείαν καὶ κατὰ χρῆσιν εἰς τὸν εὐαγῆ οἶκον περιελθεῖν.

ι'. Κελεύομεν, ὥστε, ἐξῃρημένης τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς βασιλίδος πόλεως καὶ τοῦ εὐαγοῦς ὀρφανοτροφείου καὶ ξενώνων καὶ πτωχείων τῶν ἐν τῇ βασιλίδι πόλει ὑπὸ τὴν αὐτῆς ὄντων ἐνορίαν, ἐξεῖναι πάσαις ταῖς ἁγιωτάταις ἐκκλησίαις καὶ τοῖς εὐαγέσιν οἴκοις, οὐ μὴν ἀλλὰ καὶ μοναστηρίοις, ἔν τε τῇ βασιλίδι πόλει καὶ ἐν διαφόροις ἐπαρχίαις κειμένοις, ἀνταλλαγὰς πρὸς ἀλλήλους ποιεῖσθαι, ὅταν ἑκατέρῳ εὐαγεῖ οἴκῳ φυλάττεται τὸ ἀζήμιον, συναινούντων ἐγγράφως ἢ διὰ καταθέσεως τῷ τοιούτῳ συναλλάγματι οὐ μόνον τῶν διοικητῶν ἑκατέρου εὐαγοῦς οἴκου, [ἀλλὰ] [3]) καὶ τοῦ πλείονος μέρους τῶν ἐν αὐτοῖς λειτουργούντων, ἐπὶ κρίσεως δηλονότι τοῦ κατὰ τὸν τόπον θεοφιλεστάτου ἐπισκόπου.

b) σχόλιον. Μὴ ὑπόντος τινὸς πόρου ἐξ οὗ τὸ χρέος λυθείη, μηδὲ ἄλλου εὑρισκομένου ἀγοραστοῦ, μηδὲ τὰ κάλλιστα τῶν κτημάτων ἐκλεγομένου τοῦ δανειστοῦ ἀλλὰ τὰ μέσα τῶν εὐπόρων καὶ ἀπόρων ἀναγκαζομένου λαβεῖν, ἀλλὰ καὶ τῆς δεκάτης μοίρας τῆς δικαίας τοῦ κτήματος διατιμήσεως προστιθεμένης ἐν τῷ τιμήματι, ἀλλὰ καὶ ἐπὶ κ ἡμέρας διαγινωσκομένου πρὸς ἅπαντας, ὅτι τὸ κτῆμα πιπράσκεται, κατὰ τὴν ρκ νεαρὰν, ἧς ἐστὶ τὸ κεφάλαιον [2]).

2) **Vapulat scholiastes: est enim Nov. 46 epitome.** 3) **Deest in A.**

ια΄. Ἐπειδὴ ἔγνωμεν παρά τινων γίνεσθαι ἐκποιήσεις μοναστηρίων ἐπὶ τὸ ταῦτα ἀπὸ ἱερατικοῦ σχήματος εἰς ἰδιωτικὴν διαγωγὴν μετασχηματίζεσθαι, καὶ τοῦτο πᾶσι τρόποις κωλύομεν. εἰ δέ τι τοιοῦτον γινόμενον εὑρεθείη, ὁ κατὰ τὸν τόπον ἐπίσκοπος τὸ μοναστήριον εἰς τὸ ἀρχαῖον σχῆμα ἐπαναγέτω.

ΤΙΤΛΟΣ ΕΝΔΕΚΑΤΟΣ.

Περὶ τάξεως καὶ κριτηρίων.

Κεφ. α΄. Θεσπίζομεν, καὶ κατὰ τάξιν τὰ κριτήρια γνωρίζεσθαι, καὶ διὰ τάξεως συνίστασθαι. ὥσπερ γὰρ οὐδέν ἐστιν ἄλλο ἐν αἰσθητοῖς καὶ ἐγκοσμίοις ἄνευ ποσότητος καὶ ποιότητος, οὕτως οὐδὲ κριτήριόν ἐστιν ἄνευ τούτων τῶν δύο γενῶν. τῇ γὰρ ποσότητι ἡ τάξις τῶν προσώπων [1]), ἡ δὲ ποιότης τὴν ἄλλην τοῦ δικαίου ἐμφανίζει δύναμιν. ὅταν δὲ τάξις καὶ δικαιοσύνη ἥρμοσται καὶ ἐξ ἀμφοῖν περαιωθῇ ἡ ἀλήθεια, δικαίως λέγεται τὸ δίκαιον ἀποδοθῆναι· ὅταν δὲ χωρὶς τάξεως, κἂν τῆς ἀληθείας ἐπιτύχῃ, οὐ δικαίως τὸ δίκαιον λέγεται ἀποδοθῆναι.

β΄. Πᾶν κριτήριον συνίσταται ἔκ τε προκαθεζομένων καὶ συγκαθεζομένων, καὶ ἐκ τῶν προϊσταμένων καὶ τῶν δικαζομένων ἢ δι' ἑαυτῶν ἢ δι' ἐντολέων, οἷς ὁ νόμος δίδωσι τὴν ἐξουσίαν.

γ΄. Διαφοραὶ δὲ τῶν κριτηρίων δύο· τὸ μὲν γὰρ διὰ μόνων τῶν νόμων πρόεισι, τὸ δὲ διὰ κανόνων. ἐστὶ δὲ καὶ τρίτη διαφορά, τὸ ἐξ ἀμφοῖν ἔκ τε τοῦ νόμου καὶ τοῦ κανόνος, φημί, συνιστῶσα καὶ διορίζουσα.

δ΄. Ἔκκλητός ἐστιν ἔγκλησίς τινος τῶν κριθέντων κατά τινος κρίνοντος ὡς μὴ καλῶς κριθέντος. καὶ πᾶσα μὲν ἔκκλητος καὶ ἔγκλησις· οὐ πᾶσα δὲ ἔγκλησις καὶ ἔκκλητος. διαιρεῖται γὰρ τὸ τῆς ἐγκλήσεως ὄνομα εἴς τε τὴν λεγομένην ἔκκλητον καὶ εἰς τὴν ἀρχὴν ἔχουσαν ἔγκλησιν.

ε΄. Τὸ αὐτοκρατορικὸν καὶ βασιλικὸν κριτήριον ἐκκλήτῳ οὐχ ὑπόκειται, οὐδὲ ἀναψηλαφᾶται ὑπὸ ἑτέρου, ἀλλ' ὑφ' ἑαυτοῦ ἀεὶ ἐπανακρίνεται, καθὰ καὶ ὁ θεόπτης μωυσῆς τὸ ἐπανακρίνειν τὰς κρίσεις εἰς νόμον ἔθετο.

1) Sic AD et Leuncl. Locus tamen corruptus, vel certe ἀνακόλουθος est.

ϛʹ. Τὸ τοῦ πατριάρχου κριτήριον ἐκκλήτῳ οὐχ ὑπόκειται, οὐδὲ ἀναψηλαφᾶται ὑφ᾽ ἑτέρου, ὡς ἀρχὴ καὶ αὐτὸ τῶν ἐκκλησιαστικῶν κριτηρίων. ἐξ αὐτοῦ γὰρ πάντα τὰ ἐκκλησιαστικὰ κριτήρια καὶ εἰς αὐτὸ ἀναλύει καὶ ἀναστρέφεται, αὐτὸ δὲ οὔτε ἔκ τινος οὔτε πρὸς ἕτερον· τοιοῦτον γὰρ ἡ ἀρχή. ἐπανακρίνεται δὲ πνευματικῶς καὶ αὐτὸ ὑφ᾽ ἑαυτοῦ.

ζʹ. Ἡ τοῦ ἐπάρχου ψῆφος ἐκκλήτῳ οὐχ ὑπόκειται, πλὴν ὑπὸ μόνου τοῦ βασιλέως.

ηʹ. Ἡ τοῦ κοιαίστωρος ψῆφος ἐκκλήτῳ οὐχ ὑπόκειται, ἀλλὰ καὶ αὐτὴ ὑπὸ τοῦ βασιλέως μόνου σκοπεῖται. εἰ γὰρ καὶ τῇ τάξει πρότερον τὸ τοῦ ἐπάρχου κριτήριον, ἀλλ᾽ οὐδὲν ἄτοπον τὰ ἐκ μιᾶς ἀρχῆς προερχόμενα τάξει μὲν ἀλλήλων προέχειν, μὴ δεῖσθαι δὲ ἕτερον ἑτέρου πρὸς διόρθωσιν.

θʹ. Τὰ ἀρχοντικὰ κριτήρια ἐκκλήτῳ ὑπόκεινται, καὶ ἀναψηλαφῶνται ὑπό τε τοῦ βασιλέως, ὑπό τε τοῦ πατριάρχου, ἀλλὰ καὶ ὑπὸ τοῦ ἐπάρχου καὶ τοῦ κοιαίστωρος. ὅσον [2]) γὰρ πόῤῥω ἀφίστανται τῆς ἀρχῆς, τοσοῦτον πλείονος καὶ τῆς βοηθείας καὶ πλειόνων τῶν διορθουμένων καὶ ἀναψηλαφώντων δέονται.

ιʹ. Θεσπίζομεν, τοὺς περιφανεστάτους ἡμῶν πατρικίους, καὶ δὴ καὶ τοὺς μεγαλοπρεπεῖς πρωτοσπαθαρίους, δι᾽ ἐντολέως τὰς χρηματικὰς ἀγωνίζεσθαι δίκας, ἀλλ᾽ οὐχὶ τὰς ἐγκληματικάς, εἴτε κατ᾽ αὐτῶν παρ᾽ ἑτέρων ἄγονται εἴτε καὶ καθ᾽ ἑτέρων αὐτοὶ κινεῖν βούλονται. καὶ τοῦτο δὲ αὐτοῖς ἀφορίζομεν, τὸ μήτε συγκαθῆσθαι τοῖς δικάζουσιν ἄρχουσιν, ἡνίκα ἡ αὐτῶν ἐξετάζεται δίκη, ἀλλὰ μηδὲ παρεστάναι πάλιν. ἑκατέρωθεν γὰρ τὸ πρᾶγμά ἐστιν ἐπισφαλές· διὰ μὲν γὰρ θατέρου τὸ ὑψηλὸν ἀξίωμα ἐνυβρίζεται, διὰ δὲ τοῦ ἑτέρου τὸ δικαστήριον εἰς ἀσχημοσύνην ἀνισότητος περιΐσταται, τοῦ μὲν τῶν δικαζομένων παρεστῶτος τοῦ δὲ τῇ τῶν κριτῶν συνεδρίᾳ τὸ πλέον ἔχειν ἐνδεικνυμένου. μετὰ δὲ τοὺς μεγαλοπρεπεστάτους πρωτοσπαθαρίους ἅπασιν ἄδεια ἔστω βουλομένοις καὶ δι᾽ ἑαυτῶν δικάζεσθαι καὶ ἐντολέας προβάλλεσθαι.

ιαʹ. Οὐδένα [3]) τῶν ἐκκλησιαστικῶν βαθμῶν, ἢ ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον ἢ ἁπλῶς τινα τοῦ καταλόγου τοῦ ἱερατικοῦ, ἄκοντα ἢ ἑκόντα κριτηρίοις κοσμικοῖς παρίστασθαι ἀνεχόμεθα. εἰ γὰρ ἄκοντά τις ἄγοι τινὰ τῶν ἐκκλησιαστικῶν πρὸς κριτήριον κοσμικόν, παρὰ τῆς ἡμετέρας γαληνότητος τὴν πρέπουσαν ὑποστήσεται παίδευσιν· εἰ δὲ ἑκὼν ὁ ἱερατικὸς τῷ κοσμικῷ κριτηρίῳ παραστῇ ἢ καὶ πρῶτος τὴν ἐκεῖθεν κρίσιν τοῦ ἐκκλησιαστικοῦ ἀκροατηρίου προτιμήσαιτο, οὗτος, κἂν ἐκεῖθεν νομίσῃ τὸ δίκαιον λα-

2) D: ὅσῳ — τοσούτῳ.

3) Cf. Harmenop. App. tit. 4, §. 12.

βεῖν, υπὸ τῶν ἱερῶν κανόνων καταδικάζεται. ποῦ γὰρ ἄξιος τυχεῖν, ὧν ζητεῖ, ὁ τὴν ἀρχὴν τοῦ ἀγῶνος ἀπὸ τῆς τῶν θείων θεσμῶν καταβαλλόμενος ὕβρεως;

ιβ'. Τοὺς θεοφιλεστάτους ἐπισκόπους οὐδεὶς τῶν ἀρχόντων ἀναγκάζει εἰς δικαστήριον παραγενέσθαι καὶ δοῦναι μαρτυρίαν. ἀλλ' ὁ δικαστὴς πεμπέτω πρὸς αὐτούς τινας ἐκ τῶν προσώπων τῶν ὑπηρετουμένων αὐτῷ, ἵνα κατὰ τὸ πρέπον ἱερεῦσιν ἐνώπιον θεοῦ εἴπωσιν, ἃ γινώσκουσιν.

ιγ'. Τοὺς θεοφιλεστάτους ἐπισκόπους ὑπὲρ οὐδεμιᾶς χρηματικῆς αἰτίας πρὸς ἄρχοντα πολιτικὸν ἢ στρατιωτικὸν ἄκοντα παραγενέσθαι ἢ παρίστασθαι δίχα βασιλικῆς κελεύσεως συγχωροῦμεν, ἀλλὰ τὸν ἄρχοντα τὸν εἴτε ἐγγράφως εἴτε ἀγράφως τοῦτο προστάξαι τολμήσαντα μετὰ τὴν τῆς ζώνης ἤτοι τοῦ ἀξιώματος ἀφαίρεσιν κ χρυσίου λιτρῶν ποινὴν καταβάλλειν κελεύομεν τῇ ἐκκλησίᾳ, ἧς ὁ ἐπίσκοπος ἀχθῆναι ἢ παραστῆναι προσετάχθη.

ιδ'. Κατηγορίαν [4]) ἱερέως οὐδεὶς τῶν ἐν τῷ λαϊκῷ κατειλεγμένων ἀρχόντων οὐδεμίαν δικάζει, πλὴν εἰ καθοσιώσεως ἔγκλημα ἡ κατηγορία περιέχει.

ΤΙΤΛΟΣ ΔΩΔΕΚΑΤΟΣ.

Περὶ μαρτύρων.

Κεφ. α'. Ἐπὶ τῶν μαρτύρων ζητεῖται ἡ ἀξία καὶ ἡ πίστις καὶ τὰ ἤθη καὶ ἡ στεῤῥότης. διόπερ οὐκ ἀκούονται οἱ ἐναντιούμενοι τοῖς ἐν ἐκμαρτυρίῳ ὑφ' ἑαυτῶν εἰρημένοις.

β'. Ἐπὶ ἑκάστου μάρτυρος ὀφείλει ζητεῖσθαι πότερον τίμιος καὶ ἄμεμπτος ἢ ἄτιμος καὶ ἐπίψογος, εὔπορος ἢ ἐνδεὴς, ὥστε διὰ κέρδος τὶ πλημμελῆσαι, φίλος τοῦ παράγοντος ἢ ἐχθρὸς τοῦ καθ' οὗ παράγεται. ὅταν γὰρ ὑποψίας ἐστέρηται, μαρτυρεῖ. τὰ δὲ περὶ τούτου διακρίνει ὁ δικαστὴς, εἰ μίαν μεμελετημένην ὁμιλίαν προφέρουσι, καὶ εἰ πρὸς τὰς πεύσεις πιθανῶς ἀποκρίνονται, καὶ ποῖα τεκμήρια ὀφείλει προσδέχεσθαι.

γ'. Κωλύεται μαρτυρεῖν ἄνηβος, οἰκέτης, κωφὸς, ἄλαλος, μαινόμενος, ἄσωτος, υἱὸς ὑπεξούσιος, ὅτε ὁ πατὴρ αὐτοῦ παρ' ἄλλου γραφῇ κληρονόμος.

δ'. Καὶ ὁ συνυπεξούσιος ὑπὲρ τοῦ γραφέντος ἐν διαθήκῃ κληρονόμου.

4) Cf. ibid. §. 15.

ε΄. Καὶ ὁ συνυπεξούσιος διατιθεμένου τοῦ ὑπεξουσίου εἰς ἰδιόκτητα αὐτοῦ πράγματα.

ϛ΄. Υἱὸς πατρὶ ἢ πατὴρ υἱῷ οὐ μαρτυρεῖ, ἀλλ᾽ οὐδὲ οἱοσδήποτε ἐν ἰδίῳ πράγματι.

ζ΄. Οὐ μαρτυρεῖ δοῦλος, ἢ ἀπελεύθερος κατὰ πάτρωνος ἢ παιδὸς αὐτοῦ, οὔτε ὁ καταδικασθεὶς ὡς λαβὼν ἐπὶ μαρτυρίᾳ χρήματα.

η΄. Οἱ πένητες οὐ μαρτυροῦσιν· πένης δέ ἐστιν ὁ μὴ ἔχων ν νομισμάτων περιουσίαν.

θ΄. Οὐκ ἐστὶν ἀξιόπιστος μάρτυς ὁ κελεύεσθαι δυνάμενος ἐπὶ τὸ μαρτυρῆσαι.

ι΄. Ὁ καταδικασθεὶς τῷ τῆς μοιχείας ἐγκλήματι οὐ μαρτυρεῖ.

ια΄. Ὁ συνηγορήσας ἢ ἐκβιβάσας ἐν ὑποθέσει, οὐ μαρτυρεῖ ἐν αὐτῇ.

ιβ΄. Ὁ κατά τινος ἤδη μαρτυρήσας, οὐ μαρτυρεῖ πάλιν κατ᾽ αὐτοῦ.

ιγ΄. Ὁ ἐγκληματικῶς τινος κατηγορήσας οὐ δύναται μαρτυρεῖν κατ᾽ αὐτοῦ. ὁ γὰρ χρηματικῶς τινα αἰτιασάμενος οὐ κωλύεται μὲν μαρτυρεῖν κατ᾽ αὐτοῦ, πλὴν ὑπούσης εὐλόγου αἰτίας κωλύεται.

ιδ΄. Ὁ μεσάσας τισὶν ἐν πράγματι οὐ μαρτυρεῖ αὐτοῖς ἐν τῇ αὐτῇ ὑποθέσει, δηλονότι παρ᾽ ἄλλῳ δικαστῇ, εἰ μὴ ἄρα συναινέσωσι τὰ δύο μέρη τῇ μαρτυρίᾳ αὐτοῦ.

ιε΄. Κωλύεται ἐν διαθήκῃ μαρτυρεῖν ὁ ἐν διαθήκῃ τινὸς ὑπογράψας καὶ μὴ ἀνασχόμενος μαρτυρῆσαι, ὃς οὐδὲ ἀναγκάζεται παρὰ τοῦ νόμου μαρτυρῆσαι, κωλύεται δὲ ἐν ἑτέρᾳ διαθήκῃ μαρτυρῆσαι, ἀλλὰ καὶ διαθέσθαι καὶ ἐξ ἑτέρας διαθήκης κερδᾶναι.

ιϛ΄. Ἐάν τις ἑνὸς ἀνθρώπου κατάθεσιν ἐν ἐκσφραγίσματι προσφέρῃ, οὐκ ἐστὶ δεκτὴ ἡ τοιαύτη μαρτυρία.

ιζ΄. Οὐ μαρτυρεῖ ὁ ἥττων τῶν κ ἐνιαυτῶν, οὔτε ὁ ἐν δημοσίῳ δικαστηρίῳ καταδικασθεὶς καὶ μὴ ἀποκαταστάς, ἢ ἐν δεσμοῖς ἢ ἐν δημοσίᾳ φρουρᾷ βληθείς.

ιη΄. Γυναῖκες [1]), κἂν ἐπὶ σεμνότητι καὶ εὐσεβείᾳ γνωρίζονται, ἐπὶ μὲν ἄλλοις κεφαλαίοις οὐ μαρτυροῦσιν, αἷς ἀπείρηται μηδὲ διδάσκειν ἀλλ᾽ ἐν τῇ τῶν ἀκροωμένων τάξει καθεστάναι· ἐπὶ μέντοιγε τοκετοῦ αἱ τὸν εἰρημένον τῆς σεμνότητος τρόπον φυλάττουσαι δύνανται μαρτυρεῖν [a]).

a) σχόλιον. Καίτοι φασὶν οἱ παλαιοί, τὰς γυναῖκας ἐν μὲν ταῖς συστατικαῖς μαρτυρίαις μὴ μαρτυρεῖν, ἐν δὲ ταῖς ἀποδεικτικαῖς πάσαις μαρτυρεῖν· συστατικὰς μὲν λέγοντες ἐπὶ διαθήκης καὶ κωδικέλλου καὶ μετὰ θάνατον δωρεᾶς, ἀποδεικτικὰς δὲ ἐπὶ τῶν ἄλλων ἁπάντων.

1) Cf. Nov. Leonis 48.

ιθ΄. Πατὴρ καὶ υἱὸς ὑπεξούσιος καὶ δύο ἀδελφοὶ συνυπεξούσιοι δύνανται μαρτυρεῖν ἐν τῇ αὐτῇ διαθήκῃ καὶ ἐν τῷ αὐτῷ πράγματι· οὐδὲν γὰρ βλάπτει ἐξ ἑνὸς οἴκου πολλοὺς ἐν ἀλλοτρίῳ πράγματι μαρτυρεῖν.

κ΄. Οὐδεὶς ἀπαιτεῖται καθ' ἑαυτοῦ μάρτυρας παράγειν· ἀλλὰ χρὴ τὸν ἐνάγοντα ὡς βούλεται συστῆσαι τὰς ἰδίας δικαιολογίας.

κα΄. Οἱ μαρτυροῦντες ἀγράφως [2]) περὶ καταβολῆς χρεῶν ἐγγράφων εἰπάτωσαν, ὡς τῇ καταβολῇ παρῆσαν, ἢ ἐπ' αὐτοῖς νομίμως ὁ λαβὼν τὸ χρέος κατέθετο, ἐπὶ τούτῳ μόνῳ προσκληθέντες, δηλονότι ἐὰν ὦσι πέντε τὸν ἀριθμόν.

κβ΄. Τὰς ματαίους καὶ ἐκ τοῦ παρήκοντος γινομένας μαρτυρίας μηδενὶ παντάπασι λόγῳ κρατεῖν· καὶ τοιαύτας τινὰς ἀναπλάττειν μαρτυρίας, ὡς δι' ἄλλην τινὰ χρείαν παρατυχὼν ἀκούσοι τοῦδε λέγοντος εἰληφέναι παρὰ τοῦδε χρυσίον, ἢ ὀφείλειν τῷδε. αὗται γὰρ σαφῶς ἡμῖν ὕποπτοι καθεστᾶσι καὶ οὐδενὸς ἄξιαι λόγου. ἐὰν δὲ κατὰ συμβεβηκὸς παρερχομένου τινὸς ἤ τινων, καὶ ἐπ αὐτῷ τῷ τόπῳ γινομένων, ἐν ᾧ ἡ καταβολὴ τοῦ χρυσίου ἢ ἡ ἐπερώτησις παρ' αὐτῶν τῶν καταβαλλόντων καὶ ἐπερωτώντων γίνοιτο, προσκληθῇ δὲ τότε μνήμην ποιεῖσθαι καὶ σημείωσιν καὶ ἐπισκοπὴν τῶν πραττομένων καὶ μαρτυρεῖν, ὁ τοιοῦτος εἰς μαρτυρίαν δεκτός ἐστι, ὡς καὶ πάντες οἱ ἐπὶ τὸ αὐτὸ προσκαλούμενοι καὶ μαρτυροῦντες.

κγ΄. Ἐὰν πάντες οἱ μάρτυρες τῆς αὐτῆς τιμῆς καὶ ὑπολήψεως ὦσι, καὶ ἐναντιωθῶσιν ἀλλήλοις, οὐ πάντως τὸ μεῖζον μέρος πιστεύεται, ἀλλὰ τὸ συμβαῖνον τῇ φύσει τοῦ πράγματος καὶ ὑπονοίας ἔχθρας ἢ φιλίας ἐστερημένον καὶ βεβαιούμενον ἀπὸ τῆς ψυχῆς τοῦ δικαστοῦ καὶ τεκμηρίων. οὐ γὰρ τῷ πλήθει δεῖ πιστεύειν, ἀλλὰ τῇ πίστει καὶ ἀκεραιότητι τῶν μαρτύρων.

κδ΄. Ἕκαστος ἐνάγων ὀφείλει περιποιεῖν ἑαυτῷ τὴν νίκην ἐκ τῶν προσόντων αὐτῷ, οἷον· εἰ φαίνεται τόνδε τὸν ἀγρὸν εἶναι τῆς αὐτοῦ δεσποτείας. οὐ μὴν ὀφείλει κινῶν λέγειν· εἰ φαίνεται τόνδε τὸν ἀγρὸν μὴ εἶναι τῆς τοῦ ἀντιδίκου δεσποτείας. εἰ γὰρ οὕτω εἰσέλθῃ κινῶν, ἐρεῖ αὐτῷ ὁ ἀντίδικος, πρῶτον μὲν ἐμός ἐστιν ὁ ἀγρὸς, εἰ δὲ οὐκ ἔστιν ἐμὸς, ὡς σὺ λέγεις, οὐ παρὰ τοῦτο σὸς, ἀλλὰ ἄλλου ἐστιν· οὐ γὰρ πάντως τὸ μὴ ἐμὸν ἤδη σόν ἐστιν· εἰ δὲ μήτε ἐμὸς μήτε σός ἐστιν ὁ ἀγρὸς, ὀφείλω σὲ νικᾶν ἐν τῷ παρόντι δικαστηρίῳ διὰ τὸν κανόνα τὸν λέγοντα· ἐν ἴσῃ αἰτίᾳ κρείσσων ἡ αἵρεσις τοῦ νεμομένου.

2) A: τοὺς ἀγράφως. Forte περὶ τῆς ἀγρ.

κε΄. Δυνατὸν καὶ ἀπὸ πόλεως εἰς πόλιν ἐκ διαλαλιᾶς δικαστικῆς στεῖλαι τὰς μαρτυρίας, πραττομένας μέντοιγε κατὰ νόμους ἐν μὲν ταῖς ἐπαρχίαις παρὰ τῷ ἄρχοντι, ἐν δὲ κωνσταντινουπόλει παρὰ τοῖς θείοις δικασταῖς.

κς΄. Ἐπὶ τῶν ἐγκληματικῶν ἀνάγκη πάντας παραχθῆναι τοὺς μάρτυρας καὶ μὴ τὰς φωνὰς αὐτῶν.

κζ΄. Ἄλλη ἐστὶν ἡ αὐθεντία τῶν παρόντων μαρτύρων, καὶ ἄλλη ἡ τῶν ἀναγινωσκομένων ἐκμαρτυρίων. ὁ οὖν θέλων ἐπισχεῖν τοὺς μάρτυρας δαπάνας αὐτοῖς χορηγείτω. πλέον δὲ τῶν ιε ἡμερῶν οὐκ ἀναγκάζονται παραμένειν οἱ μαρτυροῦντες ἐν χρηματικαῖς ὑποθέσεσιν.

κη΄. Εἴκοσι μίλια καθ' ἡμέραν λογίζεται τῷ ὀφείλοντι παραστῆναι, ὑπεξῃρημένης τῆς ἡμέρας, καθ' ἣν ὡμολόγησε, καὶ καθ' ἣν δεῖ αὐτὸν παραστῆναι.

κθ΄. Ἐπειδὴ ἴσμεν ἤδη γενόμενον νόμον, ὥστε εἴ τις ἐνταῦθα λέγοι δίκην, δεῖται δὲ ἐπί τινος χώρας ἐν μέρει τὴν σύστασιν ἔχειν τῆς δίκης, ἐξεῖναι τοῦ δικαστοῦ τοῦτο[3]) κρίνοντος καὶ τὴν ἀρκοῦσαν προθεσμίαν ὁρίζοντος παραγαγεῖν ἐπὶ τῆς ἐπαρχίας τοὺς μάρτυρας, ἐνταῦθά τε ἀναπέμπεσθαι τὴν δίκην τῶν πεπραγμένων φερομένων[4]) καὶ ὑπὸ ταὐτῷ κρίνεσθαι δικαστῇ· πολλαὶ δὲ τοιαῦται προσελεύσεις ἡμῖν γίνονται, βουλομένων τινῶν, οἵπερ ἐν ἐπαρχίᾳ μὲν δικάζονται, ἐνταῦθα δὲ τοὺς μάρτυρας ἔχουσιν, ὥστε κρατεῖν καὶ ἐπὶ τῶν τοιούτων τὸν νόμον καὶ ἄδειαν εἶναι τῷ ἐν ἐπαρχίᾳ δικάζοντι στέλλειν ἐνταῦθα, ὥστε παριέναι τοὺς μάρτυρας ἢ τὰς ἀποδείξεις ὅλως δίδοσθαι, καὶ πάλιν εἰς αὐτὸν φέρεσθαι τὰς δίκας, ἢ καὶ ἀπὸ ἐπαρχίας εἰς ἐπαρχίαν ταῦτα αἰτεῖν γίνεσθαι· θεσπίζομεν διὰ τὴν τῶν ἀποδείξεων ἀπορίαν[5]) καὶ τοῦτο κρατεῖν, καὶ δύνασθαι καὶ ἀπὸ ἐπαρχίας ἐνταυθοῖ παρὰ τοῦ δικάζοντος ἐν τῇ χώρᾳ στέλλεσθαι, καὶ παρ' ἑνὶ τῶν ἐξ ἡμῶν ὡρισμένων ἐλλογιμωτάτων δικαστῶν, ψήφου περὶ τούτου παρὰ τοῦ δικάζοντος γινομένης, τὰς μαρτυρίας δίδοσθαι, καὶ ἀπὸ ἐπαρχίας ἑτέρας εἰς ἑτέραν ἢ παρὰ τῷ ἐκδίκῳ ἢ παρὰ τῷ ἄρχοντι, τῶν μαρτύρων[6]) ἐκ ψήφου τοῦ δικάζοντος διδομένων· ἐκεῖσε δηλαδὴ τῆς αὐτοτελοῦς ψήφου διδομένης, ἔνθα καὶ προκατήρχθη, ἵνα ὥσπερ ἐντεῦθεν ἐν τῇ χώρᾳ παρὰ τοῖς ἄρχουσιν ἢ τοῖς ἐκδίκοις τὰ περὶ τῆς παραγωγῆς τῶν μαρτύρων πράττεσθαι νενομοθέτηται, οὕτω καὶ ἀπὸ χώρας εἰς χώραν καὶ ἀπὸ ἐπαρχίας ἐνταῦθα κρατοίη.

3) A: τοῦ. D: τοῦ τοῦτο.
4) A et D: καὶ φερ.
5) Sic AD. Nov.: εὐπορίαν.
6) Sic AD. Nov.: τῶν μαρτυριῶν.

λ΄. Ὁ ἅπαξ ἢ δὶς παραγαγὼν μάρτυρας ἐὰν ἀποτάξηται καὶ διασκέψηται διὰ τῆς ἐκδόσεως τῶν παραγραφῶν [7]) τῶν μαρτύρων καὶ μάθῃ τὰς μαρτυρίας, οὐ δύναται οὐδὲ διὰ βασιλικῆς ἀντιγραφῆς ἄλλους παραγαγεῖν μάρτυρας.

λα΄. Ἐπειδὴ πολλάκις πολλοὶ μάρτυρας παραστησάμενοι καὶ τρισάκις τοῦτο πράξαντες, εἶτα μετὰ τὴν τρίτην τῶν μαρτύρων παραγωγὴν πειρῶνται προσελεύσει ἡμᾶς ἐνοχλεῖν καὶ βούλεσθαι τετράκις παράγειν μάρτυρας, θεσπίζομεν τοὺς ἡμετέρους δικαστὰς τούτοις μάλιστα προσέχειν· καὶ εἰ τρισάκις ἤδη παρῆλθον οἱ μάρτυρες, καὶ παρ᾽ αὐτοῦ τοῦ τοὺς μάρτυρας παράγοντος πάλιν αἰτοῦνται μάρτυρες, τούτοις παντελῶς μὴ προσίεσθαι, ὡς ὑποψίας οὔσης, μήποτε παραλιπόντων τὶ τῶν προτέρων, ὃ συμφέρειν ἐνόμιζεν αὐτῷ, ἢ καὶ προσθέντων τὸ ἀσύμφορον, ἐκεῖνος τῆς τῶν μαρτυρηθέντων ἔμπροσθεν ἐπανορθώσεως, ἀλλ᾽ οὐ χρείας ἄλλης ἕνεκα προσεξευρίσκειν μάρτυρας ἐμελέτησεν [b]).

λβ΄. Ὁ προάγων μάρτυρας ἔν τινι δίκῃ, ἐὰν ὕστερον ἐν ἑτέρᾳ δίκῃ κατ᾽ αὐτοῦ προφέροιντο, μὴ ἐχέτω ἐξουσίαν παραγράφεσθαι αὐτούς, ὡς εὐτελεῖς τυχὸν ἢ ταῖς ἄλλαις ἀνεχομένους αἰτίαις, δι᾽ ἃς ὁ νόμος ἄκυρον τὴν μαρτυρίαν ἀποφαίνει. εἰ μέντοιγε δείκνυσιν ἐν τῷ μεταξὺ ἢ ἔχθραν γινομένην αὐτῷ ποιοῦσαν ὕποπτον τὴν μαρτυρίαν, ἢ χρήμασι περιφανῶς ἁλόντας διελέγχοι τὴν κατ᾽ αὐτοῦ ὑπελθεῖν μαρτυρίαν, ἐξέστω τοὺς τοιούτους παραιτεῖσθαι μάρτυρας. εἰ δὲ καὶ δύναται ἀλλαχόθεν ψευδῆ τὰ παρ᾽ αὐτῶν λεγόμενα δεῖξαι, ἀκώλυτος αὐτῷ ἡ γνώμη ἔστω.

λγ΄. Ἐάν τινες καθαρῶς ἐναντία σφίσιν αὐτοῖς ἢ καὶ ἀλλήλοις φθέγξοιντο, τοὺς δικαστὰς μάλιστα δεῖ τούτοις προσέχειν τὸν νοῦν, καὶ εἰ περὶ τὰ καιριώτερα τῶν μαρτυρουμένων τὰς ἐναντιότητας εὕροιεν, ἐκβάλλειν μὲν τὰς τοιαύτας μαρτυρίας τοῖς παρὰ τῶν ἀξιοπιστοτέρων καὶ πλειόνων προσέχοντας· εἰ δὲ ἐξεπίτηδες φανεῖεν κακουργοῦντες καὶ ἐντεῦθεν ἐκπίπτοντες εἰς ἐναντίωσιν, μηδὲ ἀθώους αὐτοὺς καταλιμπάνειν, εἴπερ μὴ κατά τινα πλάνην, ὡς εἰκός, ἀλλ᾽ ἐξεπίτηδες τὰ ἐναντία δειχθεῖεν λέγοντες.

b) Ἡ ϛ΄ φησὶ νεαρὰ δύνασθαί τινα καὶ τετάρτην ποιεῖσθαι μαρτύρων παραγωγὴν, ὀμνύντα μέντοι, ὅτι οὔτε ἐξελάβετο τὰς ἄλλας μαρτυρίας οὔτε ἐνέτυχεν αὐταῖς, οὔτε αὐτὸς οὔτε ὁ συνήγορος αὐτοῦ, οὔτε κατά τινα δόλον ἢ μηχανὴν ἢ τέχνην τὴν τετάρτην παραγωγὴν αἰτεῖ ποιήσασθαι, ἀλλὰ διὰ τὸ μὴ δυνηθῆναι πρότερον ταῖς ἐπαγγελθείσαις χρήσασθαι μαρτυρίαις.

7) A: παραγῶν. D: παραγαγῶν.

λδ'. Τοῖς μάρτυσι καὶ οὐ τοῖς ἐκμαρτυρίοις πιστευτέον· αὐτοπροσώπως γὰρ ἐρωτῶνται παρὰ τῶν δικαστῶν ἐπὶ τῶν ἐγκλημάτων, καὶ ὁ μὴ δεικνὺς τὸ παρ' αὐτοῦ προτεθὲν ἐξορίζεται.

λε'. Οἱ ἄγνωστοι τῶν μαρτύρων καὶ βασανιζέσθωσαν εἰ δεήσοι.

λϛ'. Ἐὰν τοιοῦτόν ἐστι τὸ πρᾶγμα, ὥστε δέξασθαι μαρτυροῦντα κυνηγὸν ἢ τοὺς ὁμοίους, χωρὶς βασάνων οὐ πιστεύονται.

ΤΙΤΛΟΣ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΣ.

Περὶ συμβολαίων.

Κεφ. α'. Συμβόλαιόν ἐστιν ὑπόμνημα ἤτοι καταγραφὴ τῶν συμφωνηθέντων καὶ στοιχηθέντων μεταξὺ ἑκατέρων τῶν συμφωνούντων καὶ συμβαλλόντων· τὸ γὰρ μίγμα τῶν βουλευμάτων τῶν ἐκ τῶν συμβαλλόντων προσώπων συμβολὴ καὶ τὸ ἀπὸ ταύτης ἔγγραφον σύνταγμα συμβόλαιον καλεῖται [1]).

β'. Κελεύομεν τὰς πράσεις καὶ ἐναλλαγὰς καὶ δωρεὰς καὶ δόσεις ἀῤῥαβώνων καὶ πάντα τὰ ἐγγράφως γινόμενα συναλλάγματα καὶ τὰς ἐγγράφους διαλύσεις μὴ ἄλλως ἐῤῥῶσθαι, ἐὰν μὴ καὶ εἰς καθαρὸν ἐνεχθῶσι καὶ ὑπογραφῶσι παρ' ἑκατέρων τῶν μερῶν· καὶ εἰ διὰ ταβελλίονος γίνονται τὰ ἔγγραφα, λάβωσι καὶ τοῦ ταβελλίονος τὸ τέλεσμα.

γ'. Ἡ τῶν συμβολαίων ἀπώλεια οὐκ ἀναιρεῖ τὰς ἀγωγάς, ἐν ᾧ δυνατόν ἐστιν ἑτέρως ἀποδειχθῆναι τὸ ἀληθές.

δ'. Ὁ ἐν ὑπομνήμασιν ὁμολογήσας μὴ κεχρῆσθαι συμβολαίῳ, οὐκέτι αὐτῷ κέχρηται.

ε'. Ὥσπερ οὐ χρὴ καυθέντων τῶν γραμματείων τοὺς χρεώστας ἀρνεῖσθαι, οὕτως ἄδικόν ἐστι καὶ δανειστὴν λέγοντα ἀπολέσαι τὸ γραμματεῖον πάντως πιστεύεσθαι. ὀφείλει γὰρ ἄλλας προσφέρειν ἀποδείξεις.

ϛ'. Ἐὰν ὁ τὴν χρῆσιν ἔχων πωλήσῃ τὸν ἀγρὸν οὗ τὴν χρῆσιν ἔχει, κἂν ἀπώλεσεν ὁ τὴν δεσποτείαν ἔχων τὰ ἴδια δικαιώματα, ὅμως ἀποδεικνύων ἀλλαχόθεν τὴν ἀλήθειαν οὐδὲ ἐκ τοῦ τὴν χρῆσιν πωλήσαντος ὑφίσταται πρόκριμα.

ζ'. Ἐὰν περὶ πίστεως συμβολαίων γένηται ζήτησις, καὶ ὁ ἕτερος τῶν δικαζομένων φήσῃ ἐν ἑτέροις τόποις ἔχειν τοὺς τοῦ

1) Cf. Schol. e Basil. Fabr. III, p. 94 ed Heimb. II, p. 512 sq.

συμβολαίου μάρτυρας, κελεύομεν, ἵνα, εἰ ὁ δικαστὴς συνίδῃ, πεμφϑῶσιν οἱ πρωτότυποι ἢ οἱ προκουράτορες αὐτῶν ἐν τοῖς τόποις, ἐν οἷς οἱ μάρτυρες διάγουσι, καὶ ἢ βεβαιουμένου τοῦ συμβολαίου διὰ τῆς τῶν μαρτύρων καταϑέσεως ἢ μὴ βεβαιουμένου ὑποστρέψωσι, καὶ τότε γένηται ἡ ἀπόφασις περὶ τοῦ γραμματείου.

η΄. Κελεύομεν τὰς τῶν γραμματείων συγκρίσεις ἀπὸ ἀγοραίων γίνεσϑαι συμβολαίων, καὶ μὴ ἀπὸ χειρογράφων, εἰ μὴ ἄρα τριῶν μαρτύρων ὑπογραφὰς ἔχωσι τὰ χειρόγραφα, καὶ αὐτοὶ οἱ μάρτυρες συνομολογήσωσιν, ὅτι ὑπέγραψαν, ἢ ἀρνούμενοι περὶ τῆς ἰδίας χειρὸς ἀπὸ συγκρίσεως τῶν ἰδίων γραμμάτων ἐλεγχϑῶσι· καὶ τότε τὴν σύγκρισιν μεϑ' ὅρκου γίνεσϑαι. ταῦτα δὲ πάντα κρατεῖν ϑεσπίζομεν ἐν τοῖς ἐφεξῆς χρόνοις[a]).

ϑ΄. Ἐάν τις παραγάγῃ χάρτην, καὶ ἀποδείξῃ τοῦτον ἀληϑῆ εἶναι διὰ μαρτύρων ἢ διὰ συγκρίσεως, ὁ δέ, καϑ' οὗ ὁ χάρτης προηνέχϑη, μετὰ ταῦτα πλαστὸν αὐτὸν διαβάλλειν βούλοιτο, ὀμνυέτω μὲν οὕτως πρὸ πάντων, ὅτι οὐ συκοφαντικῇ γνώμῃ τὸν χάρτην ἐπιζητεῖ· ὀμνύντος δὲ τοῦ ἐπιζητοῦντος, ἀναγκαζέσϑω ὁ τὸν χάρτην ἅπαξ ἐμφανίσας καὶ πάλιν αὐτὸν προάγειν, εἰ μὴ ἄρα ὄμνυσιν αὐτὸς ἐκ τοῦ ἐναντίου τὸν χάρτην οὐκ ἔχειν, ἀλλ' ὅτι οὐδὲ δόλῳ πλάττεται τὴν ἀπώλειαν αὐτοῦ. ὁ μέντοι διαβάλλειν ἐπιχειρῶν τὸν χάρτην πρὸ τελείας καταδίκης, δύναται καὶ ἐπιζητεῖν αὐτὸν καὶ πρὸς τὴν διαβολὴν αὐτοῦ χωρεῖν. ἐὰν γὰρ ἡ καταδίκη παντελῶς προβῇ, καὶ μηδὲ ἔκκλητος παρακολουϑήσῃ, οὐκ ἔξεστι τὸν ἅπαξ ἀποδειχϑέντα ἀληϑῆ χάρτην ὡς πλαστὸν αἰτιάσασϑαι.

ι΄. Ἐάν τις ἀπαιτούμενος ἐν δικαστηρίῳ προκομίσαι ἴδιον δικαίωμα, βλάβην μὲν ἑτέρῳ τινὶ παρέχον, ἑτέρῳ δὲ συμβαλλόμενον, ὁ δὲ οὐ βούλεται εὐλαβεῖσϑαι λέγων τὴν ἀπὸ τῆς προαγωγῆς αὐτοῦ βλάβην εἰς τὸ οἰκεῖον διαβαίνουσαν πρόσωπον, ὁ δὲ τὸ δικαίωμα ὑπὲρ αὐτοῦ ἐπιζητῶν διατείνοιτο βλάβην μὲν οὐδεμίαν ὑφίστασϑαι τὸν αὐτοῦ δεσπότην, χρήμασι δὲ κλαπέντα ἢ ἄλλοις τισὶ τρόποις οὐκ ἀμέμπτοις ἀποκλίνοντα πλάττεσϑαι αὐτὸν δι' ἰδίαν βλάβην μὴ ἐμφανίζειν τὸ ζητούμενον δικαίωμα, αὐτὸν δὲ τῇ ἀληϑείᾳ διὰ τῆς ἀποκρυβῆς αὐτοῦ τὴν ἐσχάτην ζημίαν ὑφίστασϑαι· κελεύομεν τότε

a) σχόλιον[2]). Τοῦτο καὶ ἐνταῦϑα καὶ ἐν ἄλλοις τισὶ κεφαλαίοις κείμενον οἶμαι οὐ καλῶς κεῖται· ἡνίκα γὰρ ἡ διάταξις[3]) τοῦτο ἔλεγεν, ἑτέρους νόμους ἐκαίνιζεν μέχρι τότε κατὰ τὴν ἑαυτῶν δύναμιν γίνεσϑαι τὰς κρίσεις κελεύοντας· νῦν δὲ εἰ τοῦτο τεϑείη, πῶς τὰ πρὸ τοῦ σήμερον κριϑήσεται νόμων, ἑτέρων περὶ αὐτῶν οὐκ ὄντων;

2) Hoc scholium C non habet.
3) A: νέα, quod aut νεαρά legi potuit aut in διάτ. mutandum erat.

τὸν ἔχοντα τὸ δικαίωμα προκομίζειν αὐτο· εἰ δὲ ὡς ἀληθῶς βλάβην ὁ μέλλων αὐτὸ προάγειν ὑφίσταται, μὴ ἀναγκαζέσθω προκομίζειν αὐτό· οὐδεὶς γὰρ ἀναγκάζεται βλάπτειν καὶ ζημιοῦν ἑαυτόν. εἰ μέντοιγε ὁ τὸ συμβόλαιον ἐπιζητῶν ἐπ' ὠφελείᾳ τῇ ἑαυτοῦ διατείνοιτο ἐπὶ πλέον μηδὲν ζημιοῦσθαι τὸν δεσπότην ἐκ τῆς τοῦ συμβολαίου προκομιδῆς, αὐτὸν δὲ ἐκ τοῦ μὴ ἐμφανίζεσθαι τὰ μέγιστα βλάπτεσθαι, ὅρκον ὀμνύτω τηνικαῦτα ὁ τὸ συμβόλαιον ἔχων αὐτὸς, ὡς περὶ τὴν ἰδίαν πίστιν βλαπτόμενος διὰ τοῦτο τὸν ἐπιζητούμενον οὐ παρέχει χάρτην· ὁ δὲ ὅρκος σὺν τῷ ἀκριβεῖ διομνύσθω, καὶ ἵνα μὴ τὸ μὴ κερδαίνειν τυχὸν τὰ ἐπαγγελθέντα αὐτῷ ἐπὶ τῷ μὴ προάγειν τὸν χάρτην αὐτὸ τοῦτο οἰκεῖαν ὑποπλάττοι καὶ ὀνομάζοι ζημίαν ἢ τοιοῦτόν τι ὑπαινιττόμενος ἄλλο, λεπτομερέστερον ὑπεχέτω τὸν ὅρκον, λέγων, ὅτι οὔτε διὰ τὸ λαβεῖν χρήματα οὔτε διὰ τὸ ἐλπίζειν λαβεῖν, ἀλλ' οὔτε δι' ἕτερόν τι τοιοῦτον, ἀλλ' οὔτε διὰ χάριν ἢ διὰ φόβον καθ' οὗ τὸ δικαίωμα ἐπιζητεῖται, ἀλλὰ δι' οὐδὲν μὲν τῶν εἰρημένων παραιτεῖται τὴν προκομιδὴν τοῦ χάρτου, διὰ δὲ τὴν ὡς ἀληθῶς ἐλπιζομένην αὐτοῦ βλάβην ἰδίαν· καὶ οὕτω τοῦ ὅρκου προελθόντος μηκέτι ἀπαιτεῖσθαι τὸν χάρτην ἐμφανίζειν. εἰ δὲ μήτε βούλοιτο τὸν εἰρημένον ὅρκον ὑπέχειν, μήτε προαγαγεῖν τὸ δικαίωμα, γινωσκέτω, [ὅτι] πᾶσαν τὴν ἐκ τῆς ἀποκρυβῆς τοῦ συμβολαίου συμβαίνουσαν ζημίαν τῷ δεομένῳ τῆς ἐκεῖθεν ὠφελείας οἴκοθεν, ὡς μὴ βουληθεὶς προκομίσαι τὸ δικαίωμα, αὐτὸς καταθήσει.

ιά. Εἴ τις παρακαταθέσθαι ἀσφαλῶς βούλοιτο, μὴ μόνοις πιστευέτω τοῖς τοῦ λαμβάνοντος γράμμασιν, ἀλλὰ προσκαλείσθω καὶ μάρτυρας, νόμῳ μὲν δεκτοὺς, οὐκ ἐλάττους δὲ τριῶν, ἵνα μὴ ἐπὶ μόνων ἠρτήμεθα τῶν γραμμάτων καὶ τῆς τούτων ἀντεξετάσεως, ἀλλὰ τοῖς δικάζουσι καὶ ἡ παρὰ τῶν μαρτύρων βοήθεια εἴη, διαμαρτυρουμένων, ὡς αὐτῶν παρόντων ὑπέγραψεν ὁ τὸ συμβόλαιον ποιούμενος καὶ τοῦτο ἐπίστανται. οὐ γὰρ ἵνα συστείλωμεν τὰς ἀποδείξεις, ἀλλ' ἵνα καὶ εἶναι ταύτας ποιήσωμεν καὶ ἀσφαλῶς εἶναι, ταῦτα λέγομεν.

ιβ'. Εἴ τις δανείσματος συμβόλαιον ἢ ἄλλου τινὸς πράττοι, καὶ μὴ βούληται τοῦτο ἐπ' ἀγορᾶς συνθεῖναι, μὴ αὐτόθεν δοκείτω πιστὸν τὸ γραφόμενον ἐπὶ τῷ δανείσματι συμβόλαιον, πλὴν εἰ μὴ καὶ μαρτύρων ἔχει παρουσίαν ἀξιοπίστων οὐκ ἐλαττόνων τῶν τριῶν, ἵνα εἴτε αὐτοὶ παραγίνοιντο καὶ τοῖς οἰκείοις μαρτυρήσαιεν γράμμασιν, εἴτε ἕτεροί τινες μαρτυροῦντες ὡς παρόντων αὐτῶν τὸ συμβόλαιον συνετάγη, λαμβάνοι τὸ πρᾶγμα πίστιν ἑκατέρωθεν· οὐκ ἀποβλήτου παντελῶς καὶ τῆς τῶν γραμμάτων ἐξετάσεως οὔσης, ἀλλὰ μόνης οὐκ ἀρκούσης, τῇ δὲ προσθήκῃ τῶν μαρτύρων βεβαιουμένης.

ιγ΄. Ὅταν ἕτερον μὲν ἡ παράθεσις τῶν γραμμάτων εἴποι, ἕτερον δὲ αἱ μαρτυρίαι, τηνικαῦτα ἡμεῖς μὲν οἰόμεθα τὰ παρὰ ζώσης λεγόμενα φωνῆς, καὶ μεθ᾽ ὅρκων, ταῦτα ἀξιοπιστότερα τῆς γραφῆς αὐτῆς καθ᾽ αὐτὴν τυγχάνειν· πλὴν ἀλλ᾽ ἔστω τοῦτο τῆς τοῦ δικάζοντος ἀγχινοίας τε καὶ θεοφιλίας, τὸ τοῖς ἀληθέσι μᾶλλον ἀντὶ τῶν ὑπόπτων πιστεῦσαι.

ιδ΄. Εἴ τις παρακατατιθέμενος ἢ δανείζων ἢ ἄλλως συμβάλλων ἀρκεσθείη τοῖς γράμμασι μόνου τοῦ πρὸς αὐτὸν συμβάλλοντος, ἐπ᾽ αὐτῷ κείσεται τὸ γινώσκειν ὡς εἰς τὴν ἐκείνου πίστιν τὸ πᾶν αὐτὸς ἀνηρτήσατο. καὶ ὅσον μὲν ἐκ τῆς γραφῆς οὐκ ἂν αὐτάρκης δόξειε κατὰ τὸν ἡμέτερον νόμον τῷ συμβολαίῳ προστίθεσθαι πίστις· εἰ δὲ ἡ παρουσία τῶν μαρτύρων, ἐφ᾽ ὧν τὸ συνάλλαγμα γέγονεν, ἢ ἡ τελευταία τοῦ πράγματος καταφυγὴ βοηθήσειεν αὐτῷ (φαμὲν δὲ τὴν ἐξ ὅρκων), οὐκ ἀκυροῦμεν τὸ γινόμενον. τὰς γὰρ παραποιήσεις καὶ τὰς μιμήσεις εὐλαβούμενοι, καὶ γυμναῖς οὔσαις αὐταῖς οὐ πιστεύοντες, τὴν τοιαύτην ἀκρίβειαν τῷ πράγματι προστίθεμεν· οὐχ ἵνα τοὺς πιστεύοντας ἀφελώμεθα τῆς ἑαυτῶν περὶ τοὺς φίλους πίστεως, ἀλλ᾽ ἵνα ὡς οἷόν τε τὴν ἀγνωμοσύνην τε καὶ ἄρνησιν πολλοῖς ἐλέγχωμεν τρόποις.

ιε΄. Τὰ συμβόλαια τὰ ἐπ᾽ ἀγορᾶς συντελούμενα, εἰ καὶ τὴν τῶν συμβολαιογράφων ἔχοι πλήρωσιν, προσλαμβανέτω καὶ αὐτὰ πρὸ τοῦ τελέσματος τὴν ἐν γράμμασι τῶν μαρτύρων ὡς εἴρηται παρουσίαν. δεῖ μέντοι τοὺς δικάζοντας καὶ εἴ τινα σημεῖα εὕροιεν προσγεγραμμένα τοῖς χάρταις, καὶ ταῦτα ἀναζητεῖν καὶ ἀναγινώσκειν πειρᾶσθαι (πολλὰ γοῦν ἴσμεν καὶ ἐξ ἐκείνων διαφανέντα), καὶ μὴ προχείρως τὰς πίστεις τῶν γραμμάτων ἐκ παραθέσεως ἑτέρων προσίεσθαι διὰ τὰς ἔμπροσθεν εἰρημένας αἰτίας. εἰ μέντοιγε τελευτήσαιεν ἅπαντες οἱ μάρτυρες, ἢ καὶ ἄπεισι τυχὸν ἢ καὶ ἄλλως οὐ ῥάδιόν ἐστι τὴν ἐκ τῶν μαρτύρων τῶν ὑπογεγραφότων πίστιν ἐπιθεῖναι, μηδὲ ὁ συμβολαιογράφος περίεστιν ὁ τελέσας, εἴγε ἀγοραῖον εἴη, ὥστε μαρτυρῆσαι τοῖς ἑαυτοῦ, ἢ μὴ ἐνδημοίη, ἀλλ᾽ ἀνάγκη πάντως τὴν ἀντεξέτασιν τῶν γραμμάτων ἢ τῶν τελεσάντων ἢ τῶν ὑπογραψάντων παραλαβεῖν· προσῆκόν ἐστιν ἰέναι μὲν ἐπὶ τὰς συγκρίσεις (οὐδὲ γὰρ παντάπασιν αὐτὰς ἀπαγορεύομεν), διὰ πάσης δὲ ἀκριβείας χωρεῖν, καὶ πάντως εἰ νομίσειεν αὐταῖς χρῆναι πιστεύειν, καὶ ὅρκον ἐπάγειν τῷ προκομίζοντι, ὅτι μηδὲν συνειδὼς πονηρὸν τῷ παρ᾽ αὐτῷ προκομιζομένῳ, οὐδέ τινα τέχνην περὶ τὴν σύγκρισιν γενέσθαι παρασκευάσας, οὕτω χρῆται τούτῳ· ὥστε μηδὲ ἀναιρεθῆναί τι παντελῶς καὶ διὰ πάντων τὸ ἀσφαλὲς τοῖς πράγμασι γενέσθαι. ἐπὶ γὰρ δὴ τῶν ἐπ᾽ ἀγορᾶς συνταττομένων συμβολαίων, εἴπερ ὁ συμβολαιογράφος παρέλθοι καὶ μαρτυρήσειε μεθ᾽ ὅρκου,

καὶ εἰ μὴ δι' ἑαυτοῦ ἔγραψεν ἀλλὰ διά τινος τῶν ὑπουργούντων αὐτῷ, παρίτω κἀκεῖνος, εἴγε περίεστιν, ἢ εἰ δυνατὸν ὅλως αὐτόν ἐστιν ἐλθεῖν καὶ οὐδεμία τὴν αὐτοῦ πάροδον αἰτία κωλύει, νόσος τυχὸν ἰσχυρὰ ἤ τι τῶν περιστάσεων τῶν ἄλλων, ἅπερ ἀνθρώποις ἀπαντᾷ· εἰ δὲ καὶ ἀπαριθμητὴν ἔχοι τὸ συμβόλαιον, κἀκεῖνος παραγινέσθω, ὥστε τρεῖς εἶναι τοὺς μαρτυροῦντας, ἀλλ' οὐχ ἕνα. εἰ δὲ οὐδὲ ἀριθμητὴς προσελήφθη, τό τε συμβόλαιον αὐτὸς ἅπαν δι' ἑαυτοῦ γέγραφέν τε καὶ ἐτέλεσεν ὁ συμβολαιογράφος, ἢ εἰ καὶ ὁ τοῦτο συγγράψας ἄπεστιν ἢ ἄλλως παρεῖναι οὐκ ἰσχύει, αὐτὸς μέντοι μεθ' ὅρκου τῷ οἰκείῳ τελέσματι μαρτυρεῖ, ὥστε μὴ τῇ συγκρίσει γενέσθαι χώραν, ἔστω καὶ οὕτω πιστὰ τὰ συμβόλαια. ἡ γὰρ μαρτυρία καὶ παρὰ τῆς φωνῆς τοῦ τελέσαντος γενομένη καὶ τὸν ὅρκον ἔχουσα προκείμενον ποιήσειεν ἄν τινα τῷ πράγματι ῥοπήν. εἰ δὲ ὁ συμβολαιογράφος ἐτελεύτησεν, καὶ μαρτυρηθείη τὸ τέλεσμα ἐξ ἑτέρας παραθέσεως, εἰ μὲν καὶ οὕτως ἔχοι τόν τε συντάξαντα τὸ συμβόλαιον περιόντα καὶ τὸν ἀριθμητὴν, παρίτωσαν κἀκεῖνοι, εἴγε ἐνδημοῖεν, καὶ ἐχέτω καὶ τὴν ἐκ τῆς παραθέσεως τῶν πληρώσεων τὸ πρᾶγμα πίστιν καὶ τὴν ἐκ τῶν μαρτύρων. εἰ δὲ μηδεὶς τούτων εἴη, τηνικαῦτα γενέσθω μὲν ἡ τῶν τελεσμάτων παράθεσις, μὴ μόνα δὲ ταῦτα πρὸς τοῦτο ἀρκείτω, ἀλλὰ καὶ αἱ τῶν ἄλλων τῶν ὑπογεγραφότων ἴσως ἢ καὶ τῶν συμβαλλόντων γραφαὶ κατεξεταζέσθωσαν, ὥστε ἐκ τῶν πολλῶν παραθέσεων, τῶν τε τοῦ τελέσματος τῶν τε ὑπογεγραφότων ἢ καὶ τῶν συμβαλλόντων, μίαν τινα συνάγεσθαι πανταχόθεν καὶ ἀποτελεῖσθαι πίστιν. εἰ δὲ οὐδὲν ἕτερον εὑρεθείη πλὴν τῆς παραθέσεως τῶν συμβολαίων, τὸ μέχρι νῦν κεκρατηκὸς προβαινέτω, τὸ τὸν προκομίζοντα εἰς την παράλληλα κρίσιν τὸ συμβόλαιον ὀμνύναι τὰ νενομισμένα. ἵνα δέ τινα ὅλως τὸ πρᾶγμα λάβῃ προσθήκην, εἰς πλείονα τοῦ πράγματος πίστιν καὶ αὐτὸς ὁ ταῦτα αἰτῶν γίνεσθαι προσομνύτω, ὡς οὐδὲ ἄλλης εὐπορῶν πίστεως ἐπὶ τὴν παράλληλα κρίσιν τῶν συμβολαίων ἐλήλυθεν, οὐδέ τι περὶ αὐτοῦ ἔπραξεν ἢ ἐμηχανήσατο, ὅπερ ὡς εἰκὸς δυνηθείη τὴν ἀλήθειαν κατακρύψαι. ὧν ἔξεστιν ἀπηλλάχθαι τοῖς συμβάλλουσιν, εἴπερ βούλοιντο καὶ ἑκάτεροι πρὸς τοῦτο συμβαῖεν τοῦ ἐμφανῆ ποιεῖσθαι τὰ συμβόλαια καὶ καταθέσθαι ἐπὶ πράξεως ὑπομνημάτων αὐτοὺς τοὺς συμβάλλοντας, ἵνα ἀπαλλαγεῖεν ἀγνωμοσύνης τε καὶ νοθείας καὶ παραποιήσεων, καὶ ὁπόσα ἄλλα κακὰ ἐπανορθοῦντες τὸν παρόντα τίθεμεν νόμον.

ιϛ'. Ἐπὶ τῶν γράμματα μὴ ἐπισταμένων ταβουλλαρίους δύο πάντως καὶ μάρτυρας παραλαμβάνεσθαι, ἐν οἷς εἰσὶ ταβουλλάριοι τόποις, κελεύομεν· μάλιστα δὲ μάρτυρας οὐκ ἀγνώστους τοῖς συμβάλλουσιν, ἵνα οἱ μὲν γράφωσιν ὑπὲρ τοῦ ἀγραμμάτου ἢ ὀλιγο-

γραμμάτου καθεστῶτος, οἱ δὲ μαρτυρῶσιν ὡς καὶ παρόντων αὐτῶν ταῦτα ἐπράχθη, καὶ εἴδεϊεν αὐτόν· καὶ οὕτως ἡ τῶν τοιούτων συμβολαίων εἰσδεχθείη πίστις. δῆλον ὂν ὡς οὐκ ἐλάττους ε μαρτύρων ἐπὶ τῶν τοιούτων παραληφθήσονται, ἐν οἷς ἔσται καὶ ὁ γράφων ὑπὲρ τοῦ συμβάλλοντος ἢ τὸ πᾶν ἢ τὰ μετὰ τὰ ὀλίγα γράμματα τὰ παρ' ἐκείνου τεθέντα, ὥστε μηδὲν διαπεσεῖν τῆς εἰς ἄκρον ἀκριβείας. καὶ ταῦτά φαμεν ἐπὶ τῶν ἐγγράφων συμβολαίων. εἰ γάρ τις ἀγράφως πρᾶξαι οἱονδήποτε συνάλλαγμα βουληθείη, τοῦτο πρόδηλον ὡς ἢ τὴν διὰ μαρτύρων ἢ τὴν δι ὅρκων δέξηται πίστιν, τοῦ μὲν ἐνάγοντος μάρτυρας παράγοντος, τοῦ φεύγοντος δὲ ὀμνύντος ἢ καὶ ἀντεπάγοντος, καθάπερ ἂν ὁ δικαστὴς τὴν ὑπόθεσιν τάξειεν [b]).

ιζ΄. Ὁ δικαιώματα ἔχων εἴτε πράσεως εἴτε ἀγορασίας εἴτε κρίσεως, ἔπειτα τούτων οὐδὲν ἐπὶ κριτηρίου παραστὰς ἐμφανίζοι, εἰ μὲν γινώσκων ἔχειν αὐτὰ μὴ ἐκόμισεν, εἶτα κατεδικάσθη, οὐ δύναται ἐν ἐκκλήτῳ προάγειν αὐτά· ὁ γὰρ τῶν ἰδίων ὀλιγωρήσας δικαιωμάτων αὐτὸς πρὸ τῶν ἄλλων τὴν ἐκείνων ἀσθένειαν ἐλέγχεται συνειδώς. εἰ δὲ ἀγνοῶν, ὅτι ταῦτα ἔχοι, διὰ τοῦτο οὐ προκομίσειεν, ὅρκῳ τὴν ἄγνοιαν βεβαιῶν, δύναται ταῦτα καὶ μετὰ ψῆφον δικαστικὴν ἐπὶ τῆς ἐκκλήτου προάγειν καὶ τὸ ἴδιον διεκδικεῖν δίκαιον.

ιη΄. Ὁ ἀποκρύπτων χάρτην ἐκλαβῆς αὐτοῦ ὡς ἐπηρεάζων τὸν πρωτότυπον, ἐκπίπτει τῆς διακατοχῆς τοῦ ἐκδεδομένου.

ΤΙΤΛΟΣ ΤΕΣΣΑΡΑΚΑΙΔΕΚΑΤΟΣ.

Περὶ μνηστείας.

Κεφ. α΄. Μνηστεία ἐστὶ μνήμη καὶ ἐπαγγελία τῶν μελλόντων γάμων.

β΄. Καὶ ἐγγράφως καὶ ἀγράφως μνηστεία γίνεται.

γ΄. Καὶ ψιλῇ συναινέσει συνίσταται μνηστεία, καὶ μεταξὺ ἀπόντων· ἐὰν μέντοι γινώσκωσιν οἱ ἀπόντες ἢ δεκτὸν ἡγήσονται.

δ΄. Μνηστεύεταί τις καὶ παρὼν δι' ἑαυτοῦ, καὶ διὰ μέσου, καὶ δι' ἐπιστολῆς.

b) Σχόλιον. Ταῦτα φησὶν ἡ νεαρὰ παρατηρεῖσθαι, ὅταν ἐν πόλεσι γένηται τὰ συναλλάγματα καὶ ὑπερβαίνωσι μίαν χρυσίου λίτραν· ἐπείτοιγε ἐν ἀγροῖς ἢ χωρίοις καὶ ἐπ' ἐλάττονι ποσότητι καὶ δύο μάρτυρας ἀρκεῖν μόνους.

ε΄. Οἱ συναινοῦντες τῷ γάμῳ καὶ τῇ μνηστείᾳ συναινοῦσιν. ἀεὶ δὲ συναινεῖν ὁ πατὴρ δοκεῖ, εἰ μὴ ῥητῶς ἐναντιοῦται.

ς΄. Διχονοοῦντος τοῦ ὑπεξουσίου οὐ γίνεται μνηστεία ὀνόματι αὐτοῦ.

ζ΄. Ὁ πατὴρ τῆς ὑπεξουσίας δύναται διαλύειν τὴν μνηστείαν, οὐ μὴν καὶ τῆς αὐτεξουσίας.

η΄. Παρὰ γνώμην τῆς ὀρφανῆς ὁ ἐπίτροπος οὐ συνίστησιν αὐτῇ μνηστείαν, οὐδὲ διαλύει τὴν γενομένην.

ϑ΄. Ὁ γενόμενος ἐπίτροπος οὐ δύναται γαμεῖν τὴν ὀρφανὴν ἢ ἀνήλικον, οὔτε παιδὶ αὐτοῦ ζευγνύναι [a]). τὸ αὐτὸ καὶ περὶ μνηστείας.

ι΄. Ὡς ἐπὶ τῶν γάμων, οὕτω καὶ ἐπὶ τῆς μνηστείας οἱ συναπτόμενοι συναινοῦσιν· τότε γὰρ λέγομεν συνίστασϑαι μνηστείαν, ὅτε τοῖς μνηστευομένοις συναινοῦσιν οἱ τούτων γονεῖς. δεῖ οὖν καὶ τοὺς ὑπεξουσίους συναινεῖν. δοκοῦσι δὲ τοῖς γονεῦσι συναινεῖν οἱ μὴ ῥητῶς ἀντιλέγοντες· τότε δὲ μόνον ἀντιλέγειν δύνανται, ὅτε τοῖς τρόποις αἰσχροὺς καὶ ἀναξίους αὐτοῖς μνηστεύονται. αἰσχρῶν δὲ καὶ ἀναξίων τῶν προσώπων μὴ ὄντων, κἂν ἀποκλήρους ἑαυτοὺς τὰ τέκνα βούλονται ποιεῖν ἐπὶ τῷ μὴ τὴν γονὴν ἀλλὰ τὴν ἰδίαν γνώμην ἐκνικῆσαι, ἀνίσχυρον αὐτῶν εἶναι ϑεσπίζομεν διὰ παντὸς τὸ βούλημα. τὰ γὰρ ἐπὶ ἰδίᾳ καταστροφῇ καὶ ἀπωλείᾳ τῶν νέων ὁρμήματα παντὶ τρόπῳ κωλύειν οἱ νόμοι ἐγνώκασιν. διχονοούντων δὲ τῶν γονέων πρὸς ἀλλήλους περὶ τῆς ἐκλογῆς δηλονότι ἡ τοῦ πατρὸς γνώμη κρατεῖ.

ια΄. Ὁ τὸ γινόμενον νοῶν καλῶς μνηστεύεται τουτέστιν ὁ μὴ ὢν ἥττων τῶν ζ΄ ἐτῶν. εἰ [2]) μέντοι τῆς μνηστείας γενομένης ἔσωϑεν τοῦ ιγ. χρόνου τολμήσειέ τις τοῖς μνηστευομένοις ἢ τὴν λεγομένην εὐλόγησιν ἢ τὸ στεφάνωμα περιϑεῖναι, ὡς τῶν ϑείων νόμων παραβαϑέντων αὐτίκα ἡ μὲν προελϑοῦσα μνηστεία ἅμα τῆς δοκούσης συναφείας διαλύεται, καὶ τὰ παρ' ἑκατέρου τοῦ μέρους ἐν τῇ μνηστείᾳ συμβληϑέντα πρόστιμα τοῦ τολμήματος ζημίαν ὑπέχοντες τῷ δημοσίῳ εἰσκομίζουσι, μηδὲ τοῦ τολμῶντος ἱερέως ἐπὶ τῇ τοιαύτῃ παρεῖναι πράξει ἀνευϑύνου παρεστηκότος, ἀλλὰ τῇ αὐστηρίᾳ τῶν ἱερατικῶν ὑποκειμένου κανόνων.

ιβ΄. Ὁ μνηστευσάμενος κόρην ἔφηβον καὶ μὴ συμφωνήσας χρόνον ἐν τῇ μνηστείᾳ ὀφείλει ταύτην, εἰ μὲν ἐν τῇ αὐτῇ ἐπαρχίᾳ

a) ἐξορίζεται γάρ [1]).

1) Haec C in textu collocata habet post ζευγνύναι.

2) Cf. Nov. Leonis 109.

διάγει, ἔσω διετίας γαμεῖν· εἰ δὲ ἐν ἀπουσίᾳ, εἴσω τριετίας. καὶ ἐὰν χωρὶς εὐλόγου αἰτίας ὑπέρθηται, δύναται ἡ κόρη ἑτέρῳ συνάπτεσθαι.

ιγ'. Μνηστείας ἡγησαμένης ἐξ εὐλόγου αἰτίας καὶ περαιτέρω τετραετίας ὑπερτίθεται ὁ τῶν ἐφήβων γάμος· τυχὸν διὰ νόσον τοῦ μνηστῆρος ἢ τῆς μνηστῆς, ἢ θάνατον τῶν γονέων, ἢ διὰ κεφαλικὰ ἐγκλήματα, ἢ μακρὰς ἀποδημίας ἐξ ἀνάγκης γενομένας.

ιδ'. Ἡ μανία ἐμποδίζει τὴν μνηστείαν· ἐπιγινομένη δὲ οὐ κωλύει τὴν συστᾶσαν.

ιε'. Τὸ πένθος τοῦ ἀνδρὸς οὐ κωλύει τὴν γυναῖκα μνηστευθῆναι.

ιϛ'. Οἱ τῶν μαινομένων παῖδες, κἂν ὑπεξούσιοί εἰσιν, οὐ δέονται τῆς τῶν γονέων αὐτῶν συναινέσεως γάμον συναλλάσσοντες δηλονότι καὶ μνηστείαν· ἀλλ' ἐν μὲν κωνσταντινουπόλει κρίσει τοῦ ἐπάρχου τῆς πόλεως, ἐν δὲ ταῖς ἐπαρχίαις κρίσει τοῦ ἄρχοντος ἢ τοῦ ἐπισκόπου, παρουσίᾳ τοῦ κουράτορος τοῦ ἰδίου πατρός, τὸν γάμον ἀποτελοῦσιν.

ιζ'. Οἱ τῶν αἱρετικῶν παῖδες, ἐὰν γένωνται χριστιανοί, ἀναγκάζουσι τοὺς ἰδίους γονεῖς τρέφειν αὐτοὺς καὶ ἐνδύειν, καὶ προῖκα ἢ πρὸ γάμου δωρεὰν ὑπὲρ αὐτῶν διδόναι κατὰ τὸ μέτρον τῆς αὐτῶν περιουσίας.

ΤΙΤΛΟΣ ΠΕΝΤΕΚΑΙΔΕΚΑΤΟΣ.

Περὶ ἀῤῥαβώνων καὶ δωρεῶν μνηστείας.

Κεφ. α'. Ὁ ἀῤῥαβὼν φύσιν ἔχει τοιαύτην, ἵνα, εἰ μὲν ὁ λαβὼν τὸν ἀῤῥαβῶνα παραιτήσηται, διπλάσιον ὅπερ ἔλαβεν ἀποδῷ, εἰ δὲ ὁ δεδωκώς, ἐκπέσῃ τῶν ἀῤῥαβώνων.

β'. Ἐὰν μηδὲ [1]) παρ' αἰτίαν τοῦ ἀνδρὸς μηδὲ παρ' αἰτίαν τῆς γυναικὸς λυθῇ ἡ μνηστεία, ἀλλ' εἷς ἐκ τῶν δύο τελευτήσῃ [a]), οὐκ ἀπόλλυται ὁ ἀῤῥαβών, ἀλλὰ μόνον αὐτὸ τὸ δοθὲν ἀποκαθίσταται.

γ'. Ἐὰν ὁ πατὴρ ὑπὲρ τῆς ἰδίας θυγατρὸς δεξάμενος ἀῤῥαβῶνας μηδέπω τῶν γάμων γενομένων τελευτήσῃ, εἶτα μετὰ τὸν

a) Εἰ [2]) μη ἄρα τὸ τελευτῆσαν πρόσωπον προβῆναι τοὺς γάμους παρενεπόδισεν ἐξεπίτηδες.

1) C: δὲ μή.

2) C: Καὶ τὸ σχόλιόν φησιν· εἰ μη κτλ.

ἐκείνου θάνατον ἢ ἐπίτροπος ἢ κουράτωρ παρασκευάσῃ διαλυθῆναι τὴν μνηστείαν, μὴ ἔχειν αὐτοὺς ἄδειαν τὰ ἐν τῇ ζωῇ τοῦ πατρὸς δοκιμασθέντα καὶ συναρέσαντα ἀνατρέπειν, ἵνα μηδὲν ἐκ τούτου πρόκριμα τῇ κόρῃ γένηται.]

δ'. Ἐὰν γυνὴ αὐτεξουσία τελείαν ἄγουσα τὴν ἡλικίαν ἀῤῥαβῶνας δεξαμένη παραιτῆται τὸν γάμον, διπλοὺς ἀναδιδότω τοὺς ἀῤῥαβῶνας. εἰ δὲ καὶ ἐλάττων οὖσα συγγνώμην ἡλικίας ᾔτησε καὶ ἀῤῥαβῶνας ἔλαβε, πάλιν τὸ διπλάσιον ἀναδιδότω.] γίνεται δὲ ἡ αἴτησις τῆς συγγνώμης τῆς ἡλικίας τοῖς μὲν ἀνδρᾶσιν ἀπὸ κ ἕως κε, ταῖς δὲ θηλείαις ἀπὸ ιη μέχρι τοῦ κε χρόνου, αἰτουμένοις βασιλέα ἀπώσασθαι τοὺς κουράτορας αὐτῶν· αὐτοὶ γὰρ μόνοι τὴν τῶν ἰδίων πραγμάτων ποιεῖσθαι φροντίδα δύνανται, ὑπολήψεως ἀγαθῆς δηλονότι μαρτυρούμενοι. τηνικαῦτα δὲ μετὰ τὴν αἴτησιν πράττουσι τὰ τῶν τελείων· οὐ μέντοιγε χωρὶς δεκρέτου ἐκποιοῦνταί τι τῶν αὐτοῖς προσόντων. εἰ δὲ καὶ ἀφῆλιξ οὖσα συγγνώμην ἡλικίας οὐκ ᾔτησε, κἂν ἀῤῥαβῶνας ἔλαβεν, αὐτὸ τὸ ἁπλοῦν, ὅπερ ἔλαβεν, ἀποκαταστήσει. [εἰ δὲ καὶ πατὴρ κόρης ἢ μήτηρ ἀῤῥαβῶνας ἔλαβεν ἢ πάππος ὑπὲρ ἐκγόνης τελείας ὄντες ἡλικίας, καὶ αὐτοὶ εἰς τὸ διπλάσιον κατεχέσθωσαν, εἴπερ δυνάμενον προβῆναι τὸν γάμον παραιτοῦνται ποιῆσαι. εἰ δὲ ἀνυπόστατος μέλλει ὁ γάμος εἶναι, αὐτοὶ οἱ ἀῤῥαβῶνες ἀναδιδόσθωσαν ἁπλοί. εἰ δὲ καὶ μὴ ἦν ἀνυπόστατος ὁ γάμος, δι' εὔλογον δὲ αἰτίαν παραιτοῦνται, εἰ μὲν ᾔδεισαν καὶ πρὸ τῆς μνηστείας τὴν αἰτίαν, ἑαυτοῖς ἐγκαλείτωσαν[b]), διὰ τί τὸν τοιοῦτον ἐμνηστεύσαντο. τὰ δὲ αὐτὰ καὶ ἐπὶ τοῦ μνηστῆρος λέγομεν τοῦ τὴν μνηστείαν παραιτουμένου.]

ε'. Εἰ καὶ νόμοις ἀπηγορευμένοι μή εἰσιν οἱ ἐλπισθέντες γάμοι, μετὰ δὲ τοὺς δοθέντας ἐπὶ μνήστροις ἀῤῥαβῶνας ἡ μνηστὴ τὴν συνάφειαν τοῦ μνηστῆρος διὰ τὴν αἰσχρὰν αὐτοῦ ἢ ἄσωτον ἀναστροφὴν ἢ τὴν τῆς θρησκείας ἢ τὴν τοῦ δόγματος διαφορὰν παραιτεῖται, ἢ διὰ τοῦτο ὅτι ὡς ἀνὴρ συνάφειαν ἐξ ἧς ἐλπὶς γονῆς τίκτεται ποιεῖν οὐ δύναται, ἢ δι' ἄλλην εὔλογον παραιτήσεως αἰτίαν, εἰ μὲν ἀποδειχθῇ πρὸ τοῦ δοθῆναι τοὺς αὐτοὺς ἀῤῥαβῶνας τοῦτο αὐτὴν τὴν γυναῖκα ἢ τοὺς αὐτῆς γονεῖς ἐγνωκέναι, ἑαυτοὺς ὀφείλουσιν ἐγκαλεῖν, ὡς προείπομεν. ἐὰν δὲ ταῦτα ἀγνοοῦντες τοὺς ἐπὶ τῇ μνηστείᾳ ἀῤῥαβῶνας ἐδέξαντο, ἢ μετὰ τοὺς δοθέντας ἀῤῥαβῶνας αἰτία τὶς εὔλογος μεταμελείας παρενετέθη, αὐτῶν μόνων ἀποδιδομένων περὶ τῆς ἄλλου ἁπλοῦ τιμωρίας ἐλεύθεροι φυλαττέσθωσαν.

b) σχόλιον. Ἑαυτοῖς ἐγκαλείτωσαν, ὑποκείμενοι τοῖς τῆς ζημίας ἐπιτιμίοις δηλονότι τὴν μνηστείαν διαλύοντες.

ϛ΄. Οὐ χρὴ τοὺς ἄρχοντας ἐξ ἐκείνης τῆς ἐπαρχίας ἧς ἄρχουσι μνηστεύεσϑαι. εἰ δὲ τοῦτο ποιήσουσιν, ἔξεστι τῇ κόρῃ καὶ τοῖς γονεῦσιν αὐτῆς ἢ ἐπιτρόποις ἢ κουράτορσι παραιτεῖσϑαι τὸν γάμον καὶ κερδαίνειν τοὺς ἀῤῥαβῶνας. τοῦ αὐτοῦ κρατοῦντος καὶ ἐπὶ υἱῶν καὶ ἐγγόνων καὶ συγγενῶν καὶ δομεστίκων καὶ συγκαϑέδρων καὶ ἐπὶ πάντων τῶν ἐν τῇ τάξει καὶ τῶν οἰκείων αὐτοῦ, ἐὰν κατὰ σπουδὴν τοῦ ἄρχοντος ἐμνηστεύσαντο. εἰ μέντοι καὶ μετὰ τὴν ἀρχὴν βούλεται ἡ κόρη συναφϑῆναι αὐτῷ, ἔῤῥωται ὁ γάμος. σημείωσαι οὖν, ὅτι τότε κωλύει τὸ συνάλλαγμα, ὅτε ὁ τὸ ὀφφίκιον χειρίζων δύναται φοβερὸς εἶναι τοῖς γονεῦσι τῆς κόρης· ὡς εἴγε ἄρχων μὲν ἦν, οὐκ ἦν δὲ ἱκανὸς τοῦ κολάσαι τοὺς τῆς κόρης γονεῖς, οὐ κεκώλυται ἡ μνηστεία.

ζ΄. Ἐὰν ὁ μνηστὴρ ἢ ἡ μνηστὴ μετὰ τὸ λαβεῖν τοὺς ἀῤῥαβῶνας ἢ καὶ δοῦναι τὸν μονήρη βίον ἀγαπήσῃ, ὁ μὲν μνηστὴρ ἀναλαμβάνει οὓς δέδωκεν ἀῤῥαβῶνας, ἡ δὲ μνηστὴ οὓς ἔλαβεν μόνον καὶ οὐ τὸ διπλοῦν ἀναγκάζεται παρέχειν. τὸ αὐτὸ καὶ ἐπὶ προστίμῳ.

η΄. Ὅσα ὁ ἀνὴρ δωρεῖται τοῖς γονεῦσι τῆς μνηστῆς ἐπὶ τῷ γενέσϑαι τοὺς γάμους, ταῦτα μὴ γινομένων τῶν γάμων ἀναδίδονται αὐτῷ.

ϑ΄. Ἐὰν ὁ ἀνὴρ μὴ ὑποδεξάμενος προῖκα βούληται τὸ ἐν τῇ συνηϑείᾳ γινόμενον προῖκα ποιῆσαι τῇ ἰδίᾳ μνηστῇ μελλούσῃ αὐτῷ γαμεῖσϑαι, εἰ μὲν δωρήσηται αὐτῇ πράγματα εἰδικῶς καὶ μετὰ ταῦτα δέξηται αὐτὰ παρ᾽ αὐτῆς εἰς προῖκα, καὶ ἡ δωρεὰ τελεία ἐστὶν ὡς πρὸ τοῦ γάμου γενομένη, καὶ ἡ προὶξ συνίσταται ὡς ἐπιδόσεως προελϑούσης· ἐὰν δὲ γράψῃ μόνον, ὅτι ὑπεδέξατο προῖκα μηδὲν ὑποδεξάμενος, οὐδεμία ἐστὶν ἀπαίτησις τῶν μὴ ἐπιδοϑέντων πραγμάτων.

ι΄. Γυνή τις μέλλουσα γαμεῖσϑαι δόλον ἐποίησε τῷ ἀνδρὶ περὶ τὴν ἰδίαν προῖκα, μηδὲν ῥητῶς ἐπαγγειλαμένη, ἀπατήσασα δὲ αὐτὸν ἐλπίδι μεγάλης προικός. καὶ διὰ τοῦτο καὶ ὁ ἀνὴρ ἐπηγγείλατο ψιλῶς ἢ καὶ ἐπηρωτήϑη λόγῳ μνήστρων δωρηϑῆναι τῇ γυναικὶ ποσότητα φανερὰν τυχὸν σ νομισμάτων. ἐπὶ τούτοις συνέστη ὁ γάμος καὶ ἐτελεύτησεν ὁ ἀνὴρ[3]) ἐπὶ ἀδελφῷ κληρονόμῳ. ἡ γυνὴ τοίνυν ἐκίνει κατὰ τοῦ ἀδελφοῦ καὶ κληρονόμου τοῦ ἀνδρὸς ἀπαιτοῦσα αὐτὸν τὸ ἐκ τῆς ἐπαγγελίας ἤγουν ἐπερωτήσεως. ἀντιγράφει οὖν ἡ διάταξις πρὸς τὸν ἀδελφόν· εἰ τὴν ἐπαγγελίαν ἀπὸ τοῦ ποτε σοῦ ἀδελφοῦ μνήστρων ἕνεκεν γενομένην ἢ καὶ εἰς ἐπερώτησιν κα-

3) In A deest.

τενεχθεῖσαν ἐπιζητεῖ ἡ γυνὴ αὕτη, διὰ τοῦτο οὐκ ὀφείλει παρασχεθῆναι αὐτῇ, ἐπειδὴ ἐν τῇ προικὶ τὸν ἄνδρα ἠπάτησεν.

ια΄. Ἡ διάταξις βούλεται τὸν προξενοῦντα γάμον μάλιστα μὲν μηδὲν λαμβάνειν· εἰ δὲ ὅλως ἀνέχεται λαβεῖν, εἰ μὲν μηδὲν συνεφώνησε περὶ τούτου, μηδὲν ὅλως λαμβάνειν· εἰ δὲ καὶ συνεφώνησε, μὴ ὑπὲρ τὴν κ μοῖραν τῆς προικὸς καὶ τῆς προγαμιαίας δωρεᾶς ἐπιζητεῖν.

ιβ΄. Ἐπειδὴ τῇ μὲν μνηστῇ δυνατὸν δωρεῖσθαι, οὐκέτι δὲ καὶ τῇ γαμετῇ, ἐζητεῖτο, ἆρα, ἐὰν γένηται δωρεὰ ἐν αὐτῇ τῇ ἡμέρᾳ τῶν γάμων, ὡς πρὸς μνηστὴν γενομένη ἔῤῥωται, ἢ ὡς πρὸς γαμετὴν ἀνυπόστατός ἐστιν. λέγει τοίνυν ἡ διάταξις, ὅτι ἐν τῇ τοσαύτῃ ἀδηλίᾳ δεῖ ζητεῖν, ποῦ τῆς γυναικὸς οὔσης ἡ δωρεὰ γέγονεν, ἵνα εἰ μὲν ἐν τῷ ἰδίῳ οἴκῳ ἦν, δόξῃ πρὸς μνηστὴν δωρεὰ γεγονέναι, εἰ δὲ ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς, πρὸς γαμετήν.

ιγ΄. [4]) Οἱ δανεισταὶ τοῦ ἀνδρὸς, εἰ μὴ ὑποθήκας ἔχουσιν, οὐ δύνανται τὰ τῇ μνηστῇ δωρηθέντα παρ᾽ αὐτοῦ πράγματα ἀποσπᾶν.

ιδ΄. Ἡ γενομένη παρὰ τοῦ πενθεροῦ ἢ τῆς πενθερᾶς πρὸς τὴν νύμφην ἢ τὸν γαμβρὸν δωρεὰ οὐδὲ ἀπὸ θείας ἀντιγραφῆς ἀναιρεῖται.

ιε΄. [5]) Πατὴρ πρὸ τῶν γάμων τῆς ἐμαγκιπάτου, τουτέστι τῆς αὐτεξουσίας, προῖκα ἐπιδιδοὺς, καλῶς συμφωνεῖ ἀπαιτηθῆναι, ἣν ἐπερωτήθη προῖκα. ἐὰν δὲ μὴ συνεφώνησε τῷ γάμῳ [6]) αὐτῆς ἀναδίδοσθαι τὴν προῖκα, καὶ οὕτως καλῶς συμφωνεῖ, τουτέστιν ἀπαιτεῖ, καὶ προβαινόντων καὶ μὴ προβαινόντων τῶν γάμων.

ιϛ΄. Ἡ παρὰ τοῦ μνηστῆρος γενομένη δωρεὰ οὐκ ἀναιρεῖται [7]) προφάσει ὡς παρὰ πολεμίων αὐτὸν ἀναιρεθῆναι.

ιζ΄. Ὁ μνήστωρ [8]) καλῶς δωρεῖται τῇ ἰδίᾳ μνηστῇ προγάμου δωρεάς. εἴρηται δὲ πρὸ γάμου δωρεὰ, διὰ τὸ πρὸ τῆς συστάσεως τοῦ συνοικεσίου γίνεσθαι αὐτήν· καθόλου γὰρ πᾶσα δωρεὰ γινομένη συνεστῶτος τοῦ γάμου μεταξὺ ἀνδρὸς καὶ γυναικὸς ἀπηγόρευται.

4) A hanc §. vocat ιδ΄, et sequentes deinceps ιε΄ κτλ.

5) D §§. 15—17 non habet. Quo magis dubito, an genuinae sint. Nam etiam §. 15 ejus indolis est, ut non ipsi Epanagogae propria, sed aliunde intrusa esse videatur.

6) Locus corruptus. Cf. Epitome XXI, 5.

7) A: ἔῤῥωται.

8) Lege Ὁ ἥττων. Cf. Epitome XXI, 18.

ΤΙΤΛΟΣ ΕΚΚΑΙΔΕΚΑΤΟΣ.

Περὶ γάμου καὶ ἀκριβείας αὐτοῦ.

Κεφ. α΄. Γάμος ἐστὶν ἀνδρὸς καὶ γυναικὸς συνάφεια καὶ συγκλήρωσις πάσης τῆς ζωῆς εἴτε δι' εὐλογίας εἴτε διὰ στεφανώματος ἢ διὰ συμβολαίου. τὰ δὲ παρὰ ταῦτα γινόμενα ὡς μηδὲ γεγονότα λογιζόμεθα [a]).

β΄. Ἐννόμους γάμους μεταξὺ ἀλλήλων συνιστῶμεν, ἡνίκα τὰ περὶ γάμων τοῖς νόμοις διηγορευμένα φυλάξωμεν. δεῖ δὲ τοὺς μὲν ἄῤῥενας ἐφήβους εἶναι, τὰς δὲ θηλείας ἀνδρὸς δεκτικάς, τουτέστι τοὺς μὲν ὑπερβεβηκέναι τὸ ιδ ἔτος, τὰς δὲ μείζους εἶναι τῶν ιβ ἐνιαυτῶν. ταῦτα δὲ λέγομεν, εἴτε αὐτεξούσιοι εἴτε ὑπεξούσιοί εἰσιν οἱ πρὸς γάμον συνιόντες [2]).

γ΄. Οὐ γίνεται γάμος, εἰ μὴ συναινῶσιν οἱ συναπτόμενοι καὶ οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους.

δ΄. Ὁ αὐτεξούσιος τελείαν ἄγων ἡλικίαν καὶ χωρὶς τῆς τοῦ πατρὸς συναινέσεως γαμεῖ.

ε΄. Ἡ αὐτεξουσία τελείαν ἄγουσα τὴν ἡλικίαν καὶ ἄκοντος τοῦ πατρὸς νομίμως συνάπτεται ἀνδρί.

ϛ΄. Ἐὰν ὁ πάππος μαίνηται, ὁ πατὴρ συναινεῖ· εἰ δὲ ὁ πατήρ, ἀρκεῖ ὁ πάππος συναινῶν, εἰ φρονεῖ [b]).

ζ΄. Οἰκείᾳ γνώμῃ γαμεῖν ἡ ὀρφανὴ δύναται. ἡ γὰρ τῶν πραγμάτων διοίκησις πρὸς τὸ ὀφφίκιον τοῦ κουράτορος ἀναφέρεται, οὐ μὴν ὁ γάμος αὐτῆς.

η΄. Εἴσω τριετίας τοῦ αἰχμαλώτου μὴ ὑποστρέφοντος οἱ παῖδες αὐτοῦ δύνανται γαμεῖν.

θ΄. Ἐὰν ἐπὶ τριετίαν ὁ πατὴρ ἠγνόηται, ποῦ διάγει καὶ εἰ περίεστι, δύνανται οἱ ἑκατέρας φύσεως αὐτοῦ παῖδες νομίμως γαμεῖν.

a) σχόλιον. [1]) Ἐντεῦθεν καινίζεται τὸ τοὺς κατωτέρω τῶν ἰλλουστρίων καὶ ἀπὸ μόνης γαμικῆς διαθέσεως δύνασθαι γάμον συνιστᾶν κατὰ τὴν ριζ΄ νεαράν.

b) σχόλιον. Ὅτε ὁ πατὴρ ἐστὶν ὑπεξούσιος τῷ πάππῳ δηλονότι.

1) Hoc scholium C in textu habet tanquam §. 2, iidemque tanquam §. 3 subjicit locum Prochiri IV, 23.

2) A et B hic intercalant locos Prochiri IV, 22 et 23 sub hac inscriptione: τοῦ ἡμετέρου βασιλέως, et numeris α΄, β΄ insignitos. C autem locum Prochiri IV, 22 post §. 5 habet tanquam σχόλιον, iidemque subjicit Proch. IV, 24. A vero et B locum Prochiri IV, 24, ut et IV, 25. 26. 27, in margine habent adscriptos. — Ordinem paragraphorum, qualem nos restituimus, comprobat D, nisi quod scholium a in textum recepit tanquam §. 2.

ι'. Εἰ δὲ πρὸ τῆς τριετίας οἱ παῖδες τοῦ αἰχμαλώτου ἢ τοῦ ἀπόντος γαμήσουσι, καὶ δῆλόν ἐστι μὴ ἀπαρέσκειν τῷ πατρὶ τὸ πρόσωπον, ἔῤῥωται ὁ γάμος.

ια'. Ὁ γάμος καὶ χωρὶς προικῴων συμβολαίων συνίσταται, δηλονότι φυλαττομένης τῆς τοῦ νόμου παρατηρήσεως.

ιβ'. Τὸν γάμον οὐ τὸ συγκαθευδῆσαι ἀλλήλοις τὸν ἄνδρα καὶ τὴν γυναῖκα συνίστησιν, ἀλλ' ἡ γαμικὴ αὐτῶν συναίνεσις.

ιγ'. Ἡ ἧττων τῶν ιβ ἐτῶν γαμηθεῖσα τότε γίνεται νόμιμος γαμετὴ, ὅτε παρὰ τῷ ἀνδρὶ πληρώσει τὰ ιβ[3]) ἔτη.

ιδ'. Ἡ ἔλαττον τῶν κε ἐτῶν αὐτεξουσία μέλλουσα δευτερογαμεῖν γνώμῃ τοῦ πατρὸς γαμείσθω. εἰ δὲ ἐτελεύτησεν ὁ πατὴρ, γνώμῃ τῶν συγγενῶν. εἰ δὲ ἐναντιοῦνται ἑαυτοῖς[4]), ὁ ἄρχων κρινέτω τὴν βελτίονα γνώμην, ἵνα, ἐὰν ἴσοι ὦσι οἱ δύο μνηστῆρες, ὃν οἱ συγγενεῖς βούλονται καὶ ὃν ἡ γυνὴ ἐπιλέγεται, προτιμᾶται ἡ τῆς γυναικὸς κρίσις.

ιε'. Ὅτε περὶ τοῦ γάμου τῆς ἀνήβου καὶ ὀρφανῆς κόρης ἀμφιβάλλουσι μήτηρ καὶ συγγενεῖς καὶ ἐπίτροποι, ὀφείλει ὁ ἄρχων τὰ περὶ τούτου διακρίνειν.

ις'. Τὰ πένθη τῶν ἀνιόντων οὐκ ἐμποδίζει τοῖς γάμοις τῶν πενθούντων.

ιζ'. Ἡ μήτηρ τῆς ἐπιτροπευθείσης δύναται τῷ ἐπιτρόπῳ τῆς ἰδίας θυγατρὸς γαμηθῆναι.

ιη'. Ἐὰν ἡ ἐπιτροπευθεῖσα παρά τινος καὶ λόγους λάβῃ τῆς διοικήσεως καὶ ὑπερβῇ τὸν κε ἐνιαυτὸν, δύναται αὐτὴν ὁ τοῦ ἐπιτροπεύσαντος υἱὸς ἀγαγέσθαι.

ιθ'. Ἐὰν ἡ ὀρφανὴ πληρώσῃ τὸν κε ἐνιαυτὸν καὶ ἕτερον ἕνα χρόνον, καὶ δώσει τοὺς λόγους ὁ ἐπίτροπος, οὕτως δύναται ταύτην γαμεῖν.

κ'. Ὁ ἐλευθερώσας δούλην δύναται αὐτὴν ἀγαγέσθαι γνησίας μη ὑπούσης αὐτῷ γονῆς[c]), καὶ οἱ τεχθέντες παῖδες νόμιμοί εἰσιν.

κα'. Οἱ τοῦ ἄφρονος καὶ οἱ τοῦ μαινομένου παῖδες οἱασδήποτε φύσεως ὄντες δύνανται γάμοις ὁμιλεῖν, τῆς ὑπὲρ αὐτῶν προικὸς ἢ προγάμου δωρεᾶς κρίσει τοῦ ἐπάρχου τῆς πόλεως ἢ τοῦ κοιαίστωρος ἢ τοῦ κατὰ τὸν τόπον ἄρχοντος ἢ τοῦ ἐπισκόπου παρὰ τοῦ ἰδίου κουράτορος διδομένης.

c) σχόλιον.[5]) Ἀλλὰ καὶ γονῆς ὑπούσης, ἐὰν γένωνται προικῷα κατὰ τὴν νεαράν.

3) A: β'.
4) A: ἐν αὐτοῖς.

5) C hoc scholium non habet.

κβ'. Ὁ ἀδίκως κωλύων γαμεῖν ἢ γαμεῖσθαι τοὺς ἰδίους ὑπεξουσίους ἢ μὴ διδοὺς προῖκα, διὰ τῶν ἀρχόντων ἀναγκάζεται ἐκγαμίζειν καὶ προικίζειν· κωλύειν δὲ δοκεῖ, μὴ ζητῶν μνηστείαν.

κγ'. Οὐ δύνανται οἱ παῖδες διαλύειν τοὺς ὑπὲρ αὐτῶν γάμους εἰς βλάβην καὶ ζημίαν τῶν ὑπὲρ αὐτῶν τὰς προῖκας ἢ τὰς προγάμου δωρεὰς ἐπιδεδωκότων.

κδ'. Ἡ κατὰ γνώμην τοῦ πατρὸς συναλλάξασα γάμον δύναται καὶ παρὰ γνώμην τοῦ πατρὸς ἐπιμένειν τῷ γάμῳ, καὶ οὐ δοκεῖ προσκροῦσαι[6]) ὡς εὔλογον αἰτίαν παρεχομένη.

κε'. Ὁ αἰχμάλωτον ἀγοράσας καὶ ταύτῃ μιγεὶς ὡς γυναικί, ὡς προλήψει δοκῶν αὐτῇ συγχωρεῖν τὸ τίμημα, εἰς τὴν φυσικὴν εὐγένειαν αὐτὴν ἀνατρέχειν συγχωρεῖ, καὶ τοὺς ἐξ αὐτῆς τικτομένους παῖδας νομίμους ἔχει.

κϛ'. Ἀπὼν ὁ ἀνὴρ δύναται διὰ μέσου ἢ δι' ἐπιστολῆς γαμεῖν τῆς γυναικὸς εἰς τὸν οἶκον αὐτοῦ ἀνιούσης. εἰ δὲ ἡ γυνὴ ἀπολιμπάνηται, οὐ δύναται τοῦτο γενέσθαι· δεῖ γὰρ εἰς τὸν οἶκον τοῦ ἀνδρὸς ἀνελθεῖν τὴν γυναῖκα. καὶ ἐὰν ἀποθάνῃ, πρὶν ἢ ἐπανέλθῃ, πενθεῖται παρὰ τῆς γυναικός, καὶ συμβαίνει παρθένον ἔχειν προῖκα καὶ περὶ προικὸς ἀγωγήν.

κζ'. Οἱ ἀπὸ ἰλλουστρίων ἤτοι πρωτοσπαθαρίων καὶ πρὸς τὰ ἄνω χωρὶς προικῴων συμβολαίων οὐ δύνανται γαμεῖν[d]). εἰ μέντοι προγεγαμηκότες ἔτυχον ἥττονος ὄντες ἀξίας, κἂν μετὰ ταῦτα προβιβασθῶσι, καὶ χωρὶς τῶν προικῴων συμβολαίων τὸν πραχθέντα αὐτοῖς γάμον ἔχουσι κεκυρωμένον.

d) Ὥστε [7]) οὖν ἡ δίχα τοιαύτης παρατηρήσεως συναπτομένη τοιούτῳ ἀνδρὶ οὐ γνησία γυνὴ ἔσται, ἀλλὰ παλλακή, καὶ οἱ ἐξ αὐτῆς οὐ γνήσιοι παῖδες, ἀλλὰ νόθοι· καὶ ἀποδιωχθήσεται ὑπὸ τοῦ ἀνδρός, κατὰ μὲν τοὺς παλαιοὺς εἴγε βούλοιτο ἐκεῖνος, κατὰ δὲ τὸ νῦν καὶ εἰ μὴ βούλοιτο. καὶ παίδων μὲν γνησίων τῷ ἀνδρὶ ὄντων, οὐδὲν λήψεται αὕτη σὺν τοῖς αὐτῆς παισὶν ἐκ τῆς ἐκείνου ὑποστάσεως ἐξ ἀδιαθέτου· ἀπὸ διαθήκης δέ, παῖδας μὲν ἔχουσα, μίαν οὐγκίαν λήψεται σὺν αὐτοῖς, αὐτὴ δὲ μόνη οὖσα ἡμιούγκιον. γνησίων δὲ παίδων οὐκ ὄντων τῷ ἀνδρί, ἐξ ἀδιαθέτου μὲν διούγκιον σὺν τοῖς παισὶ λήψεται, αὐτὴ δὲ μόνη οὖσα οὐδέν. ἀπὸ διαθήκης δέ, πατέρων μὲν ὄντων τῷ ἀνδρί, αὕτη σὺν τοῖς παισὶν ἢ καὶ μόνη τὸ ὀκταούγκιον λήψεται, μὴ ὄντων δὲ ἀνιόντων, εἴγε βούλοιτο ὁ ἀνήρ, καὶ τὸ δωδεκαούγκιον ἢ σὺν τοῖς παισὶν ἢ καὶ ἄπαις οὖσα λήψεται αὐτὴ μόνη. ταῦτα γάρ εἰσιν ἐπί τε παλλακῶν καὶ νόθων παίδων. εἰ μέντοι τὰ πάλαι προικῷα τῶν ἄρτι γαμικῶν στεφάνων καὶ εὐλογιῶν εἴτε κυριώτερα εἴτε ἀσθενέστερα πρὸς σύστασιν γνησίου γάμου, τοῦτο νομοθετικῆς ἐπικρίσεώς τε ὁμοῦ καὶ δυνάμεως ἀποφήνασθαι.

6) A: πρὸς εὔλογον αἰτίαν.
7) In D huic scholio inscribitur: σχόλιον λέοντος [βασιλέως].

ΤΙΤΛΟΣ ΕΠΤΑΚΑΙΔΕΚΑΤΟΣ.

Περὶ γάμων κεκωλυμένων.

Κεφ. α'. Ἡ συγγένεια ὄνομά ἐστι γενικόν. διαιρεῖται δὲ εἰς τρία· εἰς ἀνιόντας, καὶ κατιόντας, καὶ τοὺς ἐκ πλαγίου. καὶ ἀνιόντες μὲν εἰσὶν οἱ ἡμᾶς γεγεννηκότες, οἷον πατὴρ, μήτηρ, πάππος, μάμμη καὶ οἱ τούτων ἀνώτεροι. κατιόντες δὲ οἱ ἐξ ἡμῶν γεννώμενοι, οἷον υἱὸς, θυγάτηρ, ἔκγονος, ἐκγόνη καὶ οἱ ἔτι τούτων κατώτεροι. ἐκ πλαγίου δὲ οἱ μήτε ἡμᾶς γεγεννηκότες μήτε ἐξ ἡμῶν γεννώμενοι, τῆς δὲ αὐτῆς γονῆς καὶ ῥίζης ἡμῖν κεκοινωνηκότες, οἷον ἀδελφὸς, ἀδελφὴ, θεῖος, θεία, ἀνεψιὸς, ἀνεψιὰ, ἐξάδελφος, ἐξαδέλφη καὶ οἱ ἐκ τούτων τικτόμενοι. ἑκάστη δὲ τάξις συγγενείας ποικίλους ἔχει καὶ διαφόρους βαθμούς. ἀλλ' ἐπὶ μὲν τῶν ἀνιόντων καὶ κατιόντων ἁπλουστέρα τις καὶ εὐχερὴς ἡ κατάληψις τῶν βαθμῶν. ἕκαστον γὰρ τούτων τῶν προσώπων βαθμὸν ἀποτελεῖ, καὶ ἁπλῶς ὅσαι γεννήσεις τοσοῦτοι καὶ βαθμοί. δυσχερεστέρα δὲ καὶ οὐκ εὐκατάληπτός ἐστιν ἡ τῶν ἐκ πλαγίου βαθμῶν εὕρεσις. δεῖ γὰρ ἡμᾶς οὐκ εὐθέως τρέχειν ἐπὶ τὸ ἐκ πλαγίου πρόσωπον, ἀλλὰ πρότερον ποιεῖσθαι τὴν ἀνάβασιν ἐπὶ τοὺς ἀνιόντας, μέχρις οὗ ἐπιστῶμεν ἐκείνῳ τῷ αἰτίῳ τῆς γεννήσεως τοῦ ἐκ πλαγίου, εἶτα τοῦτο εὑρόντας κατιέναι ἐπὶ τὸ ζητούμενον πρόσωπον τοῦ ἐκ πλαγίου, καὶ οὕτω πάσας ἀριθμεῖν τὰς γεννήσεις τὰς συναγομένας τοῦτο μὲν ἐπὶ τῆς ἀνόδου, τοῦτο δὲ καὶ ἐπὶ τῆς καθόδου· ἑκάστην γὰρ γέννησιν ἐν ἰδιάζοντι τάττων βαθμῷ ποιοῦ τὸν ἀριθμόν. καὶ ἐπὶ μὲν τῶν κατιόντων εὐχερὲς τοῦτο. οἷον ὁ υἱός μου πόστου ἐστὶ βαθμοῦ; ἐγὼ ἔτεκον· ἰδοὺ μία γέννησις ἕνα βαθμόν ἀπετέλεσεν· οὐκοῦν πρώτου μου ἐστὶ βαθμοῦ. ὁ ἔκγονος πόστου; ἐγὼ ἐγέννησα τὸν υἱὸν, ὁ υἱὸς τὸν ἔκγονον· ἰδοὺ δύο γεννήσεις δύο βαθμοὺς ἀπετέλεσαν· οὐκοῦν ὁ ἔκγονός ἐστι δευτέρου βαθμοῦ. τὸ αὐτὸ καὶ ἐφεξῆς ἐπὶ προεκγόνου καὶ ἀπεκγόνου. ὁμοίως καὶ ἐπὶ τῶν ἀνιόντων. ὁ πατὴρ πόστου ἐστὶ βαθμοῦ; ἐμὲ ἐγέννησεν ὁ πατήρ· ἰδοὺ μία γέννησις ἕνα βαθμὸν ἀπετέλεσεν, ὥστε οὖν πρώτου μου ἐστὶ βαθμοῦ. ὁ πάππος πόστου; ἐμὲ ὁ πατὴρ ἐγέννησε, τὸν πατέρα ὁ πάππος· ἰδοὺ δύο γεννήσεις δύο βαθμοὺς ἀπετέλεσαν· ἐστὶν οὖν ὁ πάππος δευτέρου βαθμοῦ. τὸ αὐτὸ καὶ ἐπὶ μητρὸς καὶ μάμμης καὶ πάντων τῶν ἀνιόντων ἀῤῥένων καὶ θηλείων. ἐπὶ δὲ τῶν ἐκ πλαγίου, ὡς εἴρηται, δεῖ ἀνιέναι ἐπὶ τὸ τῆς συγγενείας αἴτιον πρόσωπον τὰς γεννήσεις ἀριθμοῦντα, καὶ πάλιν κατιέναι ψηφίζοντα τὰς γεννήσεις, ἕως οὗ ἔλθωμεν εἰς τὸ πρόσωπον, περὶ οὗ ἡ

ζήτησις. εἰ γάρ τίς σε ἐρωτήσει· ο ἀδελφός σου πόστου σοί ἐστι βαθμοῦ; λέγε, δευτέρου. διὰ τί; ἀνέρχῃ πρὸς τὸν πατέρα· ἰδοὺ μία γέννησις ἀπὸ τοῦ πατρὸς εἰς σὲ ἕνα βαθμὸν ἀπετέλεσεν. εἶτα ἐπειδὴ εὗρες τὸ αἴτιον τῆς γεννήσεως πρόσωπον, κάτελθε πρὸς τὸν ἀδελφὸν, προστιθεὶς ἐνταῦθα ἑτέραν γέννησιν· ἰδοὺ δύο γεννήσεις δύο βαθμοὺς ἀπετέλεσαν. οὐκοῦν καλῶς εἴρηται, ὅτι ὁ ἀδελφὸς δευτέρου ἐστὶ βαθμοῦ. πάλιν ἐάν τίς σε ἐρωτᾷ, ὁ θεῖος πόστου σοὶ ἐστὶ βαθμοῦ; λέγε, ὅτι τρίτου. ἀνάγκη γάρ σε ἀνιέναι ἐπὶ τὸν σὸν πατέρα, καὶ λέγειν· ἐμὲ ἐγέννησεν ὁ πατὴρ, τὸν πατέρα ὁ πάππος· ἰδοὺ δύο γεννήσεις· ὁ αὐτὸς πάππος τὸν ἐμὸν θεῖον· ἰδοὺ τρεῖς γεννήσεις τρεῖς ἀπετέλεσαν βαθμοὺς, ὥστε τρίτου μοί ἐστι βαθμοῦ ὁ θεῖος. οὕτω καὶ ἐπὶ τῶν ἑξῆς τῷ αὐτῷ προσέχων κανόνι δύνασαι καταλαβεῖν τοὺς βαθμούς.

β΄. Τοὺς κεκωλυμένους γάμους ὁρίζομεν οὕτως· ἐπὶ μὲν τῶν ἀνιόντων καὶ κατιόντων εἰς ἀπέραντον ὁ γάμος κεκώλυται, κἂν μὴ ἐξ ἐννόμων ὦσι γάμων. οὐ δύναται γάρ τις λαμβάνειν τὴν ἰδίαν μάμμην οὐδὲ τὴν ἐγγόνην, εἴτε φυσικαί εἰσιν εἴτε θεταί, εἰ καὶ τὰ μάλιστα ἡ θέσις ἐλύθη τῷ τρόπῳ τῆς αὐτεξουσιότητος. αἰσχυνέσθω γὰρ νῦν ἡ πάλαι τοῦ πατρὸς ἢ τοῦ πάππου προσηγορία.

γ΄. Καὶ μεταξὺ δὲ τῶν ἐκ πλαγίου προσώπων ἐστί τις κώλυσις. τὴν τοῦ ἀδελφοῦ γὰρ ἢ τῆς ἀδελφῆς θυγατέρα λαμβάνειν πρὸς γάμον οὐ θέμις.

δ΄. Ἀλλ᾽ [a]) οὐδὲ τὴν τούτων ἐκγόνην, εἰ καὶ μάλιστα τετάρτου εἰσὶ βαθμοῦ, ἐξ οὗ δὴ βαθμοῦ δύναταί [1]) τις λαμβάνειν πρὸς γάμον, οἷον τὴν θυγατέρα τοῦ θείου ἢ τῆς θείας, τουτέστι τὴν ἐξάδελφον. ἀλλ᾽ οὐδὲ ὁ υἱός μου τὴν ἐκγόνην αὐτῶν, οἵτινες λέ-

a) Τοῦτο τὸ κεφάλαιον ἐν τοῖς ἰνστιτούτοις κατὰ τοιαύτην ἐῤῥέθη διάνοιαν, ὅτι δύναται μέν τις ἐκ τοῦ δ΄ βαθμοῦ οἷον τὴν ἐξάδελφον λαμβάνειν. τοῦτο γὰρ τότε οὐκ ἐκωλύετο. τὴν ἐκγόνην δὲ τῆς ἀδελφῆς, κἂν τετάρτου βαθμοῦ ἐστιν, οὐδεὶς λαμβάνει· ἕτερος γὰρ τοῦτο κανὼν κωλύει, ὃν ἑξῆς φησιν. ἐπεὶ δὲ σήμερον οὐ μόνον ὁ τέταρτος κεκώλυται βαθμὸς, ἀλλὰ καὶ ὁ ε καὶ ὁ ς, περισσὸν οἶμαι καὶ τό· εἰ καὶ μάλιστα, καὶ τό· ἐξ οὗ βαθμοῦ δύναταί τις, ἀλλὰ καὶ αὐτὸς ὁ κανών. καὶ βέλτιον οὕτως ῥηθῆναι·

γ΄. Καὶ μεταξὺ τῶν ἐκ πλαγίου συγγενῶν ἐστι κώλυσις. τὴν τοῦ ἀδελφοῦ γὰρ ἢ τῆς ἀδελφῆς θυγατέρα λαμβάνειν πρὸς γάμον οὐ θέμις, ἀλλ᾽ οὐδὲ τὴν τούτων ἐκγόνην.

δ΄. Οὐδὲ τὴν θυγατέρα τοῦ θείου ἢ τῆς θείας, τουτέστι τὴν ἐξάδελφον. ἀλλ᾽ οὐδὲ ὁ υἱός μου τὴν ἐκγόνην αὐτῶν, οἵτινες λέγονται δισεξάδελφοι.

1) A: οὐ δύναται. Sed obstant huic lectioni tam D quam scholium ad hunc locum, quod jam olim edidi in Prochiro p. 52.

γονται δισεξάδελφοι· κανὼν γὰρ ἔστω σοὶ καθολικός· ἐκείνου τοῦ προσώπου οὗ τὴν θυγατέρα λαβεῖν οὐκ ἐχώρει σοι πρὸς γάμον, τούτου οὐδὲ τὴν ἐκγόνην. ὡσαύτως δὲ οὐδὲ ὁ υἱός σου.

ε'. Ἀλλ' οὐδὲ τὴν πρὸς πατρὸς ἢ πρὸς μητρὸς θείαν δυνατόν σοι λαβεῖν, κἂν θεταὶ ὦσιν, ἐπειδὴ μητέρων τάξιν ἐπέχουσιν. καὶ πῶς συμβαίνει εἶναι θετὴν θείαν; οἷον ὁ πάππος μου ὁ πρὸς πατρὸς ἔχων υἱὸν τὸν ἐμὸν πατέρα ἔλαβε κόρην τινὰ εἰς θέσιν, καὶ ὁ μὲν ἐμὸς πατὴρ ἐκάλει αὐτὴν θετὴν ἀδελφὴν, ἐγὼ δὲ θείαν.

ς'. Ὡσαύτως οὐδὲ τὴν μεγάλην θείαν δύναμαι λαβεῖν τουτέστι τὴν τοῦ πάππου ἀδελφὴν, εἰ καὶ θετή ἐστιν, ἐπειδὴ μάμμης τάξιν ἐπέχει.

ζ'. Εἰσὶ δὲ καὶ ἕτεροι οὐ διὰ θεσμὸν συγγενείας, διὰ δὲ ἀγχιστείαν μὴ προβαίνοντες γάμοι. ἀγχιστεία δέ ἐστιν οἰκειότης προσώπων ἐκ γάμων ἡμῖν συνημμένη συγγενείας ἐκτός. οἷον οὐ δύναμαι λαβεῖν τὴν ἐμὴν προγονὴν ἢ νύμφην. καὶ προγονὴ μέν ἐστιν ἡ ἐξ ἄλλου ἀνδρὸς θυγάτηρ καὶ ἐκγόνη καὶ προεκγόνη τῆς γαμετῆς μου· νύμφη δὲ ἡ τοῦ υἱοῦ καὶ ἐκγόνου καὶ προεκγόνου γαμετή.

η'. Πενθερά ἐστιν ἡ μήτηρ καὶ ἡ μάμμη καὶ ἡ προμάμμη τῆς γαμετῆς· καὶ οὐδεμίαν αὐτῶν δύναταί τις λαμβάνειν, ἐπειδὴ μητέρων τάξιν ἐπέχουσιν.

θ'. Οὐ μόνον ἡ τοῦ πατρός μου, ἀλλὰ καὶ ἡ τοῦ πάππου καὶ προπάππου γαμετὴ μητρυὰ λέγεται· καὶ κωλύομαι λαβεῖν αὐτάς· κἂν πολλὰς ἔσχεν ὁ πατὴρ, οὐδεμίαν αὐτῶν λαμβάνω. ἀλλ' οὐδὲ τὴν μνηστὴν αὐτῶν.

ι'. Οὐδὲ τὴν μητέρα τῆς ποτε μνηστῆς· γέγονε γὰρ πενθερά.

ια'. Οὐδὲ τὴν ποτε γυναῖκα τοῦ προγόνου.

ιβ'. Οὔτε ἡ μητρυὰ λαμβάνει τὸν γενόμενον ἄνδρα τῆς προγονῆς αὐτῆς.

ιγ'. Τὴν προεκγόνην τῆς ἀδελφῆς [2]) γαμεῖν οὐ δύναταί τις· γονέων γὰρ τάξιν ἔχει πρὸς αὐτήν.

ιδ'. Οὐδὲ τὴν θυγατέρα τῆς προγονῆς λαμβάνει.

ιε'. Οὐδὲ τὴν θυγατέρα τῆς ἀποζευχθείσης γυναικὸς τὴν μετὰ τὴν διάζευξιν ἐξ ἑτέρου ἀνδρὸς τεχθεῖσαν.

ις'. Οὐδὲ τὴν τοῦ πατρός μου ἢ ἀδελφοῦ μου μνηστὴν, κἂν γαμεταὶ αὐτῶν οὐ γεγόνασιν· ἡ μὲν γὰρ μητρυᾶς, ἡ δὲ νύμφης τάξιν ἐπέχει.

ιζ'. Ὁ φυσικὸς πατὴρ οὐ λαμβάνει τὴν πορνογενῆ αὐτοῦ

2) A: θυγατρός.

θυγατέρα. τὸ φύσει γὰρ δίκαιον καὶ τὸ εὐπρεπὲς ἐν τοῖς γάμοις σκοπεῖται.

ιη΄. Ἐν τοῖς γάμοις οὐ μόνον τὸ ἐπιτετραμμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς ζητοῦμεν.

ιθ΄. Τὴν ἐκ πορνείας ἀδελφὴν οὐδεὶς λαμβάνει. τὰ αὐτὰ καὶ περὶ δουλικῆς συγγενείας καὶ ἀγχιστείας.

κ΄. Ὁ θετὸς πατὴρ τὴν τοῦ θετοῦ υἱοῦ θυγατέρα ἢ ἐκγόνην λαμβάνειν οὐ δύναται.

κα΄. Οὔτε [b]) ὁ θετὸς υἱὸς τὴν τοῦ θετοῦ πατρὸς μητέρα ἢ θείαν [3]) ἢ ἐκγόνην, εἰ καὶ μὴ ἅπτηται τοῦ γένους αὐτῶν.

κβ. Ὁ αὐτεξούσιος οὐ δύναται λαβεῖν τὴν γενομένην γαμετὴν τοῦ ποτε θετοῦ πατρός, ὥσπερ οὐδὲ τὴν αὐτοῦ ὁ ποιήσας αὐτὸν αὐτεξούσιον θετὸς πατήρ.

κγ΄. Οὐκ εὐπρεπῶς ἡ γυνὴ τοῦ ἰδίου πάτρωνος γαμεῖται ἀπελευθέρῳ αὐτοῦ, κἂν ἀποδῷ τοὺς λόγους [5]).

κδ΄. Οὔτε ὁ πατὴρ τοῦ ἐπιτρόπου οὔτε ὁ συνυπεξούσιος ἀδελφὸς δύναται γαμεῖν τὴν ὀρφανήν.

κε΄. Καὶ ὁ κουράτωρ τῆς γαστρὸς ἢ τῆς οὐσίας ὑπόκειται τῇ κωλύσει. χρεωστεῖ γὰρ ἀποδοῦναι τοὺς λόγους. καὶ ἀδιάφορον, εἴτε πολύν τις διῴκησε χρόνον εἴτε ὀλίγον.

b) Ἐπὶ τῶν θετῶν συγγενῶν φασιν οἱ παλαιοὶ τοὺς ἀνιόντας καὶ κατιόντας πρὸς τοὺς ἀλλήλων γάμους κωλύεσθαι, κἂν ἡ θέσις ἐλύθη δι᾽ αὐτεξουσιότητος· ἐπί τε τῶν ἐκ πλαγίου τῶν θετῶν υἱῶν πρὸς μὲν τὴν πρὸς πατρὸς θείαν κωλύουσι, κἂν αὐτεξούσιος γένηται, πρὸς δὲ τὴν πρὸς μητρὸς κἂν ὑπεξούσιός ἐστιν, οὐ κωλύουσι, τὴν ἀπὸ θηλυγονίας συγγένειαν οὐδὲ εἶναι πρὸς τὴν θέσιν λέγοντες· ἀλλὰ καὶ τὸν πρὸς τοὺς ἀδελφοὺς γάμον, ἡνίκα ἡ θέσις λυθῇ, ἀκώλυτον ἡγοῦνται· ὁμοίως δὲ καὶ τὸν πρὸς τοὺς ἐξ ἀῤῥενογονίας ἀνεψιούς· τὸν γὰρ πρὸς τοὺς ἐκ θηλυγονίας καὶ συνεστώσης τῆς θέσεως οὐ κωλύουσιν. καὶ τὸν μὲν δεσμὸν τῆς θέσεως τὴν ὑπεξουσιότητα νομίζουσι· μετὰ δὲ τὴν αὐτεξουσιότητα ἐξαλείφεσθαι τῆς θετῆς φαμιλίας φασὶ τὴν συγγένειαν. καὶ ταῦτα μὲν ἡ ἀρχαιότης. μήποτε δὲ τῆς νεαρᾶς διαφορὰν ἔχοντας πολλὴν τοὺς ἐξ ἀῤῥενογονίας πρὸς τοὺς ἐκ θηλυγονίας περὶ τὰς κληρονομίας εἰς διάφορον ὁμοιότητα μεθαρμοσάσης δοκεῖ σιωπηρῶς καὶ τὰ τῶν θετῶν διορθωθῆναι, καὶ μήποτε τῆς καθ᾽ ἡμᾶς θέσεως ἐν ἁγίοις ναοῖς καὶ δι᾽ εὐχῶν ὁσίων καὶ χειροθεσίας ἱερέων συνισταμένης ἄλυτος ὁ δεσμὸς διαμένει, καὶ δεῖ καθάπερ ἐπὶ τῆς φυσικῆς συγγενείας καὶ ἐπὶ τῆς θετῆς τοὺς γάμους κωλύεσθαι [4]).

3) A ad hanc vocem in margine habet σχόλιον. Ὁ ἄλλος εἶχε· θείαν μὲν [πρὸς] πατρὸς, ἀλλὰ τὴν πρὸς μητρὸς, καὶ ἐκγόνην ἀλλὰ πρὸ θείου μὲν (l. πρὸς υἱοῦ), κατὰ τοὺς παλαιούς. — Quis fuerit ὁ ἄλλος, dubitari potest: forte Cyrilli Digesta indicantur.

4) Cf. Nov. Leonis 34.

5) Vide Proch. p. 56 not. 41.

κϛʹ. Ἡ ἐν τῷ πενθεῖν τὸν ἄνδρα γεννήσασα ἔτι κωλύεται προσελθεῖν γάμῳ.

κζʹ. Αἱ τῶν πενθουμένων καὶ αἱ τῶν μὴ πενθουμένων ἀνδρῶν γαμεταὶ κωλύονται ἐν τῷ πενθίμῳ καιρῷ γαμεῖσθαι.

κηʹ. Ὁ ἐπὶ μοιχείᾳ γυναικὸς κατηγορηθεὶς οὐ δύναται ταύτην γαμετὴν ἀγαγέσθαι.

κθʹ. Ὁ παρθένον ἢ χήραν ἁρπάσας οὐ δύναται ταύτην γαμεῖν, οὐδὲ συναινοῦντος τοῦ ταύτης πατρὸς καὶ συγχωροῦντος τὸ ἔγκλημα.

λʹ. Ὁ τὴν ἰδίαν συγγάλακτον ἢ ἀναθρεπτὴν ἐλευθερώσας δύναται ταύτην ἀγαγέσθαι πρὸς γάμον.

λαʹ. Ὁ μέντοιγε ἀπὸ τοῦ ἁγίου βαπτίσματός τινα ἀναδεξάμενος οὐ δύναται αὐτὴν ὕστερον ἀγαγέσθαι, ὡς δῆθεν θυγατέρα αὐτοῦ γενομένην, οὐδὲ τὴν αὐτῆς μητέρα ἢ θυγατέρα· ἀλλ᾽ οὐδὲ ὁ υἱὸς αὐτοῦ· ἐπειδὴ οὐδὲν ἄλλο δύναται οὕτως εἰσαγαγεῖν πατρικὴν διάθεσιν καὶ δικαίαν γάμου κώλυσιν ὡς ὁ τοιοῦτος δεσμός.

ΤΙΤΛΟΣ ΟΚΤΩΚΑΙΔΕΚΑΤΟΣ.

Περὶ προικός.

Κεφ. αʹ. Ἡ διατετιμημένη προῒξ τῷ ἀνδρὶ κινδυνεύεται· κἂν ἀποθάνωσι τὰ ζῶα, κἂν ἡ γυνὴ τὴν ἐσθῆτα κατατρίψῃ, τὴν ἀποτίμησιν αὐτῶν δίδωσιν.

βʹ. Τῆς δὲ ἀδιατιμήτου καὶ ἡ αὔξησις καὶ ἡ μείωσις τὴν γυναῖκα ὁρᾷ· καὶ αὐτὴ λαμβάνει τὸν τοκετὸν τῶν δούλων. τοὺς δὲ καρποὺς καὶ τὴν γονὴν τῶν θρεμμάτων ὁ ἀνὴρ λαμβάνει, πρότερον μέντοι πληρῶν τὰ πρωτότυπα καὶ ὑποβάλλων ἀντὶ τῶν τελευτώντων ἐκ τῶν ἐπιγεννωμένων. ἐὰν δὲ πρὸ τοῦ γάμου τελευτήσῃ τινὰ τῶν διατετιμημένων, ἡ γυνὴ ζημιοῦται.

γʹ. Ὁ ἀνὴρ τοὺς καρποὺς τῆς προικὸς λαμβάνει διὰ τὰ βάρη τοῦ γάμου. οἱ μέντοι πρὸ τοῦ γάμου ληφθέντες καρποὶ τῆς προικὸς γίνονται, εἰ μὴ τὸ ἐναντίον συνεφωνήθη.

δʹ. Ὅπου τὰ βάρη τοῦ γάμου, ἐκεῖ καὶ ἡ προῒξ ὀφείλει εἶναι· παραχρῆμα δὲ τοῦ ἀποθανεῖν τὸν πατέρα τῷ υἱῷ ἕπονται, ὥσπερ καὶ οἱ παῖδες καὶ ἡ γυνή.

εʹ. Τῶν γάμων μὴ γενομένων οὐ τὴν διατίμησιν τῶν δοθέντων διατετιμημένων, ἀλλὰ τὰ πράγματα ἡ γυνὴ ἀπολαμβάνει.

ϛ'. Ἐὰν a) αὐτὸ τοῦτο τὸ πρᾶγμα τῆς προικὸς δοῦναι γράψῃ ὁ ἀνὴρ, ἡ γυνὴ ἀναλαμβάνει τὸ πρᾶγμα· εἰ δὲ τὴν διατίμησιν, ἐπιλογὴν ἔχει ὁ ἀνὴρ ἢ τὸ πρᾶγμα ἀποδοῦναι ἢ τὴν δικαίαν διατίμησιν.

ζ'. Ἐὰν ἀνδράποδα διατετιμημένα τῆς προικὸς λάβῃ ὁ ἀνὴρ ἐφ' ᾧ λυομένου τοῦ γάμου ἀποδοῦναι ὑπὸ τὴν αὐτὴν διατίμησιν, αὐτῷ ἐγκινδυνεύεται, καὶ ὁ τοκετὸς αὐτῶν παρ' αὐτῷ μένει.

η'. Μετὰ τὸν γάμον οὐ δύναται χείρονα τὴν αἵρεσιν ὁ πατὴρ ποιῆσαι τῆς προικός· ἐπειδὴ οὔτε καταβάλλεται αὐτῷ ἡ προῖξ ἀκούσης τῆς θυγατρός.

θ'. Ὁ πατὴρ προῖκα ἢ πρὸ γάμου δωρεὰν ὑπὲρ τῶν ἑαυτοῦ παίδων ἐπερωτώμενος δοκεῖ ἐκ τῆς ἰδίας ὑποστάσεως ταύτην ποιεῖσθαι. ὅθεν εἰ πράγματα ἔχει ὁ παῖς ἀπροσπόριστα, μένουσι σῷα, μὴ δυναμένου τοῦ πατρὸς μετὰ ταῦτα λέγειν, ὡς ἐκ τούτων τὴν προῖκα ἢ τὴν προγάμου δωρεὰν ἐποιησάμην. ἐχρῆν γὰρ ἐν τῷ καιρῷ τῆς ἐπερωτήσεως ταῦτα προειπεῖν b).

ι'. Ἐὰν γνώμῃ τῆς αὐτεξουσίας μου θυγατρὸς ἐπιδώσω τὰ δωρηθέντα αὐτῇ παρ' ἐμοῦ, οὐκ ἐγώ, ἀλλ' αὐτὴ δεδωκέναι δοκεῖ.

ια'. Ἐὰν ἐξωτικὸς ἐπαγγειλάμενος προῖκα ἀπορήσῃ, ὁ ἀνὴρ ὡς μὴ ἀπαιτήσας ἐγκινδυνεύει, εἰ μὴ ἄρα κατὰ δωρεὰν ἐπηγγείλατο. τότε γὰρ τοῦ ἀνδρὸς φειδόμεθα, ὡς μὴ καταναγκάσαντος πρὸς καταβολὴν τὸν δωρησάμενον, ἐπειδὴ καὶ οἱ δωρούμενοι μέχρις εὐπορίας καταδικάζονται.

ιβ'. Ὁ πενθερὸς ὑπὸ τοῦ γαμβροῦ καὶ ἡ γυνὴ ὑπὸ τοῦ ἀνδρὸς ἀπαιτούμενοι ἣν ἐπηρωτήθησαν προῖκα, πρὸς τὸ μέτρον τῆς οὐσίας αὐτῶν καταδικάζονται.

a) Τοῦτο τὸ κεφάλαιον ἔνθα εἰς τὸ πλάτος κεῖται οὕτως ἔχει 1)· ἐὰν εἰς αὐτὸ τὸ δοῦναι περιγραφῇ γυνή, ἀναλαμβάνει τὸ πρᾶγμα· εἰ δὲ περὶ διατίμησιν, ἐπιλογὴν ἔχει ὁ ἀνὴρ ἢ τὸ πρᾶγμα ἀποδοῦναι ἢ τὴν δικαίαν ἀποτίμησιν. εἰ δὲ δοῦλος ὢν ἴσως ἐτελεύτησεν, μόνον τὸ συμφωνηθὲν δίδωσιν.

b) Περὶ τούτου ὁ κῶδιξ τοῦτο φησίν, ὅτι, κἂν ἔχωσιν οἱ παῖδες ἴδια πράγματα εἴτε ἐκ μητρῴας κληρονομίας εἴτε ἐξ ἑτέρας αἰτίας αὐτοῖς προσγεγονότα, ἐφ' οἷς ὁ πατὴρ ἐξουσίαν οὐκ ἔχει, ὅμως ἐν τῷ ἐπιδιδόναι αὐτὸν τὴν προῖκα ἢ τὴν προγάμου δωρεὰν ὑπὲρ τῶν παίδων εἰ μὴ προδιορίσηται, πόθεν αὐτὴν ἐπιδίδωσιν, αὐτὸς οἴκοθεν ἀπαιτεῖται· εἰ δὲ προδιοριζόμενος εἴπῃ ἐκ τῶν ἐμῶν καὶ ἐκ τῶν τοῦ παιδός, τότε εἰ μὲν ἄπορός ἐστι παντελῶς ἐκ τῶν πραγμάτων τοῦ παιδὸς δίδοται τὸ πᾶν, εἰ δὲ εὐπόρως ἔχει ὁ πατὴρ καὶ οὕτως ἀπαιτεῖται τὸ ὅλον· ἐχρῆν γὰρ αὐτόν, φησιν, τῆς μὲν ἰδίας ἐπιδόσεως φανερῶσαι τὸ ποσὸν καὶ οὕτως τῷ παιδὶ συναινέσαι βουλομένῳ ἐκ τῶν ἰδίων ὁποσονοῦν μέρος ἐπιδοῦναι.

1) Verba: τοῦτο — ἔχει in C absunt. A post ἔχει inscribit σχόλιον.

ιγ΄. Ὁ ἀνὴρ καὶ ἄπορος ὢν πᾶσαν τὴν προῖκα χρεωστεῖ.

ιδ΄. Ἐὰν ὁμολογήσῃ τὶς εἴσω ἐνιαυτοῦ διδόναι προῖκα, ὁ ἐνιαυτὸς οὐκ ἀπὸ τῆς ἡμέρας τῆς ἐπερωτήσεως, ἀλλὰ τῶν γάμων ἀριθμεῖται.

ιε΄. Ὁ ἀνὴρ ἐπιτρέπων ἑτέρῳ τινὶ δοθῆναι τὴν προῖκα, αὐτὸς πιστεύεται αὐτὴν εἰληφέναι.

ις΄. Ὁ [c]) ἐπερωτηθεὶς τῷ γαμβρῷ αὐτοῦ προῖκα καὶ πρὸ τοῦ ἐπιδοῦναι αὐτὴν ληγάτον εἶναι ταύτην τῇ θυγατρὶ αὐτοῦ διαθέμενος, οὐ ποιεῖ τοῖς δυσὶν ἔνοχον τὸν ἴδιον κληρονόμον, ἀλλ᾽ εἷς μόνος ἀπαιτεῖ, ὃς ἐὰν συναρέσει αὐτοῖς.

ιζ΄. Τὰ ἐκ τῶν προικιμαίων χρημάτων ἀγορασθέντα προικιμαῖά εἰσιν [d]).

ιη΄. Συνεστῶτος τοῦ γάμου [e]) δύναται ἡ προῖξ ὑπὸ τῆς γυναικὸς κενοῦσθαι ἐκ τούτων τῶν αἰτιῶν· οἷον ἵνα ἑαυτὴν καὶ τὸν ἄνδρα καὶ τοὺς ἰδίους παῖδας θρέψῃ, ἵνα ἀγρὸν ἐπιτήδειον ἀγοράσῃ, ἵνα τὸν ἐξόριστον πατέρα θρέψῃ, ἵνα τοὺς ἀδελφοὺς πενομένους ἐλεήσῃ. ταῦτα δὲ κρίσει τοῦ ἐπάρχου ἢ τοῦ κοιαίστωρος ἢ τῶν ἀρχόντων ἢ τῶν ἐπισκόπων [f]) γινέσθω.

c) Τοῦτο τὸ κεφάλαιον ἐν τῷ πλάτει [2]) οὕτως ἔχει· ἐὰν ὁ πατὴρ ὁμολογήσας προῖκα λεγατεύσῃ προῖκα, εἰ μὲν τῷ γαμβρῷ, ἀνίσχυρον τὸ λεγάτον· οὐ γὰρ ἐῤῥωμένως τις λεγατεύει τῷ δανειστῇ αὐτοῦ, ὅπερ αὐτῷ χρεωστεῖ· εἰ δὲ τῇ θυγατρὶ, ἔῤῥωται. ἡ μὲν γὰρ προῖξ τῷ ἀνδρὶ ἀπὸ τῆς ἐπερωτήσεως, τὸ δὲ λεγάτον τῇ θυγατρὶ κεχρεώστηται. καὶ λαμβάνει ἑκάτερον ἡ θυγάτηρ, ἐὰν δείξῃ [3]) τοῦτο βουληθῆναι τὸν πατέρα· εἰ δὲ τὸ ἓν ἠθέλησε δοθῆναι, εἰ μὲν θυγάτηρ ἀπαιτεῖ τὸ λεγάτον, οὐ λαμβάνει, εἰ μὴ ἀσφαλίσηται δεφενδεύειν τὸν κληρονόμον πρὸς τὸν ἄνδρα· εἰ δὲ ὁ ἀνὴρ κινεῖ, χωρὶς δεφενσίωνος λαμβάνει, καὶ μετ᾽ αὐτὸν ἡ θυγάτηρ ἐνάγουσα ἐκβάλλεται παραγραφῇ.

d) Δοκεῖ πως τοῦτο ἐναντίον τῷ ἐν τῷ ε βι. τοῦ κώδ. ὑπὸ θαλελαίου [4]) λεγομένῳ, ὅτι τὸ ἐκ τῶν προικιμαίων νομισμάτων ἀγοραζόμενον οὐκ ἔστι τῆς δεσποτείας τῆς γυναικός. καὶ φασιν [5]), ὅτι τοῦτο μὲν, ἡνίκα ὁ ἀνὴρ εὐπορῇ· χρεωστῶν γὰρ τὰ νομίσματα δίδωσιν αὐτὰ καὶ οὐ τὸ ἐκ τούτων ἀγορασθέν· τὸ δὲ ἕτερον, ἡνίκα παντελῶς ἀπορήσῃ [6]) ὁ ἀνὴρ, θεματίζεται· μὴ γὰρ εὐπορῶν ἀναδοῦναι τὰ χρήματα, ὑπὸ τὴν τῆς γυναικὸς δεσποτείαν [7]) ὅσα ἐξ αὐτῶν ἠγοράσθη καταλιμπάνει.

e) Ἐν τῷ πλάτει καὶ τῷ ἄλλῳ πρόκειται· τῇ μὴ ἀπολυούσῃ γυναικὶ δύναται ἡ προῖξ καταβάλλεσθαι.

f) Τὸ τῶν ἀρχόντων καὶ τῶν ἐπισκόπων μὴ κείμενον ὡς ἑπόμενον προσετέθη [8]).

2) Hic locus in Basilicis XLIV, 7 restituendus est.
3) D: δόξῃ.
4) Cf. Cod. V, 12, 12. in Basil. XXIX, 1, 99.
5) D: φησίν. Forte excidit στέφανος. Cf. Schol. h. ad Basil. l. l. cap. 50.
6) D: ἀπορήσει.
7) D: ἐξουσίαν.
8) C hoc scholium non habet.

ιθ′. Τὸ λεγόμενον, ὅτι τὰ ἀναγκαῖα δαπανήματα τῷ αὐτῷ δικαίῳ μειοῖ τὴν προῖκα, τοῦτο δηλοῖ, ὥστε τὸν ἄνδρα παρακρατεῖν τὸν ἀγρὸν ἢ μέρος αὐτοῦ, ἕως οὗ λάβῃ τὴν δαπάνην. εἰ δὲ κατὰ μέρος εἰς τὸν ἀγρὸν ἐδαπανήθη ὅσου ἦν ἄξιος, παύεται εἶναι προικιμαῖος, εἰ μὴ ἐντὸς ἐνιαυτοῦ παράσχῃ τὰς δαπάνας. εἰ δὲ ἦσαν σὺν τῷ ἀγρῷ καὶ χρήματα ἐν προικὶ, τὰ χρήματα μειοῦται. καταβαλλούσης δὲ τῆς γυναικὸς τὰς δαπάνας, ὑποστρέφει ὁ ἀγρὸς εἰς τὴν προῖκα. ἐν τῷ μεταξὺ δὲ κεκώλυται ἡ ἐκποίησις αὐτοῦ.

κ′. Εἰ καὶ ἐν τῇ ἐξουσίᾳ τοῦ ἀνδρός ἐστιν ἡ προῖξ, ὅμως τῆς γυναικός ἐστιν. ὅθεν ἐκδικουμένου προικιμαίου ἀγροῦ ἡ γυνὴ κινεῖ περὶ ἐκνικήσεως· αὐτῇ γὰρ διαφέρει. ἐὰν γὰρ μὴ ἐκνικήσῃ, παύεται αὐτὸν ἔχειν ἐν προικί. ἐν ὅσῳ δὲ παρὰ τῷ ἀνδρί ἐστιν ἡ γυνὴ, τὸ κέρδος αὐτοῦ ἔχει ὁ ἀνὴρ καὶ τὰ βάρη.

κα′. Ἐὰν γυνὴ κατ᾽ ἀψιμαχίαν λαβοῦσα τοὺς παῖδας ὑπαναχωρήσῃ τοῦ ἀνδρὸς, ὁ δὲ ὥσπερ ἀγοράζων τὴν φιλίαν αὐτῆς συμφωνήσῃ μὴ ἀπαιτῆσαι τὴν προῖκα εἴγε πρὸς αὐτὸν ὑποστρέψοι, οὐκ ἔῤῥωται τὸ σύμφωνον.

κβ′. Ἐάν τις συμφωνήσῃ πρὸς τὸν πενθερὸν, ἵνα, ἐὰν συμβῇ αὐτὸν ἐν τῷ γάμῳ τελευτῆσαι παίδων ὑπόντων, τὸ ἥμισυ τῆς προικὸς μόνον ἀποδοθῇ, ἄχρηστόν ἐστι τὸ σύμφωνον.

κγ′. Ἐὰν ὁ ἀνὴρ συμφωνήσῃ πρὸς τὴν γυναῖκα, ἵνα τελευτῶσαν αὐτὴν κληρονομήσῃ, τὸ σύμφωνον τοῦτο ἄχρηστόν ἐστιν. οὐδὲ γὰρ δυνατὸν διὰ συμφώνου τυποῦσθαι τὰ περὶ τῆς ἡμετέρας κληρονομίας. ἐξωτικὸς γὰρ ἄνθρωπος διαθήκης χωρὶς ἕτερον οὐ δύναται κληρονομῆσαι· ἡ γὰρ κληρονομία τοῖς ἐξωτικοῖς ἐν διαθήκῃ δίδοται.

κδ′. Ἐὰν γένηται σύμφωνον, ἵνα προτελευτώσης τῆς γυναικὸς ἡ προῖξ ἀπομείνῃ παρὰ τῷ ἀνδρὶ, ἐὰν παρὰ τοῦ πατρὸς δεδομένη ἐστὶν ἡ προῖξ, ἔῤῥωται τὸ σύμφωνον καὶ ἀποκλείεται ὁ πατήρ. δυνατὸν γὰρ βλάπτεσθαι ἀπὸ συμφώνων τὴν προῖκα, ὅτε μόνος ὁ πατὴρ ἤτοι ὁ ταύτην οἴκοθεν ἐπιδιδοὺς [g]) μέλλει περὶ αὐτῆς ἐνάγειν.

κε′. Ἐὰν συμφωνηθῇ ἐξ ἀπαιδίας τὸν ἄνδρα κερδᾶναι τὴν προῖκα, καὶ ναυαγήσῃ ἡ γυνὴ μετὰ ἐνιαυσιαίου παιδίου, δοκεῖ προτελευτᾶν τῆς μητρὸς ὁ παῖς, καὶ κερδαίνει ὁ ἀνήρ [9]).

g) Τοῦτο διὰ τὸ σαφέστερον προσεθήκαμεν.

9) Totum hoc caput in A deest. Sed C habet, ejusque auctoritatem tuetur etiam D.

κϛʹ. [h]) Τῆς προικὸς μὴ ἐπιδοθείσης ἐν συνεστῶτι τῷ γάμῳ, εἰ μὲν πρὸ τριετίας τελευτήσει ὁ ἀνὴρ, οὐδεμίαν μέμψιν ἔσχε μὴ ἐπιζητήσας τὴν προῖκα· εἰ δὲ ἐπέζησεν ἐν τῷ γάμῳ ἐνήλικος ὤν, ἕως δεκαετίας αὐτὸς ὑπόκειται ἐκ τῶν ἰδίων καὶ ὅθεν δύναται πληροῦν τῇ γυναικὶ τὴν προῖκα· εἰ δὲ ἀνήλικος ᾖ ἐν συνεστῶτι τῷ γάμῳ, μετὰ τὴν ἐνηλικιότητα ἐχέτω δεκαετίαν, καὶ εἰ μηδὲ τότε ἀπαιτήσῃ τὴν προῖκα, πάλιν αὐτὸς ὑποκείσθω τῇ γυναικί. εἰ δὲ μήτε κατὰ τὴν δεκαετίαν ὁ ἐν ὅλῃ τῇ συστάσει τοῦ γάμου ἀνήλικος ὤν, μήτε μετὰ τὴν ἐνηλικιότητα καὶ τὴν προσθήκην τῆς δεκαετίας μηδὲν ἀπαιτήσας, τελευτήσει, πρὸς τοὺς κληρονόμους αὐτοῦ ἔστω ἡ ζημία. ἐλλιποῦς δὲ τοῦ χρόνου ὄντος, εἴτε ἀπὸ τῆς ἀρχῆς τοῦ γάμου ἐνηλίκου ὄντος εἴτε τοῦ ἀπὸ τῆς ἀνηλικιότητος προκόψαντος εἰς τὸν ἐνήλικον χρόνον, συμπληρούσθωσαν μετὰ θάνατον αὐτοῦ οἱ εἰρημένοι χρόνοι, καὶ τότε οἱ κληρονόμοι αὐτοῦ, εἰ μὲν ἐνήλικοί εἰσι, τριμήνου διάσκεψιν λαμβάνοντες καταβαλλέτωσαν τῇ γυναικὶ τὴν προῖκα· εἰ δὲ ἀνήλικοι ὑπάρχωσι, τελειούμενοι καὶ αὐτοὶ κατὰ τὴν ἡλικίαν ἐχέτωσαν πρὸς διάσκεψιν διετίας χρόνον, καὶ εἶθ' οὕτως χρεῶσται καὶ ὑποκείμενοι διδόναι τὴν προῖκα τῇ γυναικὶ καταλογιζέσθωσαν [i]). [11])

h) Ἐὰν ἐνεγράφη μὲν ἐν τῷ προικῴῳ συμβολαίῳ ποσότης προικὸς, μὴ ἐπεδόθη δὲ, ἔξεστι καὶ τῷ ἀνδρὶ καὶ τοῖς κληρονόμοις αὐτοῦ καὶ τῷ τοῦ ἀνδρὸς πατρὶ, εἰ συνυπεδέξατο τὴν προῖκα, καὶ τοῖς κληρονόμοις αὐτοῦ καὶ ἁπλῶς παντὶ προσώπῳ τὴν προῖκα αἰτουμένῳ ἀντιτιθέναι τῇ γυναικὶ καὶ τοῖς αὐτῆς κληρονόμοις ἀναργυρίαν εἴσω ἐνιαυτοῦ ἀριθμουμένου συναπτῶς μετὰ τὴν λύσιν τοῦ γάμου [10]).

i) Περὶ τῆς ἐπὶ τῆς προικὸς λεγομένης ἀναργυρίας ἑτέρως ἡ ρ̅ νεαρὰ διαλαμβάνει, κελεύουσα, εἰ μὲν εἴσω διετίας ὁ γάμος διαλυθείη ἢ θανάτῳ ἢ ῥεπουδίῳ ἢ τῇ ἐν ζωῇ διαλύσει, ἔχειν καὶ τὸν ἄνδρα καὶ τοὺς αὐτοῦ κληρονόμους τέλειον ἐνιαυτὸν ἀριθμούμενον συναπτῶς ἀπὸ τῆς τοῦ γάμου λύσεως εἰς τὸ μέμψασθαι τοῖς ὑποσχομένοις τὴν προῖκα, ὅτι οὐκ ἐπέδωκαν αὐτήν· εἰ δὲ ὑπερβὰς τὴν διετίαν ὁ γάμος μέχρι δεκαετίας διαλυθῇ, τότε καὶ ὁ ἀνὴρ καὶ οἱ κληρονόμοι αὐτοῦ τρίμηνον ἀριθμούμενον μετὰ τὴν λύσιν τοῦ γάμου λαμβάνουσιν· εἰ δὲ ὑπερβῇ ἡ δεκαετία, οὔτε ὁ ἀνὴρ οὔτε οἱ κληρονόμοι αὐτοῦ ἕτερόν τινα χρόνον λαμβάνουσιν. μέμψιν δέ φησιν οὐ τὴν ἁπλῶς καὶ ὡς ἔτυχεν γινομένην, ἀλλὰ τὴν ἐγγράφως ἐπὶ μαρτύρων στελλομένην ἢ ἐν δικαστηρίῳ γινομένην ἔγκλησιν. καὶ ταῦτα μὲν, εἴγε καὶ ὁ ἀνὴρ τέλειός ἐστιν καὶ οἱ αὐτοῦ κληρονόμοι. εἰ γὰρ εἴτε ὁ ἀνήρ ἐστιν ἀφῆλιξ, μέχρι τοῦ κζʹ δύναται μόνον σιωπήσας κινεῖν, ὃν ὑπερβὰς ἐφ' ὅλον σεσιγηκὼς μετὰ τῶν αὐτοῦ κληρονόμων ἀποκλείεται· εἴτε οἱ κληρονόμοι τοῦ ἀνδρός εἰσιν ἀφήλικες, ἡνίκα ἢ τὸν ἐνιαυτὸν ἢ τὸ τρίμηνον λαμβάνουσιν, ὅσου ἂν εἰσὶ χρόνου ὀλίγου, πενταετίαν ἔχουσι μόνην. εἴσω δὲ τοῦ κζʹ ἐνιαυτοῦ τελευτῶντος τοῦ ἀφήλικος

10) Est Cod. V, 15, 3: locus desumtus ex Prochiro tit. IX §. 11.

11) Hoc caput reperitur apud Harmenop. II, 2, 6.

κζ'. Εἰ μὲν ὁ ἀνὴρ παρὰ γνώμην τῆς ἰδίας γυναικὸς ὑπόϑηται τὰ πράγματα αὐτῆς, οὐκ ἔῤῥωται ἡ ὑποϑήκη. ἐὰν δὲ συναινούσης αὐτῆς ὑπόϑηται, πάλιν ἐμποδίζει τὸ δόγμα. ἐὰν δὲ ὁ ἀνὴρ ὡς ἴδια τὰ τῆς γυναικὸς ὑποτίϑοιτο, ἀγνοεῖ δὲ ὁ συναλλάσσων τὸ δρᾶμα, ἡ δὲ γυνὴ συνειδυῖα καὶ καϑορῶσα τὸν ἄνδρα ὡς ἴδια τάγε αὐτῆς ὑποτιϑέμενον ἐσιώπησεν ἐπίτηδες, βουλομένη ζημιῶσαι τὸν συναλλάσσοντα, τότε οὐ βοηϑεῖται. ταῖς γὰρ ἀπατωμέναις γυναιξὶ βοηϑεῖ τὸ δόγμα, οὐ ταῖς πανούργοις.

κη'. Ἐὰν διὰ τὴν τοῦ ἀνδρὸς ἐνοχὴν παρενέβαλεν ἑαυτὴν ἡ γυνὴ ἐν τῷ δεσμῷ τοῦ ἀλλοτρίου συναλλάγματος καὶ διὰ τῆς ἰδίας

ἀνδρὸς καὶ κατὰ μηδὲν μεμψαμένου, τέλειον ἐνιαυτὸν οἱ αὐτοῦ κληρονόμοι λαμβάνουσι τέλειοι ὄντες· εἰ δὲ καὶ αὐτοὶ ὦσιν ἀτελεῖς πάνυ [12]), πάλιν τὴν πενταετίαν κἀνταῦϑα. ἐν κεφαλαίῳ οὖν ἔστιν εἰπεῖν, ὅτι διετίας εἴσω τοῦ γάμου διαλυϑέντος καὶ τοῦ ἀνδρὸς σεσιγηκότος καὶ μηδὲ μεμψαμένου κατὰ τὸν χρόνον τῆς διετίας καὶ λαμβάνοντος μετὰ τὴν λύσιν τὸν ἐνιαυτὸν καὶ μηδὲ κατὰ τοῦτον ἐνάγοντος, ἢ τοῦ γάμου μέχρι δεκαετίας λυομένου καὶ κατὰ πάντα τοῦτον τὸν χρόνον σιγῶντος τοῦ ἀνδρὸς ἢ καὶ ἐν τῷ τριμήνῳ αὐτοῦ τε καὶ τῶν αὐτοῦ κληρονόμων οὐ μεμφομένων καὶ ἁπλῶς καὶ ἐπὶ τοῖς προστεϑειμένοις διὰ τὴν ἀνηλικιότητα αὐτῶν, καϑάπερ εἴρηται, χρόνοις οὔτε ἐγγράφως μεμψαμένων καὶ προφωνησάντων τοῖς ὑποσχομένοις τὴν προῖκα, ὅτι οὐκ ἐπέδωκαν αὐτὴν αὐτοῖς, οὔτε μὴν ἐν δικαστηρίῳ ἐναγωγὴν ποιησαμένων· οὔτε ὁ ἀνὴρ μετὰ ταῦτα οὔτε οἱ κληρονόμοι αὐτοῦ δύνανται τὴν οἱανοῦν κίνησιν ποιεῖσϑαι κατὰ τῶν χρεωστούντων τὴν προῖκα, ἀλλ' αὐτοὶ ὡς εἰληφότες αὐτὴν χρεωστοῦσι τῇ γυναικὶ καὶ ταύτην ἀναδιδόασιν. καὶ ταῦτα οὐχ ὡς δοκεῖ τοῖς πολλοῖς ἁπλῶς καὶ ἀεὶ καὶ ἀπροσδιορίστως, ἀλλ' ὡς ὑπεμφαίνει ἡ νεαρά, ἢ περιόντος τοῦ ὑποσχομένου καὶ φάσκοντος ἐπιδεδωκέναι, ἢ τελευτήσαντος καὶ ἀδήλου ὄντος, εἴτε ἔδωκεν εἴτε οὐκ ἔδωκεν, τὰ εἰρημένα τρακταΐζεται· τότε γὰρ ἡ χρονία σιγὴ τοῦ ἀνδρὸς τῶν ὑποσχομένων αὐτῷ τὴν προῖκα τὴν εὐπορίαν τῶν ἀποδείξεων, ὥς φησιν ἡ νεαρά, διαχέουσα ὑπεύϑυνον αὐτὸν καὶ τὸ αὐτοῦ μέρος τῇ γυναικὶ ἀπεργάζεται. εἰ γὰρ ἄλλως ὁμολογούμενον εἴη, τυχὸν αὐτοῦ τοῦ ὑποσχομένου ὁμολογοῦντος, ὅτι οὐδέπω τὴν προῖκα ἀπέδωκα, πῶς ἂν εἴη δίκαιον, ὥς τινές φασιν, μὴ τὸν ὑποσχόμενον καὶ ταῦτα εὐποροῦντα, κἂν ὁπόσος ἂν ῥυῇ χρόνος, ἀπαιτηϑῆναι τὴν προῖκα, ἀλλὰ τὸν μηδὲν λαβόντα ἄνδρα, εἰ τυχὸν δι' ἐπιείκειαν καὶ τὴν περὶ τοὺς γονεῖς εὐλάβειαν ἐσιώπησεν, ταύτην εἰσπράττεσϑαι; εἰ μέντοι ἐν τῷ μεταξὺ ὁ ὑποσχόμενος ἀπορήσειεν, ἔστιν ἕτερος νόμος περὶ τούτου. ἐπὶ τούτοις ζητεῖται, εἰ καταδικαζόμενος ὁ ἀνὴρ δοῦναι τὴν προῖκα καὶ προγάμου δωρεὰν ἀναγκασϑείη δοῦναι [13]). ἔστι τὸ μὲν ἐνταῦϑα κεφάλαιον ἐκ τῆς αὐτῆς νεαρᾶς εἴς τινα παραλλάττον, τὸ δὲ ἄλλο τοῦ δ̄ βι. τοῦ κώδ. ὃ παντελῶς ἀνῃρέϑη. κατὰ γὰρ τὸν κώδικα, ὅσος ἂν παρέδραμεν χρόνος ἐν συνεστῶτι τῷ γάμῳ, πάλιν μετὰ τὴν λύσιν ἕτερος ἐδίδοτο ἐνιαυτός. ταῦτα οὖν καινίζουσα ἡ νεαρὰ τὴν εἰρημένην τῶν χρόνων ποσότητα καὶ διαίρεσιν ἐποιήσατο καὶ συνέταξεν *).

12) D: πάντες.
13) D addit: ἣν καὶ παράσχῃ τῇ γυναικί.

*) Paris 1367 subjicit: βι. με' τί. α' κεφ. λδ'. Ὁσάκις μήτηρ — πραγμάτων δεσποτείας.

ὑποστάσεως τοῦτον ἀπαλλάξαι τῆς ἐνοχῆς ἐμελέτησεν, εἰ μὲν ὑποσχομένη μὴ κατέβαλεν, οὐδὲ καταβαλεῖν ἔτι ἀπαιτηθήσεται· εἰ δὲ κατέβαλεν, διεκδικεῖν τὸ καταβληθὲν οὐ δύναται, δηλονότι τῶν ἐντελῶν οὖσα.

κθ'. Εἴ τις γυνὴ ἐν δανειακῷ γραμματείῳ συναινέσῃ τῷ ἰδίῳ ἀνδρὶ ἢ ὑπογράψῃ καὶ τὴν οἰκείαν περιουσίαν ἢ καὶ αὐτὴν ἐνοχοποιήσει, κελεύομεν, μηδὲν τοιοῦτον ἰσχύειν ἢ κρατεῖν, εἴτε ἅπαξ εἴτε πολλάκις τοιοῦτον ὑπὲρ τοῦ αὐτοῦ πράγματος γένηται, εἴτε ἰδικὸν εἴτε δημόσιον εἴη τὸ χρέος. ἀλλ' οὕτως εἶναι, ὡσανεὶ μηδὲ γεγραμμένον ἦν, εἰ μὴ φανερῶς ἀποδειχθῇ, ὅτι τὰ χρήματα εἰς ἰδίας αὐτῆς τῆς γυναικὸς χρείας ἐδανείσθη.

λ'. Δύο προικῴων ὑπό τινος χρεωστουμένων, τὰ μὲν ἐξ αὐτῶν φαινόμενα πράγματα ἐκδικεῖται ὑπὸ τῶν τεχθέντων ἐκ τοῦ αὐτοῦ γάμου· εἰς δὲ τὰ μὴ φαινόμενα ἔχει προγενεστίαν ἡ πρώτη προῖξ ἀπαιτουμένη ὑπό τε τῆς γυναικὸς καὶ ὑπὸ τῶν κατιόντων αὐτῆς ἑκατέρας φύσεως.

λα'. Παντὸς χρέους, δημοσίου μὲν τοῦ μεταγενεστέρου μόνον, ἰδιωτικοῦ δὲ καὶ τοῦ προγενεστέρου καὶ τοῦ μεταγενεστέρου, καὶ πάσης ὑποσχέσεως καὶ ἐνοχῆς τὴν γυναῖκα ζητοῦσαν τὴν προῖκα ἰσχυροτέραν εἶναι νομίζομεν. καὶ εἰ συμβῇ τὰ τοῦ ἀνδρὸς ἀπό τινος ὀργῆς βασιλικῆς, ὡς πολλάκις συμβαίνει, ἢ τῷ τῆς καθοσιώσεως ἁμαρτήματι διαταραχθῆναι καὶ διαφθαρῆναι, τῇ γυναικὶ τὴν προῖκα δοθῆναι κελεύομεν, καὶ εἶθ' οὕτως τὰ λοιπά, ὡς τῷ δημοσίῳ ἔξεστι, διοικηθήτω.

λβ'. Γυνὴ ἐγγύας διδοῦσα ὑπὲρ χρηματικῆς δίκης οὔτε εὐθύνεται οὔτε ἐνέχεται [14]).

ΤΙΤΛΟΣ ΕΝΝΕΑΚΑΙΔΕΚΑΤΟΣ.

Περὶ πρὸ γάμου ἢ διὰ γάμου δωρεᾶς.

Κεφ. α'. Τὰ [a]) ἐπὶ βλάβῃ τοῦ κοινοῦ ἀεὶ κωλύοντες καὶ τὴν ὠφέλειαν μᾶλλον καὶ συμφέρουσαν διοίκησιν ἐν πάσαις ἐπε-

a) Ὁ μὲν κῶδιξ [1]), καὶ ἡ κβ' νεαρὰ τούτῳ συνᾴδουσά φησι, μὴ κωλύεσθαι μὲν τὰς ἀνίσους ἐπιδόσεις, κωλύεσθαι δὲ τὰ ἄνισα τῶν κερδῶν σύμφωνα· ἐπι-

14) Haec § ab hoc loco aliena et a librario perperam aliunde intrusa esse videtur.

1) Cod. V, 14, 9. 10.

ρωτήσεσιν εἰσάγοντες, θεσπίζομεν, κατὰ μηδεμίαν ὑπεροχὴν τὴν προγαμαίαν δωρεὰν τῆς προικὸς ἔτι καταβάλλεσθαι. εἰ δέ τις ἐν ἴσῳ τῇ προικὶ τὴν προγαμιαίαν δωρεὰν συμφωνήσῃ καὶ καταβάληται, εἴτε δὴ καὶ ἐν ὑπεροχῇ ταύτης μᾶλλον τὴν προῖκα ὁρίσηται, οὐκ ἀπαγορεύομεν· μόνον δὲ τὸ ὑπερέχειν τὴν προγαμιαίαν δωρεὰν τῆς προικὸς ἀναγκαίως ἀναιροῦμεν.

β΄. Εἰ συναφθείέν τινες ἐπὶ προικὶ καὶ προγαμιαίᾳ δωρεᾷ, εἶτα ὁ μὲν ἀνὴρ προγαμιαίαν ὑπόσχοιτο δωρεὰν, ἡ δὲ γυνὴ προῖκα, ἢ αὐτὴ ὑποσχομένη ἢ ὁ ταύτης πατὴρ ἤ τις τῶν ἔξωθεν· εἶτα φανείη παρ' ὅλον τὸν τοῦ γάμου καιρὸν ἡ προῖξ μὴ δοθεῖσα τῷ συνοικήσαντι, ἀλλὰ ἠνέσχετο ἐκεῖνος τῶν τοῦ γάμου βαρῶν, καὶ ὁ γάμος θανάτῳ τοῦ ἀνδρὸς διαλυθείη· οὐκ ἂν εἴη δικαία παντελῶς ἡ γυνὴ προῖκα μὴ δοῦσα τῷ συνοικήσαντι προγαμιαίαν λαβεῖν δωρεάν. εἰ δὲ δοίη μὲν, οὐκ εἰς ὁλόκληρον δὲ, καὶ αὐτὴ κατὰ τοσοῦτον ἀπαιτείτω τὴν δωρεὰν, καθ' ὅσον ἂν δοίη προῖκα. ἰσότητος γὰρ ἐσμὲν καὶ δικαιοσύνης ἐρασταὶ, καὶ ταύτην ἐν πᾶσί τε τοῖς ἄλλοις καὶ πρός γε τοῖς συνοικεσίοις βουλόμεθα κρατεῖν, ὥστε ἡ μηδ' ὁτιοῦν δοῦσα μηδ' ὁτιοῦν λαμβανέτω. εἰ δὲ ἡ μὲν δοῦναι βουληθῇ τὴν προῖκα ἢ ὁ ὑπὲρ ταύτης παρεχόμενος αὐτὴν ἢ ὅστις ποτ' ἂν εἴη ἢ τῶν ἐγγύθεν ἢ τῶν ἔξωθεν, ὁ δὲ ἀνὴρ ἢ ὁ τούτου πατὴρ τυχὸν ἢ ὁ πάππος ὑποδέξασθαι αὐτὴν μὴ βουληθῇ, τὸ δὲ τῆς γυναικὸς ἐκμαρτύρηται μέρος καὶ ἑτοίμως ἔχει αὐτὴν καταβαλεῖν, ἢ καὶ τι μεῖζον πράξειε καὶ προσαγάγοι τυχὸν, καὶ εἴγε κινητὴ καθεστήκοι, καὶ σφραγῖδας ἐπιθείη καὶ κατὰ τὸν νόμον ἀπόθοιτο, ἢ καὶ κατὰ μίαν μοῖραν εἰσβαλὸν εἰς δικαστήριον ἀξιοῖ ταῦτα γενέσθαι, καὶ διαβάντες ἐκ τοῦ δικαστηρίου τινὲς ἀπήγγειλαν ταῦτα πρὸς τὸ τοῦ ἀνδρὸς μέρος, ἐπιμείνοι δὲ καὶ οὕτως ἀναβαλλόμενος, οὐ δύναται διαλυθέντος τοῦ γάμου τῆς προγαμιαίας δωρεᾶς τὴν ἔκτισιν ἐκκλίνειν ὡς δὴ προικὸς οὐκ ἐπιδοθείσης· ο γὰρ δοῦναι βουληθεὶς, κἂν ὁ λαβεῖν ἀξιούμενος παραιτεῖται, παραπλήσιός ἐστι τῷ δεδωκότι.

δόσεως μὲν [ἀνίσου] οὔσης αὐτῆς τῆς ἐπαγγελλομένης καὶ καταβαλλομένης τῆς τε προικὸς καὶ προγαμιαίας δωρεᾶς ποσότητος, (αὕτη γὰρ κἂν ἄνισος ἦν, οὐκ ἐκωλύετο ἄν·) ἴσων[2]) δὲ τῶν συμφώνων τῶν κερδῶν ὄντων, ἅπερ συνεφώνουν θατέρου τελευτῶντος τὸν περιόντα ἐξ ἀπαιδίας κερδαίνειν, τουτέστι τρίτον καὶ τρίτον, ἢ τέταρτον καὶ τέταρτον· ταῦτα γὰρ συμφωνεῖσθαι ἀνίσως ἐκωλύετο. εἰ δὲ καὶ ἀνίσως συνεφωνήθη, τῷ ἐλάττονι ἐξισούμενον τὸ πλέον καὶ πρὸς αὐτὸ κατασπώμενον ἐκυροῦτο. ἡ μέντοι ϟζ΄ νεαρὰ οὐκ ἄλλως ἴσα εἶναι τὰ κέρδη, εἰ μὴ καὶ αὐταὶ αἱ ἐπιδόσεις ἐξ ἴσου καταβληθεῖεν, προοιμιασαμένη, ἐκέλευσεν ἴσην ἐκ παντὸς εἶναι τῆς προικὸς καὶ τῆς προ γάμου δωρεᾶς τὴν ποσότητα.

2) A: ἐκωλύετο· ἀνίσων.

γ΄. Θεσπίζομεν, εἴ τις συγγράψειε προγαμιαίαν δωρεὰν ἤγουν τὴν διὰ γάμον, οὕτω γὰρ αὐτὴν μᾶλλον καλεῖσθαι νενομοθετήκαμεν, εἴτε αὐτὸς ὑπὲρ αὐτοῦ τοῦτο ποιῶν εἴτε καὶ ἑτέρου γράφοντος ἢ πατρὸς ἢ μητρὸς ἢ συγγενῶν ἢ καὶ ξένων τυχόν· εἴ τις τοιοῦτο ποιήσειε καὶ γράψειε δωρεάν, ἐν ᾗ καί τι τῶν ἀκινήτων ἐστίν, ἀπαγορεύομεν αὐτῷ ἢ ὑποτίθεσθαι τὸ λοιπὸν τὸ πρᾶγμα τὸ καταγεγραμμένον εἰς προγαμιαίαν δωρεὰν ἢ ἐκποιεῖν ὅλως· τὸ γὰρ ἅπαξ τοῖς δεσμοῖς τῆς προγαμιαίας δωρεᾶς ἔνοχον γενόμενον οὐκ ἂν εἴη προσῆκον ἐκποιεῖσθαι. ἴστω οὖν ὁ τῶν εἰρημένων τὶ παραδεχόμενος, ὡς εἴτε ὑποθήκην ἔχοι ἢ ἄλλῳ τρόπῳ νομίζει αὐτοῦ τὸ κῦρος λαβεῖν, οὐδὲν τούτων ὄφελος ἕξει παντελῶς, ἀλλ' ἐν ἴσῳ τοῖς ἀγράφοις τε καὶ ἀῤῥήτοις ἔσται τὰ ἐπὶ τούτων γεγραμμένα ἢ συμπεφωνημένα, καὶ φυλάττεσθαι τῇ γυναικὶ τὸ κέρδος. εἰ δὲ καὶ ζῶντος τοῦ ἀνδρὸς τῇ πράσει τῆς προγαμιαίας δωρεᾶς ἡ γυνὴ συναινέσαι πεισθῇ, οὐκ ἔῤῥωται ἡ τοιαύτη πρᾶξις· δεῖ γάρ, καθάπερ καὶ ἐπὶ τῆς προικός, διετοῦς αὖθις παριόντος χρόνου ἑτέραν ὁμολογίαν γράφειν βεβαιοῦσαν τὴν συναίνεσιν, καὶ τότε κύριον εἶναι τὸ γινόμενον· πολλὰ γὰρ ἂν ἐκ πρώτης εὐθὺς ἀκοῆς ἁμαρτηθείη, τῆς γυναικὸς ἢ δέει τοῦ συνοικοῦντος ἢ ἀπάτῃ ῥαδίως ὑπαγομένης καὶ τῶν οἰκείων ἀμελούσης δικαίων, κατασκεπτομένη δὲ ἐν πλείονι χρόνῳ τὴν ὑπόθεσιν γένοιτο ἂν ἑαυτῆς ἀσφαλεστέρα. πλὴν οὐδὲ τοῦτο ἁπλῶς δίδομεν, ἀλλὰ τηνικαῦτα τὴν γυναῖκα διὰ τὴν δευτέραν συναίνεσιν τῆς ζητήσεως παύομεν, ἡνίκα ἐστὶν ἕτερα πράγματα, ἐξ ὧν δυνατὸν αὐτῇ τὸ ἱκανὸν γενέσθαι υπὲρ τοῦ περιεχομένου τῇ προγαμιαίᾳ δωρεᾷ πράγματος ἢ πραγμάτων ἀκινήτων. ἐπείτοιγε εἰ μηδὲν ἕτερον περιλείποιτο, οὐδὲ οὕτως βλάβην ὑπομεῖναι τὴν γυναῖκα συγχωροῦμεν, ἀλλὰ κἂν ἢ δὶς ἢ πολλάκις συναινέσειεν, τὸ πρᾶγμα εἰς τὸν τῆς ἀναζητήσεως φερέσθω λόγον. ἐὰν δὲ τὸ ἱκανὸν τῆς προγαμιαίας ὡς εἴρηται δωρεᾶς ἐκ τῶν τοῦ ἀνδρὸς ἀκινήτων πραγμάτων ἢ κινητῶν μετὰ τὴν δευτέραν συναίνεσιν καὶ τὴν ἐκ τῆς διετίας ἀσφάλειαν εὑρεθῇ, ἐῤῥῶσθαι κελεύομεν τὴν ἐκποίησιν. ἀλλ' οὐδὲ αὐτῶν τῶν συμβαλλόντων καθάπαξ ἀμελοῦμεν, ἀλλ' ὥσπερ τὴν ἐπὶ τούτοις ἐνοχὴν ὅσον πρὸς τὰς γυναῖκας ἄῤῥητόν τε καὶ ἄγραφον εἶναι βουλόμεθα, οὕτω καὶ αὐτοὺς τοὺς ἄνδρας ἐπὶ τοῖς ἄλλοις αὐτῶν πράγμασιν ἐνέχεσθαι βουλόμεθα προφάσει τῆς ἐκποιήσεως ἢ τῆς ὑποθήκης, ταῖς μὲν γυναιξὶ φυλάττοντες τὸ ἐπ' αὐτοῖς τοῖς ἀκινήτοις πράγμασι τῆς προγαμιαίας δωρεᾶς δίκαιον ἀκαινοτόμητον, ἐκείνοις δὲ τὸ ἁρμόζον δίκαιον ἐκ τῶν συμβολαίων ὅσον ἐπὶ τοῖς ἄλλοις αὐτῶν πράγμασι. πάντων τῶν τῇ προικὶ δεδομένων ἤδη παρ' ἡμῶν προνομίων ἐπὶ τῆς ἑαυτῶν μενόντων ἰσχύος, ὅταν ἡ

TAYLOR INST. OXFORD

γυνὴ κινοίη· τοῖς γὰρ ἄλλοις ἅπασι πλὴν τῆς γυναικὸς τὸ τοιοῦτον προνόμιον οὔτε ἐξ ἀρχῆς δεδώκαμεν οὔτε νῦν δίδομεν.

δ΄. Ἡ γυνὴ τοῦ γάμου συνεστῶτος ἐν ἀπορίᾳ τοῦ ἀνδρὸς τὰ ὑποκείμενα πράγματα τοῦ ἀνδρὸς ὑπὲρ τῆς προγάμου δωρεᾶς καὶ τῆς προικὸς καὶ τῶν ἐξωπροίκων ἐκδικήσασα ἤγουν κατέχουσα, οὐ δύναται ταῦτα ἐκποιεῖν, ἀλλ᾽ ἐξ αὐτῶν ἀναγκάζεται καὶ τὸν ἄνδρα καὶ τοὺς παῖδας ἀποτρέφειν.

ε΄. Ἡ [3]) μὴ δευτερογαμοῦσα γυνὴ, εἴτε παίδων ὑπόντων αὐτῇ εἴτε καὶ μὴ, τῆς προγάμου δωρεᾶς κατά τε χρῆσιν καὶ δεσποτείαν κυρία καθίσταται· οὐ μόνον δὲ ἀλλὰ καὶ παίδων μὲν μὴ ὑπόντων, τὸν ἐξ ἀπαιδίας κάσσον ἤτοι τὸ τέταρτον τοῦ προικοϋποβόλου εἰς κέρδος αὐτῆς ἀναδέχεται· τοῦτο δὲ δηλονότι λήψεται οὐκ ἐξ αὐτοῦ τοῦ προικοϋποβόλου, ἀλλ᾽ ἐκ τῆς ὑπολοίπου πάσης ἀνδρῴας ὑποστάσεως· ὑπόντων μέντοι παίδων, μετὰ [τὸ] τὸν τελευταῖον παῖδα εἰς τὸν εἰκοστὸν καταντῆσαι χρόνον, τῶν δύο τὸ ἕτερον αἱρείσθω· ἢ τὴν χρῆσιν ἔχειν πᾶσαν τῆς ἀνδρῴας ὑποστάσεως καὶ μόνον, ἢ, εἰ μὴ τοῦτο βούλοιτο, παιδὸς ἑνὸς μοῖραν κατὰ τελείαν δεσποτείαν εἰς οἰκεῖον ἀφαιρεῖσθαι κέρδος. δῆλον δὲ ὡς καί τινος τῶν παίδων τελευτῶντος ἢ καὶ πάντων ἀτέκνων ἢ ἀδιαθέτων, εἰς αὐτὴν ὁ τούτων κλῆρος ἀναδραμεῖται [4]).

ς΄. Ἡ πρὸ τοῦ πενθίμου χρόνου εἰς δεύτερον ἑαυτὴν συνοικέσιον ἐπιῤῥίψασα, ὡς εἰς αὐτὰς [τὰς] γονὰς καὶ κοίτην ἀνδρῴαν ἐξυβρίσασα τῆς προγάμου δωρεᾶς τῆς τε δεσποτείας καὶ τῆς χρήσεως ἀπελαθήσεται, καὶ πολλῷ μᾶλλον δηλονότι ὡς οὐδὲ ἐκ τῆς ἄλλης ἀνδρῴας ὑποστάσεως οἱονδήποτε λήψεται. οὐ μόνον δὲ ἀλλὰ καὶ παίδων αὐτῇ προσόντων, ἀτέκνων τούτων καὶ ἀδιαθέτων τελευτώντων, οὔτε καθ᾽ ὅλον τὸν κλῆρον οὔτε κατὰ μέρος τινὰ τούτων κληρονομήσει. εἰ μέντοιγέ τινες τῶν παίδων φιλανθρωπότερον περὶ τὴν ἐξυβρίσασαν μητέρα διατεθῆναι βουληθῶσιν καὶ καταλιπεῖν τι θελήσωσιν αὐτῇ τῆς ἰδίας αὐτῶν ὑποστάσεως, κρεῖσσον μᾶλλον λογιζόμεθα τῇ τῶν τέκνων φιλανθρωπίᾳ τὴν μητέρα παραμυθεῖσθαι ἢ τοσαύτην εἰσάγειν ὠμότητα, ὥστε μηδὲ βουλομένων τῶν παίδων πρὸς ἔλεον τῆς μητρὸς ἀφορᾶν ταύτην τινὸς τυγχάνειν παραμυθίας [5]). ἔσται δὲ καὶ παντοίως ἡ τοιαύτη γυνὴ διὰ τὴν τῶν

3) A in margine: ζήτει ἔμπροσθεν εἰς τὸ τέλος τῶν ε΄ κεφαλαίων ἑτέραν διάταξιν τῆς νεαρᾶς. — Caeterum haec quae sequuntur sex capita Eclogam Leonis et Constantini sapiunt. Cf. Ecloga tit. II.

4) C hic subjicit scholium c, quod infra ad cap. 9 dabimus.

5) A addit: τοῦτο ἐθήκη, quod legerim ἀθήκη i. e. προσθήκη. Namque initium hujus capitis usque ad verbum παραμυθίας sane adjectio est, quum nunc demum Nov. XXII c. 22 incipiat. Cf. schol. h.

γάμων σπουδὴν ἠτιμασμένη, καὶ οὐ λήψεταί τι τῶν παρὰ τοῦ προτέρου καταλελειμμένων αὐτῇ συνοικεσίου, οὐδὲ ἀπολαύσει τῆς προγαμιαίας δωρεᾶς, οὐδὲ τῷ συνοικοῦντι κατὰ δεύτερον γάμον περαιτέρω τῆς τρίτης τῆς οἰκείας περιουσίας ἐπιδώσει μοίρας· οὐ μὴν οὐδὲ τῆς ἔξωθεν αἰσθήσεται φιλοτιμίας οὐδὲ λήψεται παντελῶς παρ' οὐδενὸς τῶν ἔξωθεν, οὐ κλῆρον, οὐ λεγάτον, οὐ τὴν μετὰ θάνατον δωρεάν, ἀλλὰ ταῦτα ἐλεύσεται ἢ μενεῖ παρὰ τοῖς κληρονόμοις τοῦ τελευτήσαντος, ἢ συγκληρονόμοις αὐτῆς, εἴγε ἠδύνατο κληρονομεῖν ὅλως· οἷα αὐτῆς οὐδοτιοῦν ὄφελος ἐχούσης, ἀλλ' εἴτε γεγραμμένοι καὶ ἕτεροι τύχοιεν εἴτε καὶ ἐξ ἀδιαθέτου καλοῖντο, πρὸς ἐκείνους ἐλεύσεται τὰ τῇ τοιαύτῃ γυναικὶ καταλελειμμένα. οὐ γὰρ τὸ δημόσιον αὐτὰ οἰκειώσεται, μήποτε δόξωμεν τὰ τοιαῦτα σωφρονίζοντες τῆς τοῦ δημοσίου προνοεῖν ὠφελείας, ἀλλ' οὕτω μὲν τὰ παρὰ τῶν ἔξωθεν αὐτῇ καταλελειμμένα πρὸς ἑτέρους χωρήσει, τὰ δέ γε παρὰ τοῦ πρότερον συνοικήσαντος ἀφίξεται παρ' αὐτῆς ἀφαιρούμενα πρὸς τὰ δέκα πρόσωπα τῆς τοῦ καταλιπόντος ἀνδρὸς συγγενείας, τουτέστιν ἀνιόντας καὶ κατιόντας καὶ τοὺς ἐκ πλαγίου μέχρι β̄ βαθμοῦ, τῶν βαθμῶν ἐπὶ τῆς οἰκείας φυλαττομένων τάξεως· ὧν οὐχ ὑφεστώτων ἐπὶ τὸ ταμεῖον ἐλεύσεται. ἀλλ' οὐδὲ περαιτέρω κληρονομίαν ἐξ ἀδιαθέτου τῶν οἰκείων αὐτῆς ὑπελεύσεται συγγενῶν, ἀλλὰ μέχρι γ̄ βαθμοῦ θεωρουμένου πανταχόθεν στήσεται μόνον τὰ τῆς διαδοχῆς αὐτῇ, οἱ πορρωτέρω δὲ ὄντες ἑτέρους ἕξουσι κληρονόμους. καὶ ἥ γε πρὸ τῶν ἄλλων αὐτῇ ποινῶν ἐπαχθεῖσα, φαμὲν δὴ τὴν ἀτιμίαν [6]), εἴγε παῖδες ὑπεῖεν, ἔξεστι μὲν αὐτῇ βασιλέως ὑπὲρ τῆς ἀτιμίας δεῖσθαι, οὐ μὴν ὄφελός τι τῶν ἀντιγραφομένων ἔχειν, πλὴν εἰ μὴ βούλοιτο τὴν ἐκ τῆς βασιλείας ἔχειν ὠφέλειαν καὶ τῶν ἄλλων ἀπαλλαγῆναι ποινῶν, τοῖς ἐκ τοῦ προτέρου γάμου παισὶ τὴν ἡμίσειαν τῆς οἰκείας περιουσίας δωρουμένη μοῖραν καθαρῶς, αἱρέσεως ἁπάσης χωρίς, καὶ οὐδὲ τὴν χρῆσιν παρακατέχουσα, ἀλλὰ πάσης τῆς οὐσίας, τῆς ὅτε πρὸς τοὺς δευτέρους ἐφοίτα γάμους, κατὰ τὴν ἡμίσειαν, καθάπερ ἔφημεν, ἐξισταμένη μοῖραν τοῖς ἔμπροσθεν γενομένοις παισίν. καὶ διαιρήσονται τοῦτο οἱ παῖδες ἅπαντες ἐξ ἴσης, καὶ παῖδας μὲν ἔχοντες εἰς τοὺς ἑαυτῶν παραπέμψουσι παῖδας· εἰ δὲ οὐκ ἔχοιεν, τὰ τοῦ τελευτήσαντος ἢ τῶν τελευτησάντων μέρη λήψονται πάντως ἀναλόγως οἱ τούτων ἀδελφοί· εἰ δὲ πάντες ἀπέλθοιεν, ἐχέτω παραψυχὴν τῆς ἑαυτῆς δυσκληρίας ἡ μήτηρ τὸ ταῦτα πάλιν ἀναλαβεῖν. καὶ ταῦτά φαμεν, εἴπερ ἀδιάθετοι τελευτήσαιεν οἱ παῖδες· οὐ γὰρ ἐπὶ τοῖς

6) Textus Novellae intercalat haec: εἰ μὲν ἄπαις ἐκ τῶν προτέρων εἴη γάμων, λέλυται βασιλέως γράμμασι κελεύοντος, εἰ δὲ παῖδες κτλ.

ἅπαξ γενομένοις ἰδίοις αὐτῶν εἴρξομεν αὐτοὺς διαθήκας γράφειν ἢ περιόντας ὃν βούλονται ταῦτα διαθεῖναι τρόπον. ἃ [7]) δὲ ἐπὶ τῆς πρὸ τοῦ πενθίμου δευτερογαμησάσης νενομοθέτηται, ταῦτα καὶ ἐπὶ τῆς ἐπιτροπευούσης παίδων ἀνήβων καὶ πρὸ τοῦ αἰτήσασθαι αὐτοῖς ἐπίτροπον καὶ τοὺς λογισμοὺς παρασχέσθαι τῆς διοικήσεως καὶ καταβαλεῖν πᾶν ὅσον ἐντεῦθεν ὀφείλεται δευτερογαμούσης ὡρίσθη κρατεῖν. τὰ δὲ αὐτὰ καὶ ἐπὶ τῆς ἐν τῷ ια μηνὶ τεκούσης δηλονότι λογισθήσεται.

ζ΄. Ἡ μετὰ τὸν πένθιμον χρόνον ἤγουν μετὰ τοὺς ιβ μῆνας δευτερογαμοῦσα τῆς προγάμου δωρεᾶς κατὰ τὸ ἥμισυ μέρος κυρία καθίσταται, τοῦ ἑτέρου ἡμίσεως μέρους τοῖς ἐκ τοῦ προτέρου ἀνδρὸς αὐτῆς παισὶ φυλαττομένου. εἰ δὲ παῖδες μὴ ὕπεισιν, αὐτὴ τῆς ὅλης προγαμιαίας δωρεᾶς κυρία ἔσται. ἐκ μέντοι τῆς ἄλλης ἀνδρῴας ὑποστάσεως, ὄντων τε παίδων καὶ μὴ ὄντων, οὐδὲν ἕτερον αὕτη παρακερδαίνει. τινὸς μέντοι τῶν τέκνων τῶν ἐκ τοῦ προτέρου γάμου ἀτέκνου ἢ ἀδιαθέτου τελευτῶντος, τὴν τούτου ὑπόστασιν μετὰ τῶν ὑπολοίπων παίδων ἐξ ἴσου μερίζεται· εἰ δὲ μὴ εἴη τὶς ὁ ταύτῃ συμμεριζόμενος, ὁλοκλήρου τῆς ὑποστάσεως αὐτὴ κυρία λογισθήσεται.

η΄. Ὁ *) μὴ δευτερογαμῶν ἀνὴρ, μὴ προσόντων μὲν παίδων, τὸν ἐξ ἀπαιδίας κάσον ἤτοι τὸ δ τοῦ προικοϋποβόλου λαμβάνει· παίδων δὲ προσόντων, οὓς ἐκτρέφειν καὶ παιδαγωγεῖν ἀνάγκη, μετὰ τὸ φθάσαι τὸν τελευταῖον παῖδα εἰς τὸν κ χρόνον ἄδειαν ἐχέτω, ἢ τὴν χρῆσιν, ἣν καὶ πρότερον εἶχε, παρακατέχων ἕως τέλους μὴ λαμβάνειν ἀδελφικὴν μοῖραν [8]), ἢ τῆς χρήσεως ἐξιστάμενος ἀδελφικὴν μοῖραν εἰς οἰκεῖον παρακατέχειν κέρδος. κληρονομεῖ δὲ καὶ οὗτος ὁλοκλήρως τοὺς ἰδίους παῖδας ἀτέκνους ἢ ἀδιαθέτους τελευτῶντας. ὁ μέντοιγε δευτερογαμῶν ἐκτρέφειν μὲν καὶ αὐτὸς καὶ παιδαγωγεῖν φυσικῷ τε καὶ γραπτῷ καταναγκάζεται νόμῳ τὰ τέκνα, καὶ ἐν ᾧ καιρῷ ταῦτα παιδαγωγεῖ καὶ ἐκτρέφει, μετέχει κἀκεῖνος τῆς χρήσεως καὶ παρὰ τοῦτο πλέον οὐδέν· ἀναγραφῆς δηλονότι τῆς τῶν παίδων ἐξ ἀρχῆς ὑποστάσεως ἀκριβοῦς γεγενημένης, ἧς ἐκεῖνος ὀφείλει τὸν λόγον ὑπέχειν, μέχρι τὸ φθάσαι τὸν ἔσχατον τῶν παίδων εἰς τὸν κ χρόνον, ὅτε καὶ αὐτῆς παντελῶς ἐξίσταται τῆς χρήσεως, μηδὲν ἄλλο παρακερδαίνων ἐκ τῆς εἰς αὐτοὺς ἀπὸ μητρὸς ἢ ἀλλαχόθεν περιελθούσης ὑποστάσεως. τινὸς δὲ τῶν παίδων τελευτῶντος, καὶ τὴν ἐκείνου ὑπόστασιν τοῖς ὑπολοίποις παισὶ συμμερισθήσεται· μηδενὸς δὲ τοῦ συμμεριζομένου

7) Quae sequuntur, ex Nov. XXII c. 40 et Nov. XXXIX c. 2 hausta sunt.

*) Hic ad marginem adscribitur in Paris. 1367: ἀνῃρέθη παρὰ τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως.

8) Verba: ἢ τῆς — μοῖραν in C propter ὁμοιοτέλευτον exciderunt.

καταλειπομένου, εἰς ὁλόκληρον αὐτὸς ταύτην ἀναδέξεται. καὶ ταῦτα μὲν παίδων προσόντων· παῖδας μέντοι μὴ ἔχων ὁ δευτερογαμῶν οὐδὲν ὅλως ἐκ τῆς ὑποστάσεως τῆς προτέρας γυναικὸς εἰς οἰκεῖον κέρδος λήψεται.

ϑ'. Περὶ τῆς ἀπροίκου γυναικὸς, εἴτε εὔπορος εἴτε ἄπορος εἴη [b]), τελευτήσαντος τοῦ ἀνδρὸς ϑεσπίζομεν τοὺς ἐκ τῶν τοιούτων συνοικεσίων τεχϑέντας παῖδας νομίμους εἶναι καὶ εἰς τὴν πατρῴαν καλεῖσϑαι κληρονομίαν, τὴν δὲ γυναῖκα, εἰ μὲν ἄχρι τριῶν ἔχοι παίδων ὁ ταύτης ἀνὴρ εἴτε ἐξ αὐτοῦ εἴτε ἐξ ἑτέρου συνοικεσίου, τὸ τέταρτον μέρος τῆς οὐσίας τοῦ ἀνδρὸς λαμβάνειν κατά τε χρῆσιν καὶ δεσποτείαν· εἰ δὲ πλείονες εἴησαν οἱ παῖδες, τοσοῦτον λαμβάνειν κελεύομεν τὴν γυναῖκα, ὅσον ἑνὶ τῶν παίδων ἁρμόζει· μὴ προσόντων δὲ αὐτῇ παίδων παντὶ τρόπῳ τὸ τέταρτον εἰς αὐτὴν περιέρχεσϑαι κατὰ τελείαν δεσποτείαν· καὶ κληρονομεῖν δὲ τοὺς παῖδας ἀδιαϑέτους τελευτῶντας. τὸν δὲ ἄπορον ἄνδρα ἐπὶ τῶν τοιούτων ϑεμάτων τὸ τέταρτον μέρος κατὰ τὸν πρότερον ἡμῶν νόμων ἐκ τῆς οὐσίας λαμβάνειν τῆς γυναικὸς πᾶσι τρόποις κωλύομεν [10]). κληρονομεῖν [δὲ] τοῦτον τοὺς ἰδίους παῖδας, εἴτε πρὸς δεύτερον ἔλϑοι συνοικέσιον εἴτε καὶ μὴ, ὁμοίως τοῖς εὐπόροις ἀνδρᾶσι κελεύομεν. ἃ δὲ περὶ τῶν προειρημένων εἴρηται γυναικῶν κρατεῖν κελεύομεν, ἐπειδὰν μὴ δευτέροις ὁμιλήσωσι γάμοις. ἐπειδὰν δέ τις τούτων δευτερογαμήσει, εἰ μὲν πρὸ τοῦ πενϑίμου ἐνιαυτοῦ, μηδὲν ἔχειν τὸ σύνολον ἐκ τῆς τοῦ ἀνδρὸς ὑποστάσεως, καὶ εἰ συμβῇ παῖδας ἔχειν ἐξ αὐτοῦ, μηδὲ τούτους κληρονομεῖν ὁρίζομεν, πλὴν εἰ μὴ φιλανϑρωπότερον καὶ αὐτοὶ διατεϑέντες καταλιπεῖν τι τῆς ἰδίας ὑποστάσεως αὐτῇ βουληϑῶσιν. εἰ δὲ μετὰ τὸν πένϑιμον χρόνον πρὸς δεύτερον ἔλϑοι γάμον, παίδων μὲν μὴ προσόντων, ὅπερ αὐταῖς ἐδωρήϑη τέταρτον, τούτου τῆς κυριότητος μὴ ἐξίστασϑαι· προσόντων δὲ παίδων, τὸ μὲν ἥμισυ μέρος τῆς ὡρισμένης αὐτῇ μοίρας τοῖς παισὶ παραπεμφϑήσεται, τοῦ δὲ λοιποῦ ἡμίσεως μέρους αὐτὴ τὴν δεσποτείαν ἕξει· καί τινος τῶν παίδων τελευτῶντος, τὴν ἐκείνου ὑπόστασιν τοῖς παισὶ συμμερισϑήσεται· μὴ καταλειπομένου δὲ τοῦ συμμεριζομένου αὐτὴ τὸ ὁλόκληρον κληρονομήσει [c]).

b) σχόλιον. Ἡ νεαρὰ τὴν ἄπροικον οὐ τὴν εἰ τύχοι καὶ εὔπορόν φησι, ἀλλὰ τὴν ἄπορον· τῇ γὰρ εὐπόρῳ καὶ ἀπροίκῳ οὐδὲν δίδωσιν [9]).

c) Ταῦτα τὰ πέντε κεφάλαια [11]) πρὸς τὴν νεαρὰν δοκεῖ διαφέρεσϑαι, ἧς καὶ νῦν τὸ κράτος ἐν ταῖς πράξεσι πολιτεύεται. ἐκεῖ μὲν γὰρ ἡ γυνὴ ἀποβάλλουσα τὸν ἄνδρα καὶ μὴ δευτερογαμοῦσα, παίδων μὲν οὐχ ὑπόντων, λαμ-

9) Cf. Nov. Leonis 106.

10) Hactenus Nov. 117 c. 5.

11) A notat: ταῦτά ἐστιν ὀπίσω εἰς τὰ ε' κεφάλαια ἀπὸ τὸ ε' κεφ. ἕως

ι'. Ἐν τῇ πρὸς δευτέρους ἄνδρας ἢ γυναῖκας συμβολῇ καὶ ἐπερωτήσει οὐδὲν ἄλλο τὸν δευτερογαμοῦντα ἄνδρα καὶ τὴν δευ-

βάνει τῆς προγάμου δωρεᾶς, ὅσον συνεφώνησεν ἐξ ἀπαιδίας λαβεῖν, ἢ ὅλον αὐτῆς ἢ μέρος ὡρισμένον· ἀλλὰ κἂν εἴτε αὐτῇ ὁ ἀνὴρ εἴτε ζῶν δωρήσηται, εἴτε ἐν τῷ θανάτῳ καταλίπῃ, πάντα λαμβάνει καὶ κατὰ δεσποτείαν καὶ κατὰ χρῆσιν. παίδων δὲ ὄντων, ὅσα τε ἄλλα φιλοτιμήσηται αὐτὴν ὁ ἀνὴρ εἴτε ζῶν εἴτε τελευτῶν, τούτων ἔχει τὴν ἐπικαρπίαν καὶ χρῆσιν, τῆς τε προγάμου δωρεᾶς ἔχει πᾶσαν τὴν χρῆσιν, μέχρι περίεστι, καὶ τελευτῶσα μέρος ἐξ αὐτῶν παιδὸς κατὰ δεσποτείαν παρακρατεῖ, οὐ μέντοι ἐκ τῆς ὅλης ὑποστάσεως μοῖραν παιδὸς, ὥς τινες ἡγοῦνται, λαμβάνει. καὶ τῶν ἰδίων δὲ παίδων ἡ τοιαύτη γυνὴ ἐπιτροπεύουσα ἐν ἴσῳ τοῖς ἄλλοις ἐπιτρόποις περὶ τὴν διοίκησιν τῶν ἁρμοζόντων αὐτοῖς πατρῴων πραγμάτων ἀπὸ τελευτῆς τοῦ ἀνδρὸς λογοθετεῖται· τοὺς μέντοι τελευτῶντας [12]) παῖδας μετὰ τῶν περιόντων ἀμφιθαλῶν αὐτῶν ἀδελφῶν καὶ ἀδελφοπαίδων κληρονομεῖ, τῶν δὲ ἑτεροθαλῶν προτιμᾶται. εἰ δὲ ἡ γυνὴ δευτέρους γάμους ἀσπάσηται, μὴ φυλάττουσα μὲν τὸν πένθιμον ἐνιαυτὸν, ὑπόκειται ταῖς ποιναῖς ταῖς τε εἰρημέναις καὶ ἃς ἤδη νῦν προεγράψαμεν. φυλάττουσα δὲ τὸν τοιοῦτον ἐνιαυτὸν, παίδων μὲν οὐχ ὑπόντων, καθάπερ καὶ ἡ παῖδας οὐκ ἔχουσα μὴ δευτερογαμοῦσα, καὶ αὕτη ὅσα ἐκείνη λαμβάνει· παίδων δὲ ὄντων, μόνην ἔχει τὴν χρῆσιν τῶν τε γαμικῶν κερδῶν καὶ πάσης ἄλλης φιλοτιμίας εἰς αὐτὴν ὑπὸ τοῦ ἀνδρὸς γενομένης. ἡ γὰρ τούτων δεσποτεία φυλάττεται τοῖς παισὶ, καὶ τῶν ἰδίων παιδῶν ὀρφανῶν [13]) ἐν ἴσῳ τῶν ἄλλων συγγενῶν ἢ τῶν ἐξωτικῶν ἐπιτροπεύει. ἀλλὰ καὶ πρὸ τῆς δευτερογαμίας τοῦ παιδὸς ἢ τῶν παίδων ἐπιτροπεύουσα ὄντων ἀνήβων πρὸ τοῦ ἐπίτροπον αὐτοῖς αἰτήσασθαι καὶ δοῦναι τοὺς λόγους τῆς διοικήσεως καὶ καταβαλεῖν, ἐφ' ὅσον ἂν ὑπόχρεως εὑρεθῇ, πρὸς δεύτερον εἰ τολμήσειε γάμον ἐλθεῖν, ὑποβάλλεται μὲν τοῖς αὐτοῖς ἐπιτιμίοις, ἃ καὶ ἡ πρὸ τοῦ πενθίμου χρόνου δευτερογαμοῦσα ὑπέχει· πλέον δὲ κατὰ τοῦτο ἐκείνη πάσχει τὸ μηδὲ τοὺς ἑαυτῆς παῖδας ἀνήβους τελευτῶντας κληρονομεῖν, ἀλλὰ καὶ πρὸς τοῖς αὐτῆς καὶ τὰ τοῦ γήμαντος αὐτὴν πράγματα ὑπεύθυνα τοῖς παισὶν ἐπὶ ἀποκαταστάσει τῆς πατρῴας αὐτῶν ὑποστάσεως γίνεται. τοῦτο δὲ τῆς ἐπιτροπῆς παραφυλάττουσα ἡ δευτερογαμοῦσα, ἐπὶ ταῖς τῶν παίδων τῶν τελευτώντων διαδοχαῖς καὶ ταῖς τῶν πραγμάτων ἐκποιήσεσιν, ὧν τὴν χρῆσιν μόνην ἔχειν αὐτὴν εἴρηται, οὕτω πως ἐν ταῖς νεαραῖς κανονίζεται. τούτων γὰρ τῶν γαμικῶν κερδῶν, ὧν μόνην ἡ μήτηρ ἔχει τὴν χρῆσιν, τὴν δεσποτείαν δὲ οἱ εὐχάριστοι παῖδες λαμβάνουσιν, ἢ πάντα ἢ τινὰ συμβαίνει τὴν μητέρα, ἢ πρὸ τῆς δευτερογαμίας ἢ μετὰ τὴν δευτερογαμίαν, ἢ τισὶ τῶν παίδων ἐπιδοῦναι ἢ εἰς ἐξωτικοὺς ἐκποιήσασθαι, καὶ ἢ πρὸ πάντων τῶν παίδων ἢ τινῶν, καὶ παῖδας ἐχόντων ἢ οὐκ ἐχόντων, ἢ ἐπί τισιν ἢ πᾶσιν [14]) ἀποθανεῖν. ἀλλ' εἰ μὲν προαπέλθῃ πάντων ἡ μήτηρ, ἢ πάντες παῖδας ἔχοντες αὐτῆς προαπέλθοειν, πάντων τῶν

τὸ θ'. Nimirum intelligitur cap. 5—9 hujus tituli, quae magis cum Ecloga quam cum jure Justinianeo convenire supra not. 3 observavi. — Caeterum ego hoc scholium ex Codice Paris. reg. gr. 1343 Prochiri aucti, quod scholium illud tit. VII §. 17 continet, edo: nolui id ex A et C denuo exscribere, quum Venetiae et Romae propter temporis angustias paulo festinantius agendum esset.

12) Cod.: περιόντων, quod ex Cod. Vindob. jurid. gr. 3 correxi.

13) Paris. reg. gr. 1343 οὐδὲ κἂν habet, quod ex conjectura mutavi.

14) Cod. παισίν, quod ex Vind. emendavi.

τερογαμοῦσαν γυναῖκα ἐπιδιδόναι ἀνεχόμεθα τῷ δευτέρῳ ἐπειιόντι προσώπῳ, εἰ μὴ ἑνὸς παιδὸς ἐξισουμένην μοῖραν, κἄντε πρὸς φαλ-

γαμικῶν κερδῶν ἡ δεσποτεία καὶ ἐκποιηθέντων τῷ μέρει τῶν παίδων ἐξ ἴσου ἁρμόζει. εἰ δέ τισι τῶν παίδων ἢ πρὸ τῆς δευτερογαμίας ἢ μετὰ τὴν δευτερογαμίαν ἐξ αὐτῶν τι ἡ μήτηρ ἐπέδωκεν, ἢ μετὰ μόνην τὴν δευτερογαμίαν πάντα ἢ τινὰ εἰς ἐξωτικοὺς ἐξεποιήσατο, καὶ προαπέλθοιεν πάντες οἱ παῖδες, μὴ ἔχοντες παῖδας ἢ διαθήκας, τότε ἡ μὲν μήτηρ τὸ ἐξ ἀπαιδίας αὐτῇ συμπεφωνημένον λαμβάνει κατὰ δεσποτείαν ἐκ τῶν γαμικῶν κερδῶν ἐξανάγκης καὶ κατὰ τοῦτο μόνον ἔῤῥωται ἡ ἐκποίησις· τὸ δὲ λοιπὸν κληρονομοῦσιν οἱ ἐξ ἀδιαθέτου πρὸς κληρονομίαν τῶν παίδων εἰσαγόμενοι συγγενεῖς. τούτων δὲ μηδενὸς ὄντος, λαμβάνει καὶ τὸ λοιπὸν ἡ μήτηρ. εἰ δὲ παῖδας ἔχοντες οἱ παῖδες ἅπαντες προαπέλθοιεν, τοῖς παισὶν αὐτῶν προείρηται ἁρμόζειν πᾶσαν τῶν πραγμάτων ἐκείνων τὴν δεσποτείαν, κἂν ἐξεποιήθησαν, καὶ τῇ μητρὶ οὐδέν. εἰ δὲ οὐ πάντες, ἀλλὰ τινὲς τῶν παίδων προτελευτήσειαν τῆς μητρὸς, ὅσοι μὲν παῖδας ἔχουσι, καὶ ἐξ ἀδιαθέτου καὶ ἐκ διαθήκης τὸ ἀνῆκον αὐτοῖς μέρος εἰς τὰ γαμικὰ κέρδη μόνον τοῖς παισὶ ἑαυτῶν παραπέμπουσιν ἐξανάγκης, τάχα δὲ καὶ ἀδελφοῖς ἐκ διαθήκης, ἄλλῳ δὲ οὐδενὶ παντελῶς. ὅσοι δὲ παῖδας οὐκ ἔχουσιν, οὔτε ἐκ διαθήκης οὔτε ἐξ ἀδιαθέτου δύνανται τὸ μέρος αὐτῶν ἄλλῳ τινὶ παραπέμπειν, ἀλλ' ἢ μόνοις τοῖς ἀδελφοῖς. καὶ εἰς ἕνα δὲ τῶν παίδων περιερχομένου τοῦ παντὸς, οὐ δύναται ὡς οἶμαι οὐδὲ οὗτος ἄπαις προτελευτῶν τῆς μητρὸς καταλιπεῖν αὐτῇ ἐν διαθήκῃ πλέον τοῦ ἐξ ἀπαιδίας ἑτέρων συγγενῶν ὄντων, ὅπερ καὶ ἐξ ἀδιαθέτου ἐλάμβανεν· εἰ δὲ οὐδείς ἐστι συγγενὴς, τότε δύναται ἢ τὸ πᾶν ἢ ὅσον βούλεται. καὶ τὸ αὐτὸ γίνεται ἐκ διαθήκης, ὃ καὶ ἐξ ἀδιαθέτου. καὶ ταῦτα μὲν, εἰ μετὰ τὴν δευτερογαμίαν ἐκποιηθῇ τι, ἢ δοθῇ τοῖς παισὶ ἢ πρὸ τῆς δευτερογαμίας ἢ μετὰ τὴν δευτερογαμίαν. εἰ δὲ πρὸ τῆς δευτερογαμίας ἡ μήτηρ ἐκποιήσειεν εἰς ἄλλο τι πρόσωπον παρὰ τοὺς παῖδας, τότε καὶ ἐπὶ τούτου πάντα τὰ προειρημένα ἕπεται. πλὴν ἐν τούτῳ μόνῳ ἡ παραλλαγὴ, ὅτι πολλῶν ὄντων τῶν παίδων καὶ ἑνὸς ἢ τινῶν τῆς μητρὸς προαπερχομένων ὄντων ἀπαίδων, οὐ μεταβαίνουσι τὰ μέρη αὐτῶν ὁλόκληρα εἰς τοὺς περιόντας ἀδελφοὺς ἢ ἀδελφὸν, ἀλλὰ τὸ μὲν λεγόμενον ἐξ ἀπαιδίας μένει παρὰ τῇ μητρὶ, καὶ κατὰ τοῦτο μόνον ἡ ἐκποίησις ἔῤῥωται, τὸ δὲ λοιπὸν ἔρχεται εἰς τοὺς ἀδελφοὺς ἐξανάγκης. ἔστι δὲ τὸ ἐξ ἀπαιδίας τοιοῦτον· οἷον, εἰ συνεφωνήθη ἄπαιδος τελευτῶντος τοῦ ἀνδρὸς [15]) κερδῆσαι τὴν γυναῖκα τὸ ἥμισυ τῆς προγάμου δωρεᾶς, εὑρεθῇ δὲ τὰ γαμικὰ κέρδη, ἅπερ προειρήκαμεν, συνάγοντα χιλίων νομισμάτων ποσότητα, καὶ εἰσὶ ε' παῖδες, ἑκάστῳ μὲν ἁρμόζει διακόσια νομίσματα εἰς μέρος αὐτοῦ, ἔστι δὲ τὸ ἐξ ἀπαιδίας [16]), πρὸς μὲν ἑνὸς παιδὸς μοῖραν, τὰ ρ'· ἡμίσεα γὰρ τῶν σ' τὰ ρ'· πρὸς δὲ τὸ ὅλον τὰ φ'· ἡμίση γὰρ τῶν χιλίων τὰ φ'· τὴν δὲ μητέρα ὑπεθέμεθα κερδῆσαι ὀφείλουσαν ἐξ ἀπαιδίας τὸ ἥμισυ. ὁμοίως δὲ, εἴπερ οὐχ ἥμισυ συνεφωνήθη, ἀλλὰ τρίτον ἢ τέταρτον ἢ ἄλλο τι μέρος. λέγει δὲ ἡ αὐτὴ διάταξις, ὅτι καὶ ἐπὶ ἀνδρῶν ἤτοι πατέρων τὰ αὐτὰ κρατεῖν ἀνάγκη εἰς τὰ περιερχόμενα εἰς αὐτοὺς γαμικὰ κέρδη ἀπό τε τῆς προικὸς καὶ τῶν ἄλλων τρόπων· ἀλλ' ἐπὶ τοῦ ἐξ ἀπαιδίας μάλιστά φησιν ἐπὶ μητέρων συμβαίνειν ταῦτα. περὶ δὲ τῆς τῶν παίδων διαδοχῆς, τῶν χωρὶς παίδων καὶ διαθηκῶν τελευτώντων, τὸν μὲν

15) Ita Vind., Paris.: πατρός.

16) Sic lego ex Vind. Paris.: ἐξάπαν.

κίδιον ἔλθωσιν οἱ παῖδες ἢ ὁ παῖς παρὰ τῶν γονέων καταδικαζόμενοι, κἄντε πρὸς πλείω ἢ καὶ ἐλάττονα τοῦ φαλκιδίου μοῖραν. εἰ

δευτερογαμήσαντα ἄνδρα οὐδὲν εἰς τοῦτο ἐτιμωρήσατο, σιωπηρῶς αὐτὸν βουλομένη ὁμοίως τῷ μὴ δευτερογαμοῦντι κληρονομεῖν τοὺς παῖδας. τὴν δὲ γυναῖκα τὴν δευτερογαμήσασαν οὕτω διωρίσατο· ὅσα πράγματα εἰσὶ τῷ παιδὶ μετὰ τὰ εἰρημένα γαμικὰ κέρδη, συγκληρονομεῖν τοῖς ἀμφιθαλέσιν ἀδελφοῖς καὶ ἀδελφόπαισι τοιούτοις τὴν μητέρα. ἀλλὰ τῶν μὲν ἐκ τῆς πατρῴας ὑποστάσεως ὄντων μόνην αὐτὴν ἔχειν τὴν χρῆσιν· τῶν δ' ἐξ ἄλλων αἰτιῶν προσγενομένων τῷ παιδὶ τήν τε χρῆσιν ἔχειν καὶ δεσποτείαν. ἔχει δὲ καὶ ταῦτα πλέον τῆς γυναικὸς ὁ ἀνὴρ τὸ μήτε δευτερογαμῶν παραφυλάττειν πένθιμον ἐνιαυτόν· ἀλλὰ καὶ τῶν παίδων ἐπιτροπεύειν, καὶ τὴν χρῆσιν ἔχειν, μέχρι περίεστι, τῶν μητρῴων αὐτῶν πραγμάτων, οὐ μόνον εἰ καὶ δευτέρους, ἀλλὰ καὶ πλείονας γάμους ἕλοιτο. ἡ μέντοι γυνὴ τοῦτο πλέον ἔχει τοῦ ἀνδρὸς, ὅτι αὕτη μὲν, εἰ ἄπροικος εἴη καὶ ἄπορος, λαμβάνει μετὰ θάνατον τοῦ ἀνδρὸς ἐκ τῆς αὐτοῦ ὑποστάσεως τὸ τέταρτον, εἴτε ἄπαις ἐστὶν εἴτε μέχρι τριῶν ἔχει παῖδας ὁ ταύτης ἀνὴρ, ἀλλ' ἄχρι ἑκατὸν λιτρῶν μόνων· εἰ δὲ πλείονες εἴησαν οἱ παῖδες, παιδὸς ἑνὸς λαμβάνει μοῖραν. καὶ εἰ μὲν ἄπαις εἴη, ἔχει τὸ ληφθὲν καὶ κατὰ δεσποτείαν· παίδων δὲ ὄντων αὐτῇ, καὶ μὴ δευτερογαμοῦσα μόνην ἔχει τὴν χρῆσιν, αὐτοῖς δὲ φυλάττει τὴν δεσποτείαν. ὁ δὲ ἀνὴρ ἐπὶ τῶν ἀπροίκων συνοικεσίων κἂν ἄπορος ᾖ, οὐδὲν προτελευτώσης τῆς γυναικὸς ἐκ τῆς αὐτῆς ὑποστάσεως λαμβάνει· ἐπὶ δὲ τῶν ἐμπροίκων τοσοῦτον ὁ ἀνὴρ ἐκ τῆς προικὸς, ὅσον ἐκείνη ἐκ τῆς προγάμου κερδαίνει δωρεᾶς, καὶ δίχα τῶν εἰρημένων παραλλαγῶν ὁμοίως εἰς τὰ ἄλλα δευτερογαμῶν τε καὶ μὴ δευτερογαμῶν τρακταΐζεται. ἀλλὰ σήμερον οἱ μὲν ἄνδρες ἄλλα τινὰ τυχὸν ἀπὸ διαθήκης τῶν γυναικῶν λαμβάνουσιν ἢ καὶ ἐν ζωῇ δωρεὰς, τῆς προικὸς δὲ ἐξ ἀπαιδίας οὐδὲν ἀποκερδαίνουσιν, οὔτε πᾶσαν οὔτε μέρος αὐτῆς· αἱ δὲ γυναῖκες σχεδὸν ἅπασαι καὶ δίχα συμφώνων καὶ μετὰ συμφώνων τὴν πᾶσαν προγαμιαίαν δωρεὰν τελευτῶντος τοῦ ἀνδρὸς ἐξ ἀπαιδίας κερδαίνουσι. καὶ ἡ μὲν κβ' νεαρὰ, ἡνίκα ταῦτα ἐνομοθέτει, τὴν γυναῖκα ἔλεγε μὴ δευτερογαμοῦσαν τήν τε προγαμιαίαν δωρεὰν καὶ πᾶν ἕτερον γαμικὸν κέρδος ὁλοκλήρως κερδαίνειν, ὁμοίως δὲ καὶ τὸν ἄνδρα. ὕστερον δὲ ἐν τῇ ϟη' μηδὲν κατὰ δεσποτείαν ἔχειν καὶ τοὺς [μὴ] δευτερογαμοῦντας γονεῖς ὁ αὐτὸς νομοθέτης εἰπὼν, πάλιν ἐν τῇ ρκζ' μέρος αὐτοῖς παιδὸς ἐκ τῶν γαμικῶν κερδῶν ἔχειν καὶ κατὰ δεσποτείαν ἔδωκε. καὶ μήποτε κατὰ τοῦτο ἐναλλαγέντος τοῦ νόμου, οὐδὲ τὰ ἄλλα αὐτοῦ πάνυ ἰσχυρά· οἷον συσταλέντος τοῦ γαμικοῦ κέρδους καὶ ταῦτα εἰς τοὺς μὴ δευτερογαμοῦντας, μήποτε τὰ εἰρημένα ἐπὶ τῶν δευτερογαμούντων ἐπί τε τῶν ἐκποιήσεων καὶ τοῦ ἐξ ἀπαιδίας καὶ αὐτὰ συσταλῆναι ὀφείλουσιν. ἀλλὰ καὶ τοῦτο σημειωτέον, μήποτε οὐκ ὀρθῶς ἔχει τὸ μηδέν τι κατὰ δεσποτείαν τὴν ἄπορον καὶ παῖδας ἔχουσαν γυναῖκα λαμβάνουσαν τὸ τέταρτον εἰς τὴν εἰρημένην μοῖραν κερδαίνειν. τὸ μὲν γὰρ δίδοσθαι τῇ ἀπόρῳ γυναικὶ τῆς ἀνδρῴας περιουσίας τὸ τέταρτον καταρχὰς ἡ νγ' νεαρὰ εἰσηγήσατο, καὶ οὐδέν τι περὶ χρήσεως ἢ δεσποτείας εἶπεν, ἀλλ' ὁμοίως κατὰ πάντα τρακταΐζεσθαι τῇ ἑτέρᾳ διατάξει, ἥτις ταῖς ἀπροίκοις γυναιξὶν ἀλόγως ὑπὸ τῶν ἀνδρῶν πεμπομέναις τὸ τέταρτον τῆς ἐκείνων παρέχεται ὑποστάσεως· καὶ ἡ τοιαύτη διάταξις ἐν τῇ κβ' κειμένῃ νεαρᾷ χρήσεως ἢ δεσποτείας κατ' οὐδὲν μνημονεύει. ἀλλ' οἶμαι μέχρι τῆς νγ' νεαρᾶς ἔχειν καὶ κατὰ δεσποτείαν τὰ κέρδη τὰ γαμικὰ τοὺς γονεῖς τοὺς μὴ δευτε-

δέ τι πλέον δοῦναι τολμήσαιεν, τοῦτο μὲν τὸ πλέον ἀφαιρεῖται τοῦ λαβόντος, καὶ δίδοται τοῖς πρώτοις παισὶν ἐξ ἴσου αὐτὸ συμμερισομένοις, καὶ ὁ τὸ ἔλαττον δὲ λαβὼν παῖς ἐκ πάσης ἀνάγκης τὸ τοῦ φαλκιδίου μέρος ἔχειν ὀφείλει. εἰ δὲ εἰς τὸ ἔλαττον παρὰ θατέρου τῶν τεκόντων ἀποστῇ, εἰς ἐκεῖνο μὲν συνελαθήσεται καὶ ὁ πατρῷος ἢ ἡ μητρυά, καὶ εἴ τι πλεῖον θάτερον τῶν προσώπων παρὰ θατέρου πεφιλοτίμηται, ἐξ αὐτοῦ μὲν πρῶτον ἀναπληρωθήσεται ὁ παῖς εἰς ὁλόκληρον τὸν φαλκίδιον, καὶ εἴ τι ἄλλο ἐκ τῆς φιλοτιμίας ὑπολιμπάνεται, μόνοι τοῦτο οἱ παῖδες οἱ ἐκ τοῦ πρώτου γάμου πάντες ἐξ ἴσου διαμερίζονται [d]).

ια΄. Ἡ γυνὴ περὶ τὴν προγάμου δωρεὰν οὔτε τοῦ δημοσίου χρέους, κἂν μεταγενέστερόν ἐστιν, οὔτε τῶν προτέρων δανειστῶν τοῦ ἀνδρὸς προτιμᾶται, ἀλλὰ μόνον τῶν μεταγενεστέρων.

ρογαμοῦντας ὁ νόμος βουλόμενος, καὶ τὸ τῇ ἀπόρῳ γυναικὶ διδόμενον τέταρτον γαμικὸν κέρδος ἡγούμενος, καὶ τοῦτο κατὰ δεσποτείαν εἶναι αὐταῖς μὴ δευτερογαμούσαις ἐκ τοῦ σιωπῆσαι κατένευσεν. ἐπεὶ δὲ κατὰ τὴν ϛη΄ νεαρὰν πάντα τὰ γαμικὰ κέρδη καὶ μὴ δευτερογαμοῦντας τοὺς γονεῖς, παῖδας μέντοι ἔχοντας, ἀπεστέρησεν, εἰκότως κἂν [ἐν] τῇ ριζ΄ νεαρᾷ τῆς ἀπόρου γυναικὸς μνημονεύσας καὶ αὐτὴν οὐκ ἀεὶ τὸ τέταρτον λαμβάνειν εἶπεν, οὐδ' ὅσον ἂν εἴη, ἀλλ' ἄχρι μὲν λιτρῶν μόνον ἑκατόν· ὅτε δὲ πλείονες τριῶν οἱ παῖδες εἰσὶ, τότε μοῖραν παιδὸς ἀντ' αὐτοῦ· εἰκότως καὶ τὸ τῆς δεσποτείας αὐτὴν ἀφείλετο δίκαιον, τῆς προηγουμένης ϛη΄ διατάξεως οὐδέπω ἐναλλάξας τὴν δύναμιν. ἐν μέντοι τῇ ρκζ΄ νεαρᾷ πάντας τοὺς μὴ δευτερογαμοῦντας γονεῖς τήν τε χρῆσιν τῶν γαμικῶν κερδῶν καὶ μέρος παιδὸς ἐξ αὐτῶν κατὰ δεσποτείαν ἔχειν νομοθετήσας, καὶ τὰς ἀπόρους οἶμαι τοῖς εἰρημένοις γονεῦσι συνέταξε καὶ συνέμιξε. καὶ ταῦτα μὲν περὶ ἀπόρου γυναικός. τὸν μέντοι ἄπορον ἄνδρα ἐν τῇ νγ΄ νεαρᾷ καὶ αὐτὸν λαμβάνειν τὸ τέταρτον ἐκ τῆς γυναικείας ὑποστάσεως εἰπὼν, ἐν τῇ ριζ΄ τοῦτο ἀνεῖλεν.

d) Προστίθησι καὶ τοῦτο ἡ νεαρὰ, ὅτι δεδομένου ἐν τῷ κώδικι ἐν ἐξουσίᾳ τοῖς τε ἀνδρᾶσι καὶ ταῖς γυναιξὶ, συνεστῶτος τοῦ γάμου ἀπὸ κοινῆς συναινέσεως αὔξειν ἐξίσου καὶ ἐλαττοῦν τὰς προῖκας καὶ τὰς προγάμου δωρεὰς, οἱ δευτερογαμοῦντες, παῖδας ἔχοντες ἐκ τῶν προτέρων γάμων, αὔξειν μὲν δύνανται τὰς ἑαυτῶν προῖκας καὶ προγάμου δωρεὰς, οὐκέτι δὲ καὶ ἐλαττοῦν· ἀλλ' ὅσον ἂν ἐξ ἀρχῆς συνισταμένου τοῦ δευτέρου γάμου ἀλλήλοις φιλοτιμήσονται μὴ διὰ μόνης ὑποσχέσεως, τοῦτο διαμένειν ἀκίνητον, καὶ ἢ τοσοῦτον καὶ τῶν πρώτων παίδων ἕκαστον λαμβάνειν, ἢ εἰ μὴ τοσοῦτον λάβωσιν, τὸ πλέον τοῦ αὐτοῦ ἑκάστου ἢ τοῦ λαβόντος τὸ ἔλαττον δεδομένου ἐκ τούτου ἀφαιρεῖσθαι. πλὴν ταῦτα εἰπὼν ὁ νομοθέτης ἐπήγαγεν, ὅτι οὐ δεῖ μόνας τὰς ἐξ ἀρχῆς ἐπιδόσεις καὶ ὑποσχέσεις σκοπεῖν, ἀλλὰ μᾶλλον τὸ ἐν τῷ θανάτῳ ἀποτέλεσμα καὶ τὸ ποσὸν τῆς ὑποστάσεως. ὅπερ οὐ καθαρῶς νοῆσαι δυνάμεθα· δοκεῖ γὰρ ἀλλήλοις τὰ δύο νοήματα διαφέρεσθαι.

Ταῦτα[17]) τὰ μέχρι τοῦ τέλους τοῦ τίτλου κεφάλαια οὐχ ὡς ἐγκριθέντα ἐτέθησαν, ἀλλ' ὡσανεὶ μαχόμενα τῷ ε' καὶ ς' καὶ ζ' καὶ η' καὶ θ' παρετέθησαν.

ιβ'. Ἡ e) μὴ δευτερογαμοῦσα μήτηρ καὶ πᾶς ἀνιὼν μὴ δευτερογαμῶν λαμβάνει πρὸς τῇ χρήσει τῶν γαμικῶν κερδῶν καὶ μέρος τι κατὰ δεσποτείαν ἑνὸς παιδός. τοῦτο δὲ ἐπὶ τῶν τελευτῇ καὶ οὐ διαζυγίῳ λυομένων γάμων. τοῖς δὲ παισὶν ἁρμόζει πᾶν γαμικὸν κέρδος ἐξ οἱασδήποτε λύσεως κατὰ δεσποτείαν, κἂν μὴ δευτερογαμήσωσιν οἱ γονεῖς αὐτῶν, οἵτινες τὴν χρῆσιν τῶν τοιούτων κερδῶν ἔχουσι, τρέφοντες τοὺς ἑαυτῶν παῖδας.

ιγ'. Τῆς f) μητρὸς ἅπαξ εἰς δευτέρους γάμους ἐλθούσης, κέρδος εὐθὺς ἁπάντων τῶν παίδων τὴν δεσποτείαν τῆς προγαμιαίας δωρεᾶς γίνεσθαι, καὶ μηδεμίαν ἄδειαν εἶναι τῇ μητρί, τοὺς μὲν τῶν παίδων ἐπιλέγεσθαι, τοὺς δὲ ἀτιμάζειν, διότι πάντας ὁμοῦ τοῖς δευτέροις ὕβρισε γάμοις. ὥστε καὶ ἐπὶ τοῦ παρόντος ἡ δεσποτεία τῆς προγαμιαίας δωρεᾶς ὅλη πρὸς τὴν παῖδα παραγενήσεται, τῆς χρήσεως παρὰ τῇ μητρὶ μέχρι περίεστι φυλαττομένης· καὶ εἰ μὲν ἡ μήτηρ προαπέλθοι, τῇ παιδὶ τῆς ὅλης προγαμιαίας δωρεᾶς ἁρμοζούσης· εἰ δὲ ἡ παῖς, μένειν μὲν παρὰ τῇ μητρὶ τὸ ἐκ τοῦ τῆς ἀπαιδίας συμφώνου κέρδος, τὸ δὲ λοιπὸν εἶναι τῆς παιδὸς, καὶ τελευτῶσαν τοῦτο παραπέμπειν εἰς τοὺς

e) Τοῦτο τὸ κεφάλαιον ἐναντίον αὐτὸ ἐν αὐτῷ. εἰ γὰρ ἡ μὴ δευτερογαμοῦσα μήτηρ καὶ πᾶς ἀνιὼν μὴ δευτερογαμῶν λαμβάνει πρὸς τῇ χρήσει τῶν γαμικῶν κερδῶν καὶ μέρος τι κατὰ δεσποτείαν ἑνὸς παιδὸς ἐπὶ τῶν τελευτῇ διαλυομένων, πῶς ἁρμόζει πᾶν γαμικὸν κέρδος τοῖς παισὶν ἐξ οἱασδήποτε λύσεως; καὶ γὰρ κυρίως τῶν γάμων διάλυσις, ἣν ἀπεργάζεται θάνατος. ἀλλ' οἶμαι, τὰς δύο νεαρὰς τήν τε ϟη' καὶ τὴν ρκζ' ἐναντίας οὔσας ἑαυταῖς εἰς ταὐτὸ συνάγων ἠγνόησε· τὸ μὲν γὰρ ἁρμόζειν πᾶν γαμικὸν κέρδος τοῖς παισὶν τῆς ϟη' ἐστὶν, τὸ δὲ λαμβάνειν μέρος τι τοὺς μὴ δευτερογαμοῦντας τῆς ρκζ'. εἰ οὖν αὕτη ἀναιρεῖ τὴν πρὸ αὐτῆς, ἐστὶ τὸ τῆς ϟη' ἀνῃρημένον. πλὴν καὶ ἀμφότερα τῷ ε καὶ η κεφαλαίῳ διαφέρεται, καὶ εἰ ἐκεῖνα ἰσχυρά, τοῦτο, κἂν ἐγράφη, μάταιον.

f) Τοῦτο τὸ κεφάλαιόν ἐστι μὲν τῆς β' νεαρᾶς αὐτοῖς ῥήμασιν ἐκτεθειμένον, τὸ δὲ αὐτὸ κεῖται κατὰ τὴν κβ' νεαρὰν πλατύτερόν τε καὶ ἀκριβέστερον, οὗ τὴν ἀληθῆ διάνοιαν ἐν τῷ σχολίῳ παρατεθεῖσαν ἔστιν εὑρεῖν, ἐν ᾧ περὶ τῆς ἐκποιήσεως λέγεται. καὶ τοῦτο δὲ τῷ ζ' κεφ. κατὰ μὲν τὸ πάσης ἐκπίπτειν τῆς προγάμου δωρεᾶς τῆς δεσποτείας δοκεῖ διαφέρεσθαι. ἐκεῖνο γὰρ τὸ ἥμισυ αὐτῇ τῇ γυναικὶ δίδωσι. δύναται δὲ συνᾴδειν αὐτῷ ἐπὶ ταῖς ἑτέρου ἡμίσεως ἐκποιήσεσιν πρὸς τὴν ἐντεῦθεν ἀναλογίαν καὶ ἐκεῖ τῶν ἐκποιουμένων εἴτε ἀνδρῶν τὰς προῖκας, εἴτε γυναικῶν τὰς προγάμου δωρεὰς, ὧν οὐκ ἔχουσι τὴν δεσποτείαν, κανονιζομένων.

17) Haec ita sequentibus inscribuntur in C: in A vero in margine adnotata sunt. Testantur §§. 12—16 et 17 hujus tituli Epanagoges proprie non esse, sed alium de — ex Prochiro, ut videtur, — a scholiasta adscriptas.

αὐτῆς κληρονόμους, εἴ τινες ἐκ τοῦ νόμου καλοῖντο. εἰ γὰρ οὐ παιδὶ τυχὸν, ἀλλά τινι τῶν ἔξωθεν ἡ μήτηρ, ἔτι δευτέρων ἄπειρος οὖσα γάμων, μοῖράν τινα τῆς προγαμιαίας δωρεᾶς ἢ τινα πράγματα ἐξ αὐτῆς ἢ πᾶσαν δωρήσηται ἢ κατὰ ἄλλον τυχὸν ἐκποιήσηται τρόπον, εἶτα ὕστερον εἰς ἀνδρὸς φοιτήσειε δευτέρου, πρόδηλον ὡς τῷ ἐπιγενομένῳ δευτέρῳ γάμῳ τὸ τῆς ἐκποιήσεως ἀνατραπήσεται· καὶ οὐδὲ αὐτὸ πᾶσι τρόποις, ἀλλ' ἐν μετεώρῳ καὶ τὰ τῆς ἐκποιήσεως καὶ τὰ τῆς ἀνατροπῆς μένει. εἰ μὲν γὰρ μείναιεν περιόντες οἱ παῖδες, ἀνατραπήσεται καθάπαξ τὸ γενόμενον, τοῦ νόμου τὴν δεσποτείαν τῆς προγάμου δωρεᾶς εἰς τοὺς παῖδας ἄγοντος καὶ οὐδὲν ἐπιστρεφομένου τῆς γυναικὸς, εἴ τι πράξειεν ἐπὶ βλάβῃ τῶν παίδων. εἰ δὲ προτελευτήσαιεν ἅπαντες τῆς μητρὸς, μένειν τὸ συνάλλαγμα βέβαιον, οὐκ εἰς ὁλόκληρον, ἀλλὰ κατὰ τοῦτο δὴ τὸ ἐξ ἀπαιδίας σύμφωνον, καὶ κατά τινα μὲν μοῖραν ἔσται τὸ συνάλλαγμα βέβαιον, κατά τινα δὲ ἄκυρον ἀποφανθήσεται· τουτέστι κατὰ μὲν τὸ μένον παρὰ τῇ μητρὶ προφάσει τοῦ ἐξ ἀπαιδίας συμφώνου κρατήσει, κατὰ δὲ τὸ παραπεμπόμενον εἰς τοὺς τοῦ παιδὸς διαδόχους ἄκυρον ἔσται. ὡς εἴγε ἡ μήτηρ μόνη τῷ παιδὶ διάδοχος εὑρεθείη, τὸ πᾶν αὖθις κύριον ἔσται.

ιδ΄. Θεσπίζομεν g) τὰ ἄλλα πράγματα τὰ μετὰ τὴν προγάμου δωρεὰν εἰς τοὺς παῖδας ἀφιγμένα, εἰ μὲν ὁ παῖς ἄῤῥην ἢ θήλεια τυχὸν διάθοιτο, κατὰ τὸν νόμον χωρεῖν ἐπὶ τοὺς γεγραμμένους κληρονόμους· ἐνταῦθα τῆς μητρὸς οὐ κωλυομένης γράφεσθαι κληρονόμου, ἀλλὰ καὶ τῶν κατὰ τῆς διαθήκης αὐτῇ διδομένων δικαίων, εἴγε ὁ παῖς αὐτὴν παραλείψειεν ἢ καὶ ἀλόγως ἀπὸ κληρονόμων ποιήσειεν· εἰ δὲ ἀδιάθετος τελευτήσειεν, τῆς ἐκείνου μοίρας, εἰ μὲν ἔχοι παῖδας ἰδίους, ἐπὶ τοὺς ἰδίους παῖδας ἀφικνουμένης, εἰ δὲ οὐκ ἔχοι μὲν παῖδας ἰδίους, εἴη δὲ τῶν ἀδελφῶν ἡ κλῆσις, καὶ τῆς μητρὸς ἅμα τοῖς ἀδελφοῖς ἐπὶ τὸν κλῆρον ἐρχομένης καὶ τοῦτον ἰσχυρῶς ἐχούσης, εἴτε δευτέροις ὡμίλησε γά-

g) Καὶ τοῦτο τὸ κεφ. ἐστὶ μὲν τῆς β νεαρᾶς, ἀλλ' ἀνῄρηται ὑπὸ τῆς κβ΄, κατὰ τὸ ἐκεῖσε, ὡς καὶ παρετέθη, ὅσα μὲν πράγματα μετὰ τὴν προγάμου δωρεὰν ἤτοι μετὰ τὰ γαμικὰ κέρδη κληρονομήσει ἡ μήτηρ ἐκ τῆς ὑποστάσεως τοῦ παιδὸς περιελθόντα εἰς αὐτὸν ἐκ τῆς πατρικῆς αὐτοῦ περιουσίας, τούτων μόνην τὴν χρῆσιν ἔχειν αὐτὴν, μέχρι περίεστιν, καὶ τελευτώσης αὐτῆς ἔρχεσθαι αὐτῶν τὴν δεσποτείαν ἐπὶ τοὺς ἄλλους αὐτῆς παῖδας καὶ τοὺς τοῦ τελευτήσαντος ἀδελφούς. εἰ δὲ οὗτοι προτελευτήσειεν τῆς μητρὸς, ἀπορεῖται σιωπηθὲν, πότερον καὶ ἐπὶ τοὺς παῖδας αὐτῶν ἢ τοὺς ἄλλους συγγενεῖς ἐλεύσεται ἡ δεσποτεία τῶν πραγμάτων ἐκείνων, ὡς εἴρηται καὶ ἐπὶ τῶν γαμικῶν κερδῶν, ἢ μόνον τῶν ἀδελφῶν προτελευτώντων μενεῖ παρὰ τῇ ζώσῃ μητρὶ καὶ ἡ δεσποτεία. ὅσα δὲ πόθεν ἀλλαχόθεν παρὰ τὴν πατρῴαν ὑπόστασιν ἦν πράγματα τῷ τελευτήσαντι παιδὶ, καὶ ταῦτα ἡ μήτηρ ἐκληρονόμησεν, ἔχειν αὐτῶν αὐτὴν καὶ τὴν δεσποτείαν. καὶ ταῦτα μὲν ἐξ ἀδιαθέτου· εἰ μέντοιγε διαθήκην ὁ παῖς ποιήσειεν, ὡς ἂν ἐκεῖνος εἴποι γίνεσθαι, οὕτως [γινέσθω·] καὶ εἴ τι καταλείποι τῇ μητρὶ, ὁπόθεν ἂν εἴη δίχα τῶν γαμικῶν κερδῶν, τοῦτο ἔχειν αὐτὴν κατά τε χρῆσιν καὶ δεσποτείαν. διαφέρεται δὲ ταῦτα τῷ ζ΄ κεφαλαίῳ, καθ' ὃ ἐκεῖνο ἀπροσδιορίστως φησὶ, τὴν δευτερογαμοῦσαν μητέρα τὸν ἄπαιδα καὶ ἀδιάθετον αὐτῆς υἱὸν σὺν τοῖς αὐτοῦ ἀδελφοῖς κληρονομεῖν.

μοις εἴτε καὶ μή. τῆς δὲ προγαμιαίας δωρεᾶς εἰς δεύτερον ἐλθοῦσα συνοικέσιον, μηδὲ καθ᾽ ὅσον κληρονομεῖ τοῦ παιδὸς, ἀπολαβέτω. ἀλλὰ τοῦτο τῶν παίδων ἔστω μόνον κέρδος αὐτοῖς παρὰ τοῦ νόμου δεδομένον, καὶ μὴ δοκοῦν εἶναι μέρος τοῦ κλήρου τοῦ παιδὸς, ἀλλ᾽ ἔτι τῆς προγαμιαίας δωρεᾶς οὐκ ἀποβάλλον τὴν φύσιν.

ιε΄. Εἰ h) δέ τινες τοῖς ἔμπροσθεν οὐκ ἀρκεσθέντες γάμοις καὶ πρὸς δευτέρους ἔλθοιεν, εἰ μὲν ἄπαιδες μείνοιεν ἐκ τῶν προτέρων ἢ καὶ ἐξ ἀμφοτέρων τῶν γάμων, οὐδεμία πολυπραγμοσύνη περὶ τὰ δεύτερα· ἀλλ᾽ ἄνδρες μὲν ἀπελεύσονται παντοίως πάσης παρατηρήσεως ἐλεύθεροι, γυναιξὶ δὲ μόνον ἐπικείσεται δέος, το μὴ πρὸ τοῦ ἐνιαυσιαίου χρόνου πρὸς δεύτερον ἐλθεῖν συνοικέσιον, ἢ γινώσκειν, ὡς εἴ τι τοιοῦτον πράξαιεν καὶ ἀώρους συναλλάξαιεν γάμους, ὑφέξουσι ποινάς· ἄλλας μὲν, εἴπερ ἄπαιδες ἐκ τῶν προτέρων ὦσι συνοικεσίων, μείζους δὲ, εἰ καὶ παῖδες ὑπεῖεν. εἰ μὲν γὰρ οὐχ ὕπεστι γονὴ, τὸ τῆς ἀτιμίας εὐθὺς ἀκολουθήσει, καὶ ἔσται παντοίως ἡ γυνὴ διὰ τὴν τῶν γάμων σπουδὴν ἠτιμασμένη, καὶ ἑξῆς ὡς ἐτέθη ἐν τῷ ς΄ κεφαλαίῳ [18]).

ις΄. Εἰ i) δὲ καὶ ἀναμείνοι μὲν τὸν χρόνον ἡ γυνὴ καὶ ταύτῃ διαφύγοι τὰς εἰρημένας ποινὰς, ἐπὶ δεύτερον δὲ ἀφίκοιτο συνοικέσιον τὸν πρότερον ἀμελήσασα γάμον, εἰ μὲν οὐκ ἔχοι παῖδας, εἰρήσθω γὰρ καὶ αὖθις, ἀκίνδυνον ἅπαν τὸ ἐντεῦθεν. εἰ δὲ ὑπείη γονὴ, καὶ παῖδας ὁ νόμος ἐντεῦθεν ἀτιμασθέντας ἴδοι, τηνικαῦτα πάσης φιλοτιμίας παρὰ τοῦ ἀνδρὸς εἰς αὐτὴν ἐλθούσης κατὰ τὸ τῆς δεσποτείας ἀφαιρεῖται μέρος, μόνην αὐτῇ καταλείπων τὴν χρῆσίν τε καὶ ἐπικαρπίαν. καὶ ταῦτα νενομοθετήσθω καὶ ἐπὶ τῆς προγάμου δωρεᾶς καὶ ἐπὶ πάσης ἑτέρας φιλοτιμίας παρὰ τοῦ ἀνδρὸς εἰς αὐτὴν ἐλθούσης ἢ καὶ ἐν ζωῇ παρὰ τοῦ ἀνδρὸς εἰς αὐτὴν γενομένης ἢ καὶ ἐκ διαθήκης ἢ καὶ τῆς μετὰ θάνατον δωρεᾶς, εἴτε ἐνστάσεως εἴη μέρος εἴτε πρεσβεῖον· καὶ οἱ παῖδες αὐτὰ λήψονται κατὰ δεσποτείαν κατὰ τὸν καιρὸν εὐθὺς, καθ᾽ ὃν ἡ μήτηρ συνῴκησεν ἄλλῳ. καὶ ταῦτα κοινὰ γυναικὸς καὶ ἀνδρὸς ἐπιτίμια κείσθω, τοῦ μὲν ἐπὶ τῇ προικὶ,

h) Καὶ τοῦτο τὸ κεφ. συνᾴδει τῷ ς΄ ἔχοντι τὴν προσθήκην· πλὴν ἐκεῖνο, κατὰ τὸ μὴ κληρονομεῖν τοὺς παῖδας τὴν τοιαύτην μητέρα, τούτου περισσότερον.

i) Καὶ τοῦτο τὸ κεφάλαιον ἐναντίον τῷ ζ΄, καθ᾽ ὃ ἐκεῖνο μὲν δίδωσι τῆς προγάμου δωρεᾶς τῇ δευτερογαμούσῃ καὶ κατὰ δεσποτείαν τὸ ἥμισυ, τοῦτο δὲ κατὰ δεσποτείαν παντελῶς οὐδὲν αὐτῇ δίδωσι. δύναται δὲ τὸ ἐνταῦθα περὶ [τῆς] τῶν χρόνων ποσότητος καὶ τῆς ἀρχῆς τοῦ δρόμου αὐτῶν κἀκεῖσε χρήσιμα εἶναι, εἴτε ἡ γυνὴ ἐκ τοῦ ἑτέρου ἡμίσεως, ὅπερ οὐκ ἔχει κατὰ δεσποτείαν, ἐκποιήσεται, εἴτε ὁ ἀνὴρ ἐκ τῆς προικὸς ἢ τῶν ἄλλων, ὅσα μητρῷα τῶν παίδων εἰσὶν, εἰς ἕτερα πρόσωπα μετατιθείη· ταῦτα γὰρ οἱ παῖδες μετὰ τὸ γενέσθαι αὐτεξούσιοι, ἔφηβοι ὄντες, μέχρι τριακονταετίας δύνανται διεκδικεῖν.

18) In C ad marginem est: σχόλιον. Ἰστέον, ὅτ᾽ ἐκεῖσε καινότερον τῆς νεαρᾶς τὸ μὴ κληρονομεῖν αὐτὴν ἀδιορίστως τοὺς ἰδίους παῖδας. — Cf. schol. h.

τῆς δὲ ἐπὶ τῇ προγάμου δωρεᾷ· ὅτι περ οὐδὲ ἐκποίησιν οὐδεμίαν ἐφίησι τοῖς γονεῦσιν ὁ νόμος οὐδὲ ὑποθήκην, ἀλλὰ κἂν εἴ τι πράξαιεν οἱ γονεῖς, εὐθὺς τὴν ἑαυτῶν ὑποτίθησιν αὐτοῖς περιουσίαν, οὐχ ὥστε κωλύειν τοὺς γονεῖς ἑαυτοῖς τι πράττειν ὧν βούλονται, αἰσχύνεται γὰρ ὁ νόμος σωφρονιστὰς τοὺς παῖδας τοῖς γεννήσασιν ἐπιστῆσαι, ἀλλ' ἐκείνους μὲν ἐρυθριᾷ, διαπειλεῖ δὲ τοῖς λαμβάνουσιν ὡς οὐδὲν αὐτοὺς τὸ ληφθὲν ὀνήσει· ἐκδικήσουσι γὰρ αὐτὰ πάντως οἱ παῖδες, κληρονόμοι τε αὐτῶν καὶ διάδοχοι, παρὰ κληρονόμων ἐκείνων καὶ διαδόχων, οὐκ ἄλλως ἀποκλειόμενοι πλὴν εἰ τριακονταέτης παρέλθοι χρόνος καὶ ἡ κατοχὴ κυρίους τοὺς λαβόντας καταστήσει, ἀρχομένου τοῖς παισὶ τοῦ χρόνου τρέχειν, ἐξ οὗπερ αὐτεξούσιοι φανεῖεν ὄντες ἢ γενόμενοι, πλὴν εἰ μή τις ἄνηβος ἡλικία προσβοηθήσειεν ἔτι. ἐλεύσεται δὲ τὰ τοιαῦτα τῶν κερδῶν εἰς τοὺς παῖδας ἅπαντας τοὺς ἐκ τοῦ προτέρου γάμου.

ιζ'. Εἴ k) τις ἄπορον γυναῖκα κατὰ τὴν τοῦ νόμου παρατήρησιν λάβοι καὶ ταύτης προτελευτήσοι, εἰ μὲν ἄχρι τριῶν ἔχει παίδων ὁ ταύτης ἀνήρ, εἴτε ἐξ αὐτῆς εἴτε ἐξ ἑτέρου συνοικεσίου, τὸ τέταρτον μέρος τῆς οὐσίας τοῦ ἀνδρὸς αὐτὴ λαμβάνει, οὕτω μέντοιγε ὥστε μὴ ὑπερβαίνειν τῶν ρ̄ τοῦ χρυσίου λιτρῶν ποσότητα. εἰ δὲ πλείονες ἦσαν οἱ παῖδες, τοσοῦτον ἐπὶ τοῦ τοιούτου θέματος λαμβάνειν κελεύομεν τὴν γυναῖκα, ὅσον ἑνὶ τῶν παίδων ἁρμόζει. οὕτω δηλαδή, ὥστε χρῆσιν μόνην ἔχειν ἐπὶ τοῖς τοιούτοις πράγμασι τὴν γυναῖκα, τὴν δεσποτείαν δὲ ἐκείνοις τοῖς παισὶ φυλάττεσθαι, οὓς ἐξ αὐτοῦ τοῦ γάμου ἔσχεν. εἰ δὲ ἡ τοιαύτη γυνὴ παῖδας ἐξ αὐτοῦ μὴ ἔχοι, κελεύομεν καὶ δεσποτείας δικαίῳ ἔχειν αὐτὴν τὰ πράγματα, ἅπερ ἐκ τῆς τοῦ ἀνδρὸς οὐσίας εἰς αὐτὴν ἐληλύθασιν.

k) Καὶ τοῦτο τὸ κεφάλαιον διαφέρεται τοῦ θ', κατά τε τὸ ὡρισμένον μέτρον τοῦ τετάρτου τῶν ρ̄ λιτρῶν, καὶ κατὰ τὸ παίδων ὄντων ἔχειν τὴν μητέρα μὴ δευτερογαμοῦσαν καὶ κατὰ δεσποτείαν τὸ τέταρτον· καὶ τρίτον, ὅτι ἐκεῖνο μὲν περὶ ἀπροίκου φησὶ γυναικός, εἴτε εὔπορός ἐστιν εἴτε ἄπορος, τοῦτο δὲ τῆς ριζ' νεαρᾶς ὃν περὶ μόνης ἀπόρου διαλαμβάνει· τῇ γὰρ εὐπόρῳ κἂν ἄπροικός ἐστι, διότι προῖκα οὐκ ἐπέδωκεν, οὐδὲν ὅλως ἡ νεαρὰ δίδωσιν· εἰ οὖν ἐκεῖνο ἐγκρίνεται, τοῦτο, κἂν ἐγράφη, μάταιον.

ΤΙΤΛΟΣ ΕΙΚΟΣΤΟΣ.

Περὶ δωρεῶν μεταξὺ ἀνδρὸς καὶ γυναικὸς γινομένων.

Κεφ. α'. Μεταξὺ ἀνδρὸς καὶ γυναικὸς οὐκ ἔῤῥωται δωρεά, διὰ τὸν ἔρωτα, καὶ τὸ μὴ ἔχειν αὐτοὺς διαζυγίου πρόφασιν ἐκ τοῦ μὴ δωρεῖσθαι, καὶ διὰ τὸ μὴ γίνεσθαι τὸν εὔπορον ἄπορον καὶ τὸν ἄπορον εὔπορον.

β'. Καλῶς δὲ ἀλλήλοις τῇ αἰτίᾳ τοῦ θανάτου δωροῦνται. εἰς καιρὸν γὰρ ἀναφέρεται, ἐν ᾧ ὁ γάμος παύεται, καὶ τῷ θανάτῳ τοῦ δωρησαμένου γίνεται τοῦ λαμβάνοντος, ἐν δὲ τῷ μεταξὺ τοῦ δωρησαμένου ἐστίν, ὡς ἦν ἀπαρχῆς.

γ'. Ἐὰν ὁ ἀνὴρ δωρησάμενος τελευτήσῃ ἐφησυχάσας τῇ δωρεᾷ, βεβαιοῦται τῇ τελευτῇ αὐτοῦ ἡ δωρεά. ὡσαύτως δὲ καὶ ἐπὶ γυναικός.

δ'. Οὐ μόνον ἐπὶ τῶν συνεστώτων γάμων, ἀλλὰ καὶ ἐπὶ τῶν κεκωλυμένων, ἀνίσχυροί εἰσιν αἱ δωρεαί.

ε'. Καὶ οἱ συνυπεξούσιοι τῶν γεγαμημένων, ἐλεύθεροί τε καὶ δοῦλοι, κωλύονται δωρεῖσθαι, καὶ ὑπεξούσιοι τοῖς ὑπεξουσίοις. ὅθεν ἡ γυνή μου τῷ ὑπεξουσίῳ μου υἱῷ οὐκ ἐῤῥωμένως δωρεῖται, εἰ μὴ ἐπὶ τὰ κάστρα [a]) ἀπιόντι· ἰδιόκτητον γὰρ αὐτοῦ γίνεται. καὶ ὁ ὑπεξούσιός μου ἐκ τοῦ ἰδιοκτήτου πεκουλίου καλῶς δωρεῖται τῇ γαμετῇ μου. ὁ γοῦν ἔχων υἱὸν ὑπεξούσιον καὶ τῇ ἰδίᾳ γαμετῇ καὶ τῇ νύμφῃ δωρεῖσθαι κεκώλυται.

ϛ'. Ὁ πενθερὸς τῷ γάμβρῳ καὶ τῇ νύμφῃ, ὅτε οὐχ ὕπεστι λόγος ὑπεξουσιότητος, καλῶς δωρεῖται. ὡσαύτως καὶ ἡ πενθερὰ ἑκατέρῳ προσώπῳ, ἀλλὰ καὶ ἡ νύμφη καὶ ὁ γαμβρὸς τῷ πενθερῷ καὶ τῇ πενθερᾷ, καὶ ἔῤῥωνται αἱ μεταξὺ αὐτῶν δωρεαί.

ζ'. Αἱ μεταξὺ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς ἐῤῥωμέναι δωρεαὶ προβαίνουσι [2]) καὶ μεταξὺ πενθεροῦ καὶ νύμφης, καὶ τῶν ἄλλων, ὅσοι δι' ὑπεξουσιότητα δωρεῖσθαι κωλύονται.

η'. Αἱ πρὸ τοῦ γάμου δωρεαὶ ἰσχύουσι, κἂν ἐν αὐτῇ τῇ ἡμέρᾳ γαμηθῶσιν.

θ'. Διαζυγίου γενομένου ἡ δι' αἰτίαν θανάτου δωρεὰ οὐκέτι ἤρτηται, ἀλλ' ἀκυροῦται [3]).

ι'. Ἐπὶ τῶν κεκωλυμένων, εἰ μὲν φαίνεται τὸ δωρηθὲν, ἐκδικεῖται· εἰ δὲ δεδαπάνηται, ἀπαιτεῖται ὁ δεξάμενος ἐπὶ τοσοῦτον, ὅσον γέγονεν εὐπορώτερος.

ια'. Ἐὰν δωρεᾶς ἐν γάμῳ γενομένης συμβῇ ἀποθανεῖν ἅμα τὸν ἄνδρα καὶ τὴν γυναῖκα, οὐδέτερος ἐνάγει· ἐπειδὴ οὐδεὶς αὐτῶν ἐπέζησε τῷ ἑτέρῳ.

ιβ'. Εἰ μὲν μὴ ἔχων πρόθεσιν ὁ ἀνὴρ πωλῆσαι πέπρακε τῇ γυναικὶ διὰ τὸ δωρεῖσθαι αὐτῇ, ἄκυρος ἡ πρᾶσις· εἰ δὲ πωλῆσαι βουλόμενος ὀλίγου πέπρακεν, εἰς ὃ γέγονεν ἡ γυνὴ πλουσιωτέρα, ἀκυροῦται. τυχὸν γὰρ δοῦλον ιε νομισμάτων ἄξιον ἐπώλησεν εἰς

a) Ἤ τοι ἐν ταξατίωνι [1]).

1) Lege ταξειδίῳ.
2) A: προβάλλουσι.
3) A: ἀλλὰ κυροῦται.

$\overline{\text{ε}}$ νομίσματα, καὶ νῦν ἄξιός ἐστι $\overline{\text{ι}}$ νομίσματα· τὰ $\overline{\text{ε}}$ δίδωσιν, εἰς ἃ νῦν ἐστιν εὐπορωτέρα.

ιγ'. Ἐὰν ἧττονα τῶν $\overline{\text{ιβ}}$ ἐνιαυτῶν ἀγαγόμενός τις δωρήσηται αὐτῇ, εἰ μὲν προῦπῆν μνηστεία, ὡς πρὸς μνηστὴν ἡ δωρεὰ ἔῤῥωται. εἰ δὲ μὴ προῆν μνηστεία, ἄκυρος ἡ δωρεά· οὐ γὰρ πρὸς ἐξωτικὴν, ἀλλὰ πρὸς γαμετὴν ἐγένετο.

ιδ'. Οὐ λαμβάνει ὁ ἀνὴρ, εἴ τι ἐδαπάνησεν εἰς τοὺς τεχθέντας ἐκ τῶν προικιμαίων δούλων, ἢ δέδωκεν εἰς μάθησιν αὐτῶν ἢ εἰς τροφάς· τῇ γὰρ ὑπηρεσίᾳ αὐτῶν κέχρηται. τὸ δὲ δοθὲν ταῖς τροφαῖς αὐτῶν λαμβάνει ὡς ἐπὶ σωτηρίᾳ δοθὲν, ὃν τρόπον εἰ παρὰ λῃστῶν συλληφθέντας τοὺς προικιμαίους ἀναῤῥύσηται δούλους.

ιε'. Ἐὰν τῆς γυναικὸς ὁ ἀγρὸς ἢ ἡ οἰκία ἢ ἄλλο τι τοιοῦτον ἐν ἀφανισμῷ καταστῇ, ὁ δὲ ἀνὴρ ἐκ τῆς ἰδίας ὑποστάσεως δωρήσηται τῇ γυναικὶ πρὸς τὸ ἀποκαταστῆσαι αὐτὰ εἰς τὸ ἀρχαῖον σχῆμα, ἡ τοιαύτη τῶν δωρεῶν ἔῤῥωται, καὶ οὐδὲν ἡ γυνὴ ὑπὲρ τῶν τοιούτων δαπανημάτων τῷ ἀνδρὶ καταβαλεῖ.

ιϛ'. Ἐὰν δὲ τῆς γυναικὸς ἀγορασάσης ἢ δανεισαμένης ὁ ἀνὴρ ὑπὲρ αὐτῆς καταβαλὼν ἐλευθερώσῃ αὐτὴν, τὸ ὅλον αὐτὴν ἀπαιτεῖ ὡς γενομένην εὐπορωτέραν.

ιζ'. Ἐὰν ἡ γυνὴ τὰ δωρηθέντα αὐτῇ παρὰ τοῦ ἀνδρὸς δαπανήσῃ περὶ συνηθείας προκοπῆς συγγενοῦς αὐτῆς, ἔῤῥωται ἡ δωρεά. πλουσιωτέρα γὰρ οὐ γέγονεν, εἰ καὶ μὴ ἐδανείσατο.

ΤΙΤΛΟΣ ΕΙΚΟΣΤΟΣ ΠΡΩΤΟΣ.

Περὶ λύσεως γάμου.

Κεφ. α'. [a]) Διαλύεται [b]) ὁ γάμος [c]), ὅταν ἄσκησιν θάτερον

a) Δεῖ εἰδέναι, ὡς ὁ παρὼν ἐκαινίσθη νόμος ὑπὸ τοῦ ἡμετέρου εὐσεβοῦς βασιλέως. ἔχει γὰρ οὕτω τὸ δόγμα· Θεσπίζομεν τὰ ἐπὶ σωφροσύνῃ καὶ κατὰ συναίνεσιν διαλύεσθαι μέλλοντα συνοικέσια μὴ ἄλλως πως διαλύεσθαι εἰ μὴ ἄρα τῶν προσώπων ἑκάτερον ἐν ὁμοίᾳ φιλοθέῳ γνώμῃ καὶ ἴσῳ χρόνῳ τὸν μοναδικὸν ἀναλάβοι βίον [1]).

b) σχόλιον. Ἰστέον, ὅτι ἐν μὲν τῇ κβ' νεαρᾷ, καθ' ἣν καὶ τοῦτο ἐστὶ τὸ κεφ., κατὰ συναίνεσιν διαλύεσθαι τὰ συνοικέσια Ἰουστινιανὸς συνεχώρησεν, οὐκ αὐτὸς τοῦτο εἰσάγων, ἀλλ' ἐμμένων ὡς ἔφη τοῖς παλαιοῖς· ἐν δὲ τῇ ριζ' νεαρᾷ τὴν ἀπὸ συναινέσεως διάλυσιν ἀναιρῶν οὕτως αὐτοῖς ῥήμασι

1) Cf. Proch. tit. XI §. 4.

ἕληται τῶν μερῶν d) e) πρὸς τὴν ἐπὶ τὰ κρείττω μεταβαῖνον ὁδόν, βραχείας ὑπολειπομένης τῷ καταλελειμμένῳ παραμυθίας· ὅπερ γὰρ συμφωνήσειαν οἱ συμβάλλοντες ἀπὸ τελευτῆς γενέσθαι κέρδος, τοῦτο ἔχειν δεῖ τὸν καταλελειμμένον παρὰ θατέρου, εἴτε ἀνὴρ εἴτε γυνὴ καθεστήκοι, διότι καὶ οὗτος τό γε ἐπὶ τῷ συνοικήσαντι δοκεῖ τελευτᾶν ἑτέραν ἀνθ' ἑτέρας βίου πορείαν ἑλόμενος.

β'. Διαλύεται ὁ γάμος καὶ κατὰ πρόφασιν ἀναγκαίαν τε καὶ οὐκ ἄλογον, ὅταν τὶς οὐχ οἷός τε εἴη συνιέναι τῇ γυναικί, καὶ ἃ δέδωκεν η φύσις πράττειν ἀνδράσιν οὐ πράττει, ἀλλὰ τριετία μὲν παραδράμοι ἐκ τοῦ τῶν γάμων καιροῦ, ὁ δὲ ὅτι ταῖς ἀληθείαις ἐστὶν ἀνὴρ οὐ δεικνύει. ἔξεστι γὰρ τῇ γυναικὶ ἢ τοῖς γε αὐτῆς γονεῦσι διαζευγνῦναι τὸ συνοικέσιον καὶ στεῖλαι διάλυσιν, κἂν εἰ μὴ βούλοιτο τοῦτο ὁ συνοικῶν. κἀνταῦθα ἡ μὲν προίξ, εἴ τις ὅλως ἐστὶν ἐπιδεδομένη, ἀκολουθήσει τῇ γυναικὶ καὶ ἀποδώσει ταύτην ὁ ἀνήρ, εἴγε τύχοι λαβών· ἡ δὲ διὰ τὸν γάμον ἤτοι πρὸ τῶν γάμων δωρεὰ μενεῖ παρὰ τῷ ἀνδρὶ οὐδὲν οἴκοθεν ζημιουμένῳ.

λέγει· ἐπειδὴ δὲ καὶ ἀπὸ συναινέσεώς τινες μέχρι τοῦ παρόντος τοὺς πρὸς ἀλλήλους διέλυον γάμους, τοῦτο τοῦ λοιποῦ γίνεσθαι οὐδενὶ συγχωροῦμεν τρόπῳ, εἰ μὴ τυχόν τινες σωφροσύνης ἐπιθυμίᾳ τοῦτο ποιήσωσιν. εἰ δὲ τὰ τοιαῦτα πρόσωπα παῖδας ἔχοιεν, τοῦτο μὲν τὴν προῖκα τοῦτο δὲ τὴν προγαμιαίαν δωρεὰν τοῖς αὐτῶν φυλάττεσθαι παισὶ διατυποῦμεν. εἰ δέ τις τούτων ἀνὴρ τυχὸν ἢ γυνὴ μετὰ τὸ διὰ σωφροσύνην ἐκ συναινέσεως τὸν γάμον λυθῆναι εὑρεθείη ἄλλως συναλλάττων γάμους ἢ ἀσώτως ζῶν, κελεύομεν, εἰ μὲν ὡς εἴρηται παῖδες ὦσιν ἐκ τοῦ εἰρημένου συνοικεσίου, πρὸς τῇ προικὶ καὶ τὴν διὰ τοὺς γάμους δωρεὰν αὐτοῖς παραδίδοσθαι καὶ τὴν δεσποτείαν τῆς λοιπῆς περιουσίας τοῦ ταῦτα ἐλεγχομένου πλημμελῆσαι προσώπου. εἰ δὲ οἱ παῖδες ἀτελοῦς ὦσιν ἡλικίας, διακεῖσθαι τούτους καὶ ἀνατρέφεσθαι παρ' ἐκείνου προστάττομεν τοῦ γονέως, ὃς οὐδὲν τῷ παρόντι νόμῳ ἐναντίον ἔπραξεν. εἰ δὲ ἀμφότεροι οἱ γονεῖς τῷ τοιούτῳ περιπέσωσι πταίσματι, τηνικαῦτα τὴν ἑκατέρου τῶν γονέων περιουσίαν τοῖς παισὶ προσκυροῦσθαι, διοικητὴν δὲ αὐτοῖς ἐπὶ τῆς ἀτελοῦς οὖσιν ἡλικίας προβληθῆναι προνοίᾳ τοῦ ἁρμοδίου ἄρχοντος, ἢ καὶ τῶν ἄλλων, οἷς ταῦτα παρὰ τῶν ἡμετέρων ἐπιτέτραπται νόμων. εἰ δὲ παῖδες μὴ ὦσιν, τὴν τοῦ ἑτέρου ἢ ἑκατέρου προσώπου περιουσίαν τοῖς δημοσίοις λογισμοῖς προσκυροῦσθαι, καὶ τοὺς ταῦτα πλημμελήσαντας νομίμοις ὑποβάλλεσθαι τιμωρίαις. ἄλλως γὰρ διάζευξιν γάμων γίνεσθαι ἐκ συναινέσεως οὐδενὶ λόγῳ συγχωροῦμεν.

c) Κατὰ πρόφασιν ἄμεμπτον· οὕτως γὰρ ἡ νεαρά.

d) σχόλιον. Δοκεῖ οὖν μὴ ἀνῃρηθῆναι τὸ θατέρου τῶν μερῶν ἄσκησιν αἱρουμένου, ἀλλὰ τὸ διὰ σωφροσύνην μόνον διαλύεσθαι τὸν γάμον, ὅσον ἀπὸ τῆς λέξεως, εἰ καὶ τῇ πράξει ἀνῄρητο, ταὐτὸν οἶμαι νομίσαντος εἶναι τοῦ συντάξαντος τὸ κεφάλαιον ἄσκησιν καὶ σωφροσύνην, ἅπερ ἀλλήλων κατὰ τὴν νεαρὰν διενήνοχεν.

e) Τὸ δὲ αὐτὸ περὶ τῆς θατέρου ἀσκήσεως καὶ κατὰ τὴν ρκγ' νεαρὰν ὡς ἰσχυρὸν καὶ ἀκαιγοτόμητον κεῖται.

γ΄. Θεσπίζομεν καὶ τὸν ἐν αἰχμαλωσίᾳ διαλύεσθαι τοῦ γάμου· οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλ᾽ ἕως μέν ἐστι φανερὸν περιεῖναι ἢ τὸν ἄνδρα ἢ τὴν γυναῖκα, μένειν ἄλυτα τὰ συνοικέσια συγχωροῦμεν, καὶ οὐκ ἐλεύσονται πρὸς δευτέρους γάμους οὔτε ἄνδρες οὔτε γυναῖκες, εἰ μὴ βούλωνται δοκεῖν κατὰ προπέτειαν τοῦτο πρᾶξαι, καὶ ὑποπεσεῖν ταῖς ποιναῖς, ὁ μὲν τῇ τῆς προγάμου δωρεᾶς φαμεν ἐκτίσει, ἡ δὲ τῇ τῆς προικός. εἰ δὲ ἄδηλον καθεστήκοι, πότερον περίεστιν ἢ μὴ τὸ ἐν αἰχμαλωσίᾳ κατεχόμενον πρόσωπον, τηνικαῦτα πενταετίαν μενετέον εἴτε τῷ ἀνδρὶ εἴτε τῇ γυναικί, μεθ᾽ ἣν, εἴτε σαφῆ γένοιτο τὰ τῆς τελευτῆς εἴτε ἄδηλα μένοι, γαμεῖν ἔξεστιν ἀκινδύνως· ὥστε ἐνταῦθα οὐδὲ διαισίῳ γίνεται καιρὸς οὕτω τῶν προσώπων διεστώτων ἀλλήλων· καὶ οὐδεὶς ἐνταῦθα κερδαίνει, οὔτε ὁ ἀνὴρ τὴν προῖκα οὔτε ἡ γυνὴ τὴν προγάμου δωρεάν, ἀλλ᾽ ἕκαστος ἐπὶ τῶν οἰκείων μένει.

δ΄. Ἐπειδὴ [2]) πολλοὺς τῶν ἐν τῷ βίῳ γάμῳ νομίμῳ συνεζευγμένους καὶ πολὺν χρόνον ἢ καὶ ὀλίγον σὺν ἀλλήλοις μιᾷ συνημμένους γνώμῃ καὶ εἰς παιδοποιΐαν καὶ ἄλλην βίου κοινωνίαν προκόψαντας, ὕστερον δὲ ἀπό τινος συντυχίας πονηρᾶς ἢ οἴκοθεν ἢ ἔξωθεν ἐπιγινομένης εἰς μῖσος καὶ ἔχθρας χωρήσαντας εἴδομεν, καὶ ἐπὶ τοσοῦτον τὴν πρὸς ἀλλήλους κραταιωθεῖσαν ἀπέχθειαν, ὡς, εἰ μὴ θᾶττον διαλυθεῖεν ἀπ᾽ ἀλλήλων, εἰς τὸ ἑαυτοὺς κατεργάσασθαι μηχανῇ χωροῦντας πάσῃ, θεσπίζομεν ἐκ συναινέσεως τούτους διαλύεσθαι, καὶ μηκέτι κατὰ τῶν διὰ τοιαύτην αἰτίαν εἰς τὴν ἀπὸ τοῦ διαισίου θεραπείαν καταφυγόντων μηδεμίαν ἰσχύειν τιμωρίαν ἢ ἀπειλὴν τιμωρίας, ὡς ἐπ᾽ ἀγαθῷ καὶ ἐπὶ συμφέροντι αὐτοῖς τε καὶ ἐκείνοις καὶ τῇ πολιτείᾳ ἀντὶ τοῦ ἐφεστηκότος βιαίου θανάτου τὸ πρὸς ἀλλήλους διαίσιον προελομένων [f]).

f) Ὁ μὲν παρὼν νόμος οὕτως τοιαῦτα λέγει. ἡ δὲ νεαρὰ καὶ ἡ τοῦ ἡμετέρου εὐσεβοῦς βασιλέως ψῆφος ἀντιφέρεται. τῆς γὰρ ριζ΄ τὰ προγεγραμμένα εἰπούσης, ἐπάγει πάλιν ἡ ρλδ΄ λέγουσα οὕτως· Ἐπειδὴ δέ τινες τὸν ἡμέτερον νόμον παραβαίνειν σπουδάζουσιν, ἐν ᾧ εἰδικῶς τὰς αἰτίας ἀπηριθμησάμεθα, ἐξ ὧν μόνον ῥεπούδια δύνανται πέμπεσθαι ἢ ἐκ τοῦ ἀνδρὸς ἢ ἐκ τῆς γυναικός, κελεύομεν παρ᾽ ἐκείνας τὰς αἰτίας μηδενὶ τρόπῳ ῥεπούδια γίνεσθαι ἢ κατὰ συναίνεσιν τοὺς γάμους διαλύειν καὶ συγχωρεῖν ἀλλήλοις τὰ ἁμαρτήματα. εἰ δὲ παρὰ τὰς ἀφ᾽ ἡμῶν διωρισμένας αἰτίας τολμήσωσί τινες διαλύειν τὸν γάμον, κελεύομεν, εἰ μὲν κατιόντας ἔχοιεν, εἴτε ἐξ αὐτοῦ εἴτε ἐξ ἄλλου γάμου, τὰς οὐσίας αὐτῶν ἐκείνοις δίδοσθαι, καὶ τόν τε ἄνδρα τήν τε γυναῖκα εἰς μοναστήριον ἐμβάλλεσθαι ἐπὶ πάντα τὸν τῆς ζωῆς αὐτῶν χρόνον, καὶ ἐκ τῆς ἑκατέρων περιουσίας ἀνὰ δ οὐγκίας τοῖς μοναστηρίοις ἐν οἷς ἐμ-

2) Hoc caput videtur continere Novellam anterioris cujusdam Imperatoris: integriorem edidi in Wiener Jahrbücher d. Literatur to. LXXXVI p. 208 sq.

ε. Ἐπειδὴ [3]) πολλὰς ἐν τοῖς παλαιοῖς καὶ ἡμετέροις εὕρομεν νόμοις αἰτίας, ἐξ ὧν εὐχερῶς αἱ τῶν γάμων διαλύσεις γίνονται

βάλλονται ἀφορίζεσθαι· τοῦ ἀνδρὸς δηλαδὴ μηδὲ χρῆσιν ἔχοντος τοῦ διδομένου τοῖς παισὶ μέρους. εἰ δὲ κατιόντας μὴ ἔχοιεν, ἀλλ' ἀνιόντας, τὸ τρίτον μέρος τῆς οὐσίας λαμβάνειν αὐτούς, εἰ μὴ τῇ ἀσεβείᾳ τῆς λύσεως τοῦ γάμου συνήνεσαν, τὰ δὲ δύο μέρη τοῖς μοναστηρίοις ἀφορίζεσθαι· εἰ δὲ οἱ ἀνιόντες τῇ λύσει συνήνεσαν, κελεύομεν πᾶσαν τὴν οὐσίαν τοῖς μοναστηρίοις δίδοσθαι. τιμωρεῖται δὲ τοὺς ὑπουργοῦντας καὶ τὰ συμβόλαια τῆς λύσεως συντιθέντας ταῖς εἰς σῶμα ποιναῖς καὶ ἐξορίαις· εἶτα ἐπάγει, ὡς, εἰ βούλοιντο πρὶν ἐμβληθῶσι μοναστηρίοις οἱ τὸν γάμον ἐπιχειρήσαντες λύειν συναφθῆναι πάλιν ἀλλήλοις, εἶναι αὐτοῖς ἄδειαν καὶ συγχώρησιν τῶν ποινῶν, εἰ δὲ βουλομένου τοῦ ἑνὸς μὴ συναινοίη ὁ ἕτερος, κατὰ τοῦ μὴ βουλομένου κρατεῖν τὰς ποινάς. καὶ ταῦτα μὲν ἰουστινιανός. ὁ δὲ μετ' αὐτὸν ἰουστῖνος ἐν ἰδίᾳ διατάξει, ἥτις κατὰ τῶν νεαρῶν σύνταγμα ρμ ἀριθμεῖται, ἐξεῖναι καὶ δίχα ποινῆς κατὰ συναίνεσιν λύεσθαι τοὺς γάμους κελεύει.

g) Ἡ μὲν ριζ' *) νεαρὰ βουλομένη πολλὰς τῶν αἰτιῶν ἀνελεῖν τῶν ἐν τῇ κβ κειμένων, οὕτως προοιμιάσατο καὶ τὰς αἰτίας παρήγαγεν. ὁ μέντοι συντάξας τὸν ἄλλον [3]) ἀντὶ τοῦ· δύναται εἴτε ἀνὴρ εἴτε γυνὴ ρεπούδιον ἤτοι διάλυσιν πέμπειν, τό· τοὺς γάμους δίχα ποινῆς ἔξεστι διαλύειν, προσθεὶς ἐν τῷ α κεφ. τό· ἐπειδὴ πολλάς, ἔθηκεν. ἐνταῦθα οὖν αὐτὸ κεῖσθαι κατὰ τὴν νεαρὰν οἶμαι βέλτιον. οὐδὲ γάρ, ἔνθα τοῦτο εἶπεν ἡ νεαρά, τῶν δίχα ποινῆς διαλυομένων γάμων κατ' οὐδὲν ἐμνημόνευσε, πλὴν τῆς κατὰ σύνεσιν λύσεως. αὗται οὖν αἱ δίχα ποινῆς διαλύουσαι τὸν γάμον αἰτίαι κατὰ τὴν κβ νεαρὰν εἰσι τοσαῦται· πρώτη μέν, ἡ κατὰ σύνεσιν, ἢ καὶ ἀνῃρέθη, ὡς εἴρηται· δευτέρα, ἡ τῆς ἀσκήσεως· τρίτη, περὶ τὴν συνάφειαν ἡ ἀδυναμία τῆς φύσεως· τετάρτη, ἡ τῆς αἰχμαλωσίας· πέμπτη, κατὰ μὲν τοὺς παλαιοὺς θατέρου ἐν μετάλλῳ καταδικαζομένου ἐκ τούτου τοῦ γάμου διάλυσις, κατὰ δὲ αὐτὴν [4]) ἐκείνου μᾶλλον τοῦ νόμου ἀνατροπὴ καὶ ἴδιος καινισμός, τὸ μὴ διὰ τοῦτο διαλύεσθαι τὰ συνοικέσια· ἕκτη, ἐὰν ψῆφος δικαστικὴ θάτερον μέρος, ἀπελεύθερον ὄν, δοῦλον γενέσθαι καταδικάσῃ, καὶ οὕτως τὸν γάμον διαλύεσθαι, καὶ τὰ οἰκεῖα μὲν ἕκαστον ἔχειν, κερδαίνειν δὲ τὸν ἐλεύθερον ἐκ τῆς τοῦ καταδουλευμένου περιουσίας τὸ ἀπὸ τελευτῆς συμφωνηθὲν κέρδος, καὶ τὸ λοιπὸν εἶναι τοῦ καταδουλώσαντος· εἰ δὲ ὡς ἐλευθέρῳ δοκοῦντι δούλῳ τις συναφθείη προσώπῳ, εἰ μὲν ἀγνοοῦντος τοῦ δεσπότου, καὶ οὕτως ἀζήμιος ἡ τοῦ γάμου διάλυσις· εἰ δὲ συνειδότος, εἰς ἐλευθερίαν τε τοῦ δούλου ἁναρπαγὴ καὶ τοῦ πρὸς αὐτὸν γάμου ἀδιάλυτος σύνδεσμος· ἑβδόμη, συμφωνία πρός τε τὴν δόξαν τῶν καλῶν καὶ τὴν τοῦ θειοτάτου κωνσταντίνου τὸ μὴ δι' οἱανοῦν ὑπερορίαν τὰ συνοικέσια διαλύεσθαι· ὀγδόη, μνήμη τοῦ αὐτοῦ θείου κωνσταντίνου, ὡς ἐκεῖνον μὲν ἐπὶ τῶν ἐν στρατοπέδῳ προσκαρτερούντων στρατιωτῶν καὶ μέχρι τετραετίας πρὸς τὰς ἑαυτῶν γαμετὰς σιωπώντων βούλεσθαι διαλύεσθαι τὰ πρὸς αὐτοὺς συνοικέσια, αὐτὸν δὲ τοῦτο οὐκ ἀρέσκει, ἀλλ' ἀντὶ τετραετίας δεκαετίαν ὁρίζει. πλὴν καὶ ταῦτα κατὰ τὴν ριζ' ἀνελὼν τὸν νόμον ἐκαίνισεν. καὶ αὗται μὲν αἱ δίχα ποινῆς διαλύουσαι τὸν γάμον αἰτίαι. προστίθησι δὲ καὶ ἄλλας δύο ἐν μέσῳ τῶν μετὰ ποινῆς διαλυουσῶν

*) **A in margine:** ζήτει ἕτερον κεφάλαιον τῆς νεαρᾶς ἔμπροσθεν εἰς τὸ ἕτερον φύλλον (**Significat scholium l.**) **Idem in margine:** Αὕτη (**sc. Nov. 117.**) ἐστὶν ἐν τῷ ὄπισθεν ε' κεφαλαίῳ.

3) **Innuit Prochiron XI, 1.**

4) **A:** καὶ δὲ αὐτόν.

ται, τούτου ἕνεκα συνίδομεν ἐκ τούτων περιελεῖν τινας, αἵπερ ἡμῖν ἀνάξιοι πρὸς τὸ διαλύειν γάμους ἐφάνησαν, καὶ ταύτας μόνον ὀνόματι τῷ παρόντι ἐντάξαι νόμῳ, ὑπὲρ ὧν εὐλόγως δύναται εἴτε ἀνὴρ εἴτε γυνὴ διάλυσιν πέμπειν. τὰς τοίνυν αἰτίας ἐξ ὧν ὁ ἀνὴρ ἀκινδύνως χωριζόμενος τὴν προῖκα τῆς γυναικὸς ἀποκερδαίνειν δύναται, (φυλαττομένης τῆς ἐπ' αὐτῇ δεσποτείας τοῖς ἐκ τοῦ αὐτοῦ γάμου παισίν, ἢ παίδων οὐκ ὄντων ἀπολαύειν αὐτὸν καὶ τῆς δεσποτείας), ταύτας εἶναι διατυποῦμεν. πρῶτον· εἰ κατὰ τῆς βασιλείας βουλομένοις τισὶ σύνοιδεν ἡ γυνή, καὶ τῷ ἰδίῳ ἀνδρὶ μὴ φανερώσῃ. εἰ δὲ ὁ ἀνὴρ τοῦτο παρὰ τῆς γυναικὸς προσαγγελθὲν σιωπήσῃ, ἐξέστω τῇ γυναικὶ δι' οἱουδήποτε προσώπου τοῦτο προσαγγέλλειν τῇ βασιλείᾳ, ὥστε τὸν ἄνδρα μηδεμίαν ἐκ ταύτης τῆς

αἰτιῶν ταύτας· ὅτι οὐκ ἔξεστιν ἀλλοτρίῳ ἐναπογράφῳ οὔτε ἀγνοοῦντος οὔτε εἰδότος οὔτε συναινοῦντος τοῦ κεκτημένου πρὸς ἐλευθέραν γάμον ποιεῖν, ἀλλ' εἰ καὶ γένηται, ἐξεῖναι τῷ δεσπότῃ ἢ δι' ἑαυτοῦ ἢ διὰ τοῦ ἄρχοντος διὰ μετρίων πληγῶν σωφρονίζειν τὸν ἐναπόγραφον καὶ διασπᾶν ἀζημίως τὸν γάμον· καὶ ὅτι οὐ δύνανται οἱ παῖδες, εἴγε ὑπεξούσιοί εἰσιν, ἡνίκα ζημία τοῖς ἑαυτῶν πατράσιν ἐπάγεται, δίχα τῆς ἐκείνων γνώμης ἐπιχειρεῖν διαλύειν τὰ ὑπ' ἐκείνων αὐτοῖς συστάντα συνοικέσια.

Ὅσαι δὲ μετὰ ποινῆς διαλύουσιν αἰτίαι, κἀνταῦθα μὲν ἀπαραλλάκτως ἐτέθησαν, πλὴν κατά τι αἱ ποιναὶ πρὸς τὴν τῆς νεαρᾶς ἀκρίβειαν ἐνηλλάγησαν. ἐκεῖσε γὰρ ὁ ἀνὴρ ἐκ μὲν τῶν ἄλλων αἰτιῶν καταδικαζομένης τῆς γυναικὸς ἀναλαμβάνει τὴν προγάμου δωρεὰν καὶ κερδαίνει τὴν προῖκα, καὶ παῖδας μὲν ἔχων αὐτοῖς φυλάττει τὴν δεσποτείαν τῆς προικὸς καὶ τὴν χρῆσιν μόνην ἔχει αὐτῆς, μὴ ἔχων δὲ παῖδας καὶ ὅσον τῆς προικός ἐστι τὸ τρίτον μέρος ἐκ τῆς ἄλλης αὐτῆς περιουσίας μετὰ τῆς προικὸς κατὰ δεσποτείαν κερδαίνει. καὶ διὰ μοιχείαν μὲν ἡ γυνὴ διαζευγνυμένη τῆς προσηκούσαις, φησίν, ὑποβάλλεται πληγαῖς, καὶ μέχρι διετίας τὴν τοῦ ἀνδρὸς ἀναμένει βούλησιν, ἧς ἐντὸς εἰ ἐκεῖνος τελευτήσῃ ἢ καὶ ζῶν μὴ ἀναλάβηται αὐτὴν (ἔξεστι γὰρ αὐτῷ καὶ τοῦτο ἀκινδύνως ποιεῖν), ἀποκείρεται καὶ μοναστηρίῳ ἐμβάλλεται. καὶ εἰ μὲν ἔχοι παῖδας, ἐκεῖνοι λαμβάνουσι τὰ δύο μέρη τῆς περιλειφθείσης αὐτῇ ὑποστάσεως, καὶ τὸ τρίτον τὸ μοναστήριον· εἰ δὲ παῖδες οὐκ εἰσίν, ἀλλ' ἀνιόντες μὴ συμπράξαντες τῷ ἀσεβέσματι, ἐκεῖνοι μὲν τὸ τρίτον μέρος τῆς περιουσίας λαμβάνουσι, καὶ τὸ δίμοιρον τὸ μοναστήριον· εἰ δὲ παίδων μὴ ὄντων εὑρεθῶσιν ἀνιόντες συμπράξαντες τῇ μοιχείᾳ, τότε τὴν ὅλην αὐτῆς ὑπόστασιν, τὴν περιλειφθεῖσαν δηλονότι μεθ' ἃ εἴρηται κερδαίνειν τὸν ἄνδρα, λαμβάνει τὸ μοναστήριον. εἰ δὲ οὐκ ἐμοίχευσε μέν, δι' ἄλλην δέ τινα αἰτίαν ἢ τῶν δίχα ποινῆς ἢ τῶν μετὰ ποινῆς τοῦ ἀνδρὸς ἡ γυνὴ διαζευχθείη, ἐπὶ μὲν τῶν μετὰ ποινῆς αἰτιῶν, αὐτὴ τὴν αἰτίαν παρασχομένη τῆς λύσεως, ἀπόλλυσί τε τὴν προῖκα ὡς εἴρηται, καὶ μέχρι πενταετίας κωλύεται πρὸς ἕτερον γάμον ἐλθεῖν. εἰ γὰρ εἴσω τῆς πενταετίας ἑτέρῳ συναφθείη ἀνδρί, καὶ αὐτὴ ἀτιμοῦται, καὶ ὁ γάμος οὐκ ἔστι γνήσιος ἀλλ' ὑπὸ τοῦ βουλομένου παντὸς κατηγορούμενος ὡς παράνομος. ἐπὶ δὲ τῶν δίχα ποινῆς αἰτιῶν διαζευγνυμένη τοῦ ἀνδρὸς, ἀλλὰ καὶ ἐπὶ τῶν μετὰ ποινῆς, ὅτε οὐκ αὐτῆς εἴη τὸ τῆς διαζεύξεως αἴτιον, ἐνιαυτὸν ἀναμένουσα μόνον ἀκωλύτως ἑτέρῳ συνάπτεται.

αἰτίας λύσεως γάμου εὑρεῖν πρόφασιν. δεύτερον· εἰ περὶ μοιχείας ὁ ἀνὴρ νομίσοι δύνασθαι τὴν ἑαυτοῦ γαμετὴν ἐλεγχθῆναι, προσήκει τὸν ἄνδρα πρότερον ἐγγράφεσθαι τὴν γυναῖκα ἢ καὶ τὸν μοιχόν, καὶ εἴπερ ἡ τοιαύτη κατηγορία ἀληθὴς ἀποδειχθῇ, τηνικαῦτα χωρισμοῦ γενομένου ἔχειν τὸν ἄνδρα πρὸς τῇ προγάμου δωρεᾷ καὶ τὴν προῖκα, καὶ πρὸς τούτοις, εἰ παῖδας μὴ ἔχοι, τοσοῦτον λαμβάνειν ἐκ τῆς ἄλλης τῆς γυναικὸς περιουσίας, ὅσον τῆς προικὸς τὸ τρίτον μέρος εἶναι γινώσκεται, ὥστε τῇ αὐτοῦ δεσποτείᾳ καὶ τὴν προῖκα καὶ τὴν παρ' ἡμῶν ὁρισθεῖσαν λόγῳ ποινῆς τρίτην μοῖραν αὐτῷ προσκυροῦσθαι. εἰ γὰρ παῖδας ἔχοι ἐκ τοῦ αὐτοῦ συνοικεσίου, κελεύομεν καὶ τὴν προῖκα καὶ τὴν ἄλλην τῆς γυναικὸς περιουσίαν κατὰ τοὺς ἔμπροσθεν νόμους τοῖς παισὶ φυλάττεσθαι, καὶ οὕτως τὸν μοιχὸν νομίμως ἐλεγχόμενον ἅμα τῇ γυναικὶ τιμωρεῖσθαι. καὶ εἰ μὲν ἔχει ὁ μοιχὸς γυναῖκα, λαμβάνειν αὐτὴν τὴν ἰδίαν προῖκα καὶ τὴν προγάμου ἤτοι διὰ τοὺς γάμους δωρεάν, καὶ ἐκ τῆς ἄλλης ἁπάσης τοῦ μοιχεύσαντος ὑποστάσεως τοσοῦτον μέρος, ὅσον αὐτῇ καὶ μετὰ θάνατον τοῦ ἀνδρὸς κατὰ τοὺς προειρημένους νόμους ὠφείλετο. καὶ παίδων μὲν ὑπόντων τὴν λοιπὴν ὑπόστασιν ἀποκαθίστασθαι τοῖς παισίν· μὴ ὑπόντων δὲ παίδων, δι' οὓς τραχύτερόν τε καὶ βαρύτερον τὸ τῆς μοιχείας ἄτοπον ἐκακουργεῖτο, καὶ γὰρ ὡς καὶ τοὺς παῖδας ἠδικημένους ὁ νόμος τῆς τοῦ μοιχεύσαντος πατρὸς ὑποστάσεως δεσποτείας*) ἐκάλει, τηνικαῦτα συγχωροῦμεν τὴν ὑπολειφθεῖσαν ὑπόστασιν παρὰ τῷ ἐξαρχῆς διαμένειν κυρίῳ. τὸ μέντοι διαζυγῆναι τῆς ἰδίας γυναικὸς τὸν μοιχεύσαντα ἢ μή, ἐν τῇ βουλῇ καὶ γνώμῃ κεῖσθαι τῆς ἠδικημένης αὐτοῦ γυναικός· εἰ δέ γε γυναῖκα μὴ ἔχει ὁ τοιοῦτος μήτε παῖδας, ἐπείπερ κουφότερον μᾶλλον δοκεῖ πως τὸ τῆς μοιχείας αὐτῷ διαπεπρᾶχθαι, τῆς μὲν ἄλλης ποινῆς οὐκ ἀθωωθήσεται, οὐ μέντοιγε καὶ τῆς ἰδίας ἐξελαθήσεται ὑποστάσεως. τρίτον· ἐὰν οἱῳδήποτε τρόπῳ ἡ γυνὴ τῇ ζωῇ τοῦ ἀνδρὸς ἐπιβουλεύσῃ ἢ ἄλλοις τοῦτο ποιοῦσι συνειδυῖα τῷ ἀνδρὶ μὴ φανερώσῃ. τέταρτον· ἐὰν ἀνδράσι μὴ βουλομένου τοῦ ἀνδρὸς ἐξωτικοῖς συμποσιάζῃ ἢ συλλούηται. πέμπτον· ἐὰν μὴ βουλομένου τοῦ ἀνδρὸς ἔξω τοῦ οἴκου μείνῃ, εἰ μήτοιγε τυχὸν παρὰ τοῖς ἰδίοις γονεῦσιν. ἕκτον· ἐὰν ἱππικοῖς ἢ θεάτροις ἢ κυνηγίοις παραβάλῃ ἐπὶ τὸ θεωρῆσαι ἀγνοοῦντος ἢ κωλύοντος τοῦ ἀνδρός. ἐὰν δὲ συμβῇ τινα δίχα τινὸς τῶν προειρημένων αἰτιῶν τὴν ἑαυτοῦ γαμετὴν τοῦ ἰδίου οἴκου ἐξωθῆσαι, ὥστε ἐκείνη μὴ ἔχουσα γονεῖς πρὸς οὓς δύναται μένειν ἔξω τὴν νύκτα διάγειν, κελεύομεν μηδεμίαν εἶναι τῷ ἀνδρὶ ἄδειαν διὰ ταύτην τὴν αἰτίαν χωρισθῆναι τῆς γυναικός, διότιπερ αὐτὸς τούτου αἴτιος κα-

*) An δεσπότας;

τέστη. ἕβδομον· h) ἐὰν ἡ γυνὴ εὑρεθῇ μαγγανεύουσα ἢ φόνον ἐξαμαρτάνουσα ἢ ἀνδραποδισμὸν ἢ τυμβωρυχίαν ἢ ἱερόσυλος οὖσα ἢ συσπεύδουσα λησταῖς. ἢ παραποιήσεως ἔνοχος, ἢ ἐὰν τὰς τολμηρὰς αὐτῆς χεῖρας τῷ ἀνδρὶ ἐπιβάλοι, ἢ μηχανῆσαι τὸ ἐξεπίτηδες ἀμβλῶναι καὶ τὸν ἄνδρα λυπῆσαι καὶ ἀφελέσθαι τῆς ἐπὶ τοῖς παισὶν ἐλπίδος, ἢ καὶ ἕως συνέστηκε τὸ πρὸς αὐτὸν συνοικέσιον πρὸς ἑτέρους περὶ γάμων ἑαυτῆς διαλέγοιτο 5).

ϛ΄. Τὰς αἰτίας, δι᾽ ὧν εὐλόγως δύναται ἡ γυνὴ τοῦ ἀνδρὸς χωρισθῆναι, καὶ ἐξ ὧν δύναται τήν τε προῖκα λαμβάνειν καὶ τὴν διὰ τοὺς γάμους [ἀπαιτεῖν δωρεὰν] 6), ὁμοίως τοῖς παισὶ i) [φυλαχθησομένης] τῆς ἐπὶ τῇ δωρεᾷ δεσποτείας, ἢ παίδων μὴ ὄντων ἔχειν καὶ τὴν αὐτῆς δεσποτείαν, ταύτας εἶναι διατυποῦμεν· πρῶτον· ἐὰν κατὰ τῆς βασιλείας ὁ ταύτης ἀνὴρ βούληταί τι, ἢ τοῦτό τισι βουλομένοις συνειδὼς μὴ φανερώσῃ τῇ βασιλείᾳ ἢ δι᾽ ἑαυτοῦ ἢ δι᾽ οἱουδήποτε προσώπου. δεύτερον· ἐὰν οἱῳδήποτε τρόπῳ ὁ ἀνὴρ ἐπιβουλεύσῃ τῇ ζωῇ τῆς γυναικός, ἢ ἄλλων τοῦτο βουλομένων εἰδὼς μὴ φανερώσῃ τῇ γυναικὶ καὶ σπουδάσῃ κατὰ τοὺς νόμους ἐκδικῆσαι. τρίτον· ἐὰν ὁ ἀνὴρ τῇ τῆς γυναικὸς σωφροσύνῃ ἐπιβουλεύων ἄλλοις αὐτὴν εἰς τὸ μοιχευθῆναι ἐπιχειρήσῃ προδοῦναι. τέταρτον· ἐὰν ὁ ἀνὴρ περὶ μοιχείας τῆς αὐτοῦ γυναικὸς ἐγγράψηται καὶ τὴν μοιχείαν μὴ ἀποδείξῃ, ἔξεστι τῇ γυναικὶ βουλομένῃ χωρίζεσθαι τοῦ ἀνδρὸς καὶ ἀπολαμβάνειν τὴν ἰδίαν προῖκα, κομίζεσθαι δὲ καὶ τὴν προγαμιαίαν δωρεὰν καὶ εἴ τι ἄλλο μετὰ θάνατον τοῦ ἀνδρὸς κατὰ τοὺς ἔμπροσθεν νόμους ὠφείλετο, καὶ ὑπὲρ τῆς τοιαύτης συκοφαντίας, εἰ παῖδας μὴ ἔχει ἐκ τοῦ αὐτοῦ συνοικεσίου, τοσοῦτον λαμβάνειν αὐτὴν ἐκ τῆς ἄλλης περιουσίας τοῦ ἀνδρός, ὅσον τῆς προγαμιαίας δωρεᾶς τὸ τρίτον μέρος εἶναι γινώσκεται· εἰ γὰρ παῖδας ἔχει, κελεύομεν λαμβάνειν αὐτὴν τήν τε προῖκα καὶ τὴν προγάμου δωρεὰν καὶ ἐκ τῆς λοιπῆς ὑποστάσεως παιδὸς μοῖραν, τὴν δὲ λοιπὴν ἅπασαν τοῖς παισὶ καταλιμπάνεσθαι· οὕτω μέντοιγε καὶ διὰ τὴν ἐπαχθεῖσαν τῆς μοιχείας κατηγορίαν καὶ μὴ ἀποδειχθεῖσαν κἀκείναις τὸν ἄνδρα ταῖς τιμωρίαις ὑποβληθῆναι, ἃς ἔμελλεν ὑπομένειν ἡ γυνὴ εἴπερ ἂν ἡ τοιαύτη ἀπεδείχθη κατηγορία. πέμπτον· ἐὰν ὁ ἀνὴρ ἐν τῷ αὐτῷ οἴκῳ, καθ᾽

h) Καὶ αὗται αἱ αἰτίαι κατὰ τὴν κβ νεαρὰν κείμεναι ἀνῃρέθησαν ὑπὸ τῆς ριζ΄.

i) σχόλιον. Ἢ ταῦτα σιωπητέον ἢ τὰ ἑξῆς διορθωτέον, ἔνθα καὶ παίδων ὄντων τὴν γυναῖκα κατὰ δεσποτείαν ἔχειν τὰ κέρδη λέγει, ὅπερ ἐπὶ τῶν ἀνδρῶν οὐ κεῖται.

5) A: ἑαυτοῖς. Cf. Nov. Leonis 30. 31. 6) Inclusa A non habet.

ὃν μετὰ τῆς αὐτοῦ [γυναικὸς] συνοικεῖ, περιφρονῶν αὐτῆς μεθ' ἑτέρας εὑρίσκοιτο συνών, ἢ καὶ κατὰ τὴν αὐτὴν πόλιν διάγων ἐν ἑτέρῳ οἴκῳ μετὰ γυναικὸς ἐπεισάκτου ἐλέγχοιτο διατρίβων, καὶ ὅσον ἐπὶ τῇ αὐτοῦ πράξει τὴν μὲν κατὰ νόμους αὐτοῦ γυναῖκα τοῦ συνοικεσίου διϊστῶν, πρὸς ἣν δὲ ἀσελγῶς συμπλέκεται ταύτην εἰς γυναικὸς ὑποβαλλόμενος πρόσωπον, καὶ ἅπαξ καὶ δὶς ἐγκληθείς, ἢ διὰ τῶν ἑαυτοῦ γονέων ἢ διὰ τῶν τῆς γυναικὸς ἢ δι' ἑτέρων τινῶν ἀξιοπίστων μαρτύρων, τῆς τοιαύτης ἀσελγείας μηδὲ μετὰ τὰς παραινέσεις καὶ διαμαρτυρίας ἀπόσχηται, ἐξεῖναι τῇ γυναικὶ διαλύειν τὸν γάμον καὶ ἀναλαμβάνειν τὴν δεδομένην προῖκα καὶ τὴν προγάμου δωρεὰν καὶ εἴ τι αὐτῇ μετὰ θάνατον τοῦ ἀνδρὸς παρὰ τοῦ νόμου ὠφείλετο, καὶ ὑπὲρ τῆς τοιαύτης ὕβρεως, παίδων μὴ ὑπόντων, τὸ τρίτον μέρος τῆς διατιμήσεως, ἣν ἡ προγαμιαία ποιεῖ δωρεά, ἐκ τῆς ἄλλης αὐτοῦ περιουσίας λαμβάνειν· εἰ γὰρ παῖδας ἔχει, τὴν μὲν προῖκα καὶ τὴν προγάμου δωρεὰν καὶ εἴ τι ἄλλο μετὰ θάνατον τοῦ ἀνδρὸς παρὰ τοῦ νόμου ὠφείλετο, ταῦτα αὐτὴν λαμβάνειν, τὴν δὲ λοιπὴν ὑπόστασιν τοῖς παισὶ φυλάττεσθαι. ἐὰν [k]) ἡ γυνὴ τὸν συνοικήσαντα δεῖξαι ἰσχύσειεν ἢ ἔνοχον καθεστῶτα φόνου, ἢ μαγγανείαις τε καὶ ἀγυρτίαις ἐσχολακότα, ἢ καταδικασθέντα παραποιήσεως, ἢ τάφους διορύξαντα, ἢ ἔκ τινος τῶν ἱερῶν οἴκων τί σεσυληκότα, ἢ λῃστρικὸν ἐπανῃρημένον βίον, ἢ τοὺς λῃστεύοντας ὑποδεχόμενον, ἢ ἕνα τῶν καλουμένων ἀπελατῶν, οἷς ἐστι φροντὶς τοῖς ἀλλοτρίοις ἐφεδρεύειν ὑποζυγίοις ἢ βοσκήμασι καὶ ταῦτα μεθιστᾶν ἑτέρωθι, ἢ ἐλέγξειεν ἀνδραποδιστὴν καθεστῶτα, ἢ καὶ μάστιξιν ἐπ' αὐτὴν σφοδραῖς χρῶτο· εἰ τοίνυν ἡ γυνὴ τοιοῦτό τι δεῖξαι δυνηθείη, ἄδειαν αὐτῇ δίδωσιν ὁ νόμος, καὶ διαισίῳ χρῆσθαι καὶ ἀφίστασθαι τοῦ γάμου καὶ τὴν προῖκα λαμβάνειν καὶ τὴν προγαμιαίαν δωρεὰν ἅπασαν [l]).

k) Καὶ αὗται τῆς κβ' οὖσαι ἀνῃρέθησαν ὑπὸ τῆς ριζ'.

l) Αἱ [7]) μὲν αἰτίαι τῆς διαλύσεως αἱ αὐταί, περὶ δὲ τὰς ποινὰς δοκεῖ πῶς κατά τι ταῦτα ταῖς νεαραῖς διαφέρεσθαι. κατ' ἐκείνας γάρ, εἰ ὡς ὑπευθύνῳ τῷ ἀνδρὶ ἡ καταδίκη τῆς διαζεύξεως ἐπενεχθείη, ἐκ μὲν τῶν ἄλλων αἰτιῶν ἡ γυνὴ τὴν ἰδίαν ἀναλαμβάνει προῖκα καὶ τὴν προγάμου δωρεὰν κερδαίνει, παίδων μὲν ὑπόντων τὴν χρῆσιν μόνην αὐτῆς ἔχουσα καὶ τὴν δεσποτείαν ἐκείνοις φυλάττουσα, μὴ ὄντων δὲ παίδων καὶ τῆς δεσποτείας γενομένη κυρία. μοιχείαν δὲ αὐτῆς τοῦ ἀνδρὸς κατηγορήσαντος καὶ ταύτην μὴ ἀποδείξαντος, εἰ παῖδας μὴ ἔχοι, καὶ ἐκ τῆς ἄλλης τοῦ ἀνδρὸς περιουσίας τοσοῦτον μέρος κατὰ δεσποτείαν μετὰ τῆς προγάμου δωρεᾶς κερδαίνει, ὅσον αὐτῆς τῆς προγάμου δωρεᾶς τὸ τρίτον μέρος εἶναι γινώσκεται. ἀλλὰ καὶ τοῦ ἀνδρὸς ἐν τῷ αὐτῷ οἴκῳ ἢ ἐν τῇ αὐτῇ πόλει μεθ' ἑτέρας γυναικὸς ἀσελγῶς συνδιατρίβον-

7) A in margine: τοῦτο τὸ σχόλιον εἰς τὸ ὄπισθεν ς' κεφάλαιον. Cf. not. *)·

ζ'. Εἴτε στρατιῶται εἶεν εἴτε φοιδεράτοι εἴτε σχολάριοι εἴτε ἄλλοι τινὲς ὑφ' ἑτέραν οἱανοῦν στρατείαν ἔνοπλον καταλεγόμενοι,

τας καὶ μηδὲ [μετὰ] τὸ ἅπαξ καὶ δὶς ἐγκληθῆναι τούτου ἀποσχέσθαι θελήσαντος, διαζευγνυμένη αὐτοῦ ἡ γυνὴ καὶ τὴν προγάμου κερδαίνουσα δωρεὰν καὶ ἐκ τῆς ἄλλης αὐτοῦ ὑποστάσεως, ὅσον ἐστὶ τὸ τρίτον μέρος τῆς προγάμου δωρεᾶς, λαμβάνει, κἀνταῦθα, εἰ παῖδες εἰσὶν, αὐτοῖς τὴν δεσποτείαν καὶ τῆς προγάμου δωρεᾶς καὶ τοῦ εἰρημένου μέρους φυλάττουσα καὶ τὴν χρῆσιν αὐτῶν μόνην ἔχουσα· παίδων δὲ μὴ ὄντων, καὶ τὴν δεσποτείαν ἀποκερδαίνουσα. ἡ μὲν οὖν ριζ' νεαρὰ περὶ πασῶν τῶν μετὰ ποινῆς διαλαμβάνουσα λύσεων, ἀπροίκων ἤτοι ἀπόρων γυναικῶν ἀπὸ διαλύσεως κερδαινουσῶν οὐδὲν ἐμνημόνευσεν. ἡ δὲ ρλδ' μοιχείαν μόνην καὶ τὰς ποινὰς αὐτῆς διατάττουσα, τὴν τοῦ μοιχοῦ ἔφη γυναῖκα ἄπροικον ἤτοι ἄπορον οὖσαν τὴν ἀπὸ τοῦ ἡμετέρου νόμου, φησὶ, μοῖραν, ὡς οἶμαι τὸ τέταρτον, λαμβάνειν. δεῖ οὖν ἐπιστῆσαι, μήποτε ἀναλόγως καὶ ταῖς ἐξ ἄλλων αἰτιῶν παρ' αἰτίαν τοῦ ἀνδρὸς διαλυομέναις ἀπόροις ἁρμόζει τὸ δ'. ἀλλὰ καὶ ἡ αὐτὴ ριζ' τὰς μοιχαλίδας ἅμα τοῖς μοιχοῖς νομίμως ἐλεγχομένας τιμωρεῖσθαι κελεύσασα, τὸν κατηγορήσαντα μοιχείαν ἄνδρα καὶ ταύτην μὴ ἀποδείξαντα ταῖς αὐταῖς φησὶ ὑποβληθῆναι τιμωρίαις, ἃς ἔμελλεν ὑπομένειν ἡ γυνὴ, εἴπερ ἀληθῶς μοιχαλὶς ἀπεδείχθη. πάλιν δὲ ἡ ρλδ' νεαρὰ τὴν μοιχεύσασαν γυναῖκα μοναστηρίῳ ἐμβάλλεσθαι νομοθετήσασα, οὔτε τὸν μοιχὸν, καίτοι μοιχοῦ μνημονεύσασα, τὸ αὐτὸ πάσχειν εἶπεν, οὔτε τὸ τῆς ταυτοπαθείας ἀνῇρεν. μήποτε οὖν οὐκ ἀνῃρημένου τούτου καὶ τῆς μοιχαλίδος τὸ εἰρημένον πασχούσης ὁ κατηγορήσας καὶ μὴ ἀποδείξας ἀποχαρήσεται; οὔτε δὲ ἡ ριζ' οὔτε ἡ ρλδ' ἐπὶ τῶν ἄλλων αἰτιῶν τιμωρεῖσθαι τὸν ἄνδρα ἢ τὴν γυναῖκα εἶπεν, καίτοι καὶ τῆς καθοσιώσεως θάνατον ἐπαγούσης καὶ δήμευσιν καὶ ἄλλων ἄλλως τιμωρουμένων. ἐπὶ δὲ τῆς μοιχείας τὴν μὲν γυναῖκα, ὡς προείρηται, ἐγκληματικῶς τε καὶ χρηματικῶς ἐτιμωρήσατο ἡ ρλδ' ἐπιδιορθωσαμένη τὴν ριζ', καθ' ὃ ἐκείνη μὲν τιμωρεῖται αὐτὴν εἰς σῶμα, αὕτη δὲ ἀποκείρει· τὸν δὲ μοιχὸν ἡ ρλδ' κατὰ τὴν τοῦ θείου κωνσταντίνου διάταξιν ἤτοι θανάτῳ διὰ ξίφους τιμωρουμένη τὴν περιλειφθεῖσαν αὐτῷ περιουσίαν τοῖς αὐτοῦ κατιοῦσιν ἢ ἀνιοῦσι μέχρι γ' βαθμοῦ προσκυροῖ· τούτων δὲ μηδενὸς ὄντος, τῷ δημοσίῳ αὐτὴν δίδοσθαι κελεύει. ἀνδράσι δὲ διαλελυμένοις οὐδὲ εἷς χρόνος πρὸς τὸ ἑτέραν ἀγαγέσθαι παραφυλάττεται. καὶ ταῦτα μὲν ἐπὶ τῶν λύσεων τὰ ὑπὸ τῶν νεαρῶν διοριζόμενα ἐπιτίμια. τοῦτο δὲ μόνον καὶ ἐν συνεστῶτι τῷ γάμῳ ἡ ριζ' νεαρὰ τιμωρεῖται τὸν ἄνδρα, ὃς τὴν ἑαυτοῦ γυναῖκα μάστιξιν ἢ ξύλοις χωρίς τινος τῶν διαλυουσῶν αἰτιῶν τύψειεν, δίδοσθαι τῇ γυναικὶ ἐκ τῆς οὐσίας τοῦ ἀνδρὸς κατὰ δεσποτείαν κελεύουσα ὅσον ἐστὶ τὸ τρίτον τῆς προγάμου δωρεᾶς· τὸν μέντοι γάμον οὐ διαλύει. ἐνταῦθα μὲν οὖν περὶ εὐλόγως διαλυομένων οὕτως εἴρηται. περὶ δὲ τῶν ἀλόγως ἢ κατὰ συναίνεσιν διαλύειν τοὺς γάμους ἐπιχειρούντων ἤδη προείρηται, ὅτι ἀμφότεροι ἀποκείρονται. ζητῆσαι δὲ ἄξιον, πῶς ἐπὶ μὲν τῶν διὰ θανάτου λύσεων τοῖς τε ἀνδράσι ταῖς τε γυναιξὶν, εἰ μὴ δευτερογαμήσωσι, κἂν ἄρα παῖδας ἔχωσι, δίδωσιν ὅμως καὶ τὴν χρῆσιν πάντως τῶν γαμικῶν κερδῶν καὶ μέρος τι ἐξ αὐτῶν κατὰ δεσποτείαν ἑνὸς παιδός· ἐπὶ δὲ τῶν ἐν ζωῇ διὰ τὰς εἰρημένας αἰτίας συμβαινουσῶν διαζεύξεων, ἡνίκα τυχὸν καὶ δριμυτέραν ἡ διάλυσις ἐπάγει τὴν αἴσθησιν, εἴ τι ἂν ἐπέλθῃ κέρδος εἴτε ἀνδράσιν εἴτε γυναιξὶν, εἴγε παῖδας ἔχοιεν, κἂν εἰ μὴ δευτερογαμήσωσι, τούτου μόνην τὴν χρῆσιν αὐτοῖς, οὐ μὴν κἂν βραχύ τι μέρος κατὰ δεσποτείαν ἐφιλοτιμήσατο δίδοσθαι. μήποτε οὖν καὶ τοῦτο σιωπηρῶς, ὥς γέ μοι δοκεῖ, τοῖς ἐνορῶσι

κελεύομεν, οσουσδήποτε ἐνιαυτοὺς ἐν ἐξπεδίτῳ μείνωσι, περιμένειν τὰς τούτων γαμετὰς, κἂν μὴ γράμματα ἢ ἀπόκρισίν τινα παρὰ τῶν ἰδίων ἀνδρῶν δέξωνται. εἰ δέ τις ἐκ τῶν τοιούτων γυναικῶν τὸν ἴδιον ἄνδρα ἀκούσῃ τετελευτηκέναι, οὐδέποτε εἰς ἑτέρους αὐτὴν γάμους ἐλθεῖν ἐπιτρέπομεν, εἰ μὴ πρότερον παραγενήσηται ἡ γυνὴ δι' αὐτῆς ἢ διὰ τῶν ἰδίων γονέων ἢ δι' ἄλλου οἱουδήποτε προσώπου πρὸς τοὺς χαρτουλαρίους καὶ λιγαταρίους [8]) καὶ τριβούνους τοῦ ἀριθμοῦ, ἐν ᾧ ὁ ταύτης ἀνὴρ ἐστρατεύετο, καὶ ἐρωτήσοι εἰ ταῖς ἀληθείαις ἐτελεύτησεν ὁ αὐτῇ συνοικήσας, ὥστε ἐκείνους τῶν ἁγίων εὐαγγελίων προκειμένων ἐπὶ πράξεως ὑπομνημάτων καταθέσθαι, εἰ ταῖς ἀληθείαις ὁ ἀνὴρ τετελεύτηκεν. καὶ μεθ' ὃ ταῦτα πράξει ὑπομνημάτων ἀναληφθέντα ἡ γυνὴ ὑπὲρ τῆς ἰδίας μαρτυρίας ἐκλάβοι, καὶ μετὰ ταῦτα κελεύομεν μένειν αὐτὴν ἑνὸς ἐνιαυτοῦ διάστημα, ὥστε μετὰ τὴν τοῦ ἐνιαυτοῦ παραδρομὴν ἐξεῖναι ταύτην νομίμως συναλλάττειν γάμον. εἰ δὲ παρὰ ταύτην τὴν παρατήρησιν ἡ γυνὴ τολμήσει εἰς ἕτερον ἐλθεῖν γάμον, καὶ αὐτὴ καὶ ὁ ἀγαγόμενος αὐτὴν εἰς γάμον ὡς μοιχοὶ τιμωρείσθωσαν. εἰ δὲ οἱ ἐπὶ πράξεως ὑπομνημάτων μεθ' ὅρκου καταθέμενοι ἐλεγχθῶσι μετὰ ταῦτα πλαστῶς καταθέμενοι, αὐτοὶ μὲν τῆς στρατείας γυμνούμενοι δέκα χρυσίου λιτρῶν ποινὴν συνελαθήσονται καταβαλεῖν ἐκείνῳ, ὃν ἐψεύσαντο τετελευτηκέναι, αὐτὸς δὲ ἄδειαν ἐχέτω, εἰ βουληθείη, τὴν ἰδίαν γαμετὴν ἀναλαμβάνειν.

συνάγεται. καταρχὰς μὲν γὰρ ἡ κβ' νεαρὰ τάς τε ἀζημίους καὶ τὰς μετὰ ποινῆς διατυπώσασα λύσεις καὶ τὰ δι' αὐτὰς ἀποβαίνοντα τοῖς ἀναιτίοις διατάξασα κέρδη, οὐδὲν περὶ χρήσεως ἢ δεσποτείας προεδιωρίσατο, ἀλλ' ἁπλῶς εἶπεν οὕτως κερδαίνειν τὸ ἀνεύθυνον πρόσωπον· τηνικαῦτα γὰρ καὶ τοῖς διαλελυμένοις θανάτῳ, εἰ μὴ ἐδευτερογάμησαν καὶ παῖδας εἶχον, πάντα τὰ γαμικὰ κέρδη προσκυροῦσθαι κατὰ δεσποτείαν ἐνομίζετο. ἐπὶ δὲ τῆς ϞΗ' νεαρᾶς τοῦτο καινιζούσης καὶ πάντα τὰ γαμικὰ κέρδη, κἂν μὴ δευτερογαμήσωσιν οἱ γονεῖς, τοῖς παισὶ κατὰ δεσποτείαν νομοθετούσης φυλάττεσθαι, πάλιν ἡ ριζ' νεαρὰ τῶν μετὰ ποινῆς ἐμνημόνευσε λύσεων, εἰκότως ἑπομένη τῇ ϞΗ', ἀναλόγως τὰ ἐξ αὐτῶν κέρδη πρὸς τοὺς παῖδας κατὰ δεσποτείαν διέταξε παραπέμπεσθαι. αὖθις δὲ τῆς ρκζ' ἔχειν τῶν γαμικῶν κερδῶν καὶ μέρος τι κατὰ δεσποτείαν τοὺς μὴ δευτερογαμοῦντας εἰπούσης γονεῖς, ἡ μετ' αὐτὴν ρλδ' μοιχείας ἐπιμνησθεῖσα καὶ τῇ μὲν τοῦ μοιχοῦ γυναικὶ τὴν προγάμου δωρεὰν εἰς κέρδος δοθῆναι νομοθετήσασα, τῷ δὲ τῆς μοιχαλίδος ἀνδρὶ τὴν προῖκα, καὶ παῖδας ὑποθεμένη, τὸ τῆς χρήσεως καὶ δεσποτείας ἀπεσιώπησε· μήποτε οὖν τῇ ρκζ' ἐξηκολούθησεν;

8) De hac voce cf. Prochir. p. 81 not. 72 et Ducange glossar. in Append. s. h. v.

ΤΙΤΛΟΣ ΕΙΚΟΣΤΟΣ ΔΕΥΤΕΡΟΣ.

Περὶ δωρεῶν καὶ ἀνατροπῆς αὐτῶν.

Κεφ. α΄. Τῶν δωρεῶν a) αἱ μέν εἰσιν ἐν ζωῇ γινόμεναι καὶ πρὸς ζωὴν τὴν χάριν καὶ τὴν εὐεργεσίαν γνωρίζουσαι καὶ τὴν εὐγνωμοσύνην ἐπιζητοῦσαι· αἱ δὲ ἐν αἰτίᾳ θανάτου, αἳ καὶ μετὰ τὸν ὡς εἰπεῖν αἴτιον ταύτης τῆς δωρεᾶς θάνατον τὴν περαίωσιν καὶ τὴν βεβαίωσιν ἔχουσι. πρὸ γὰρ τοῦ τελευτῆσαι τὸν δωρησάμενον οὐδὲν ἕξει ὁ τὴν δωρεὰν κατέχων ἐξ αὐτῆς, διότι πρόσκειται τὸ μετὰ θάνατον.

β΄. Τῶν ἐν ζωῇ δωρεῶν αἱ μέν εἰσιν ἐξ αὐτῆς τῆς ὥρας καὶ τοῦ καιροῦ τὴν περαίωσιν δεχόμεναι καὶ ὡς εἰπεῖν ἀπεντεῦθεν ἤδη τὴν παράδοσιν ποιούμεναι καὶ τῆς δεσποτείας καὶ τῆς χρήσεως τοῦ δωρουμένου κτήματος ἢ χρήματος, τουτέστι κινητοῦ ἢ ἀκινήτου πράγματος, μηδενὸς ἔξωθεν ἄλλου λογισμοῦ παρακολουθοῦντος ἢ προσκειμένου ἢ προσδιοριζομένου, ἀλλ᾽ εὐθὺς τοῦ πράγματος ἀπὸ προσώπου εἰς πρόσωπον μεταβαίνοντος, ἤγουν ἀπὸ [τοῦ] τὴν δωρεὰν ποιοῦντος εἰς τὸν τὴν δωρεὰν δεχόμενον, ἄνευ τῆς οἱασοῦν προφάσεως ἢ αἱρέσεως. αἱ δέ εἰσιν ὑπὸ αἵρεσιν διδόμεναι, διαφόροις τρόποις καὶ χρόνοις εἰδοποιούμεναι, καὶ ὡς ἂν ὁ δωρούμενος προσδιορίσηται.

γ΄. Μετὰ b) θάνατον δωρεά ἐστιν, ὅτε τὶς ἑαυτὸν θέλει μᾶλλον ἔχειν ἢ τὸν λαβόντα, τὸν δὲ λαβόντα πλέον τοῦ ἰδίου κληρονόμου.

δ΄. Τρία ἐστὶν εἴδη τῶν μετὰ θάνατον δωρεῶν. ἓν μέν, ὅτε μηδενὸς ἐπηρτημένου φόβου δωρεῖται διὰ μόνην ἐλπίδα φυσικοῦ θανάτου. δεύτερον δέ, ὅτε τὶς διὰ τὸν ἐπηρτημένον ἔξωθεν καὶ οὐκ ἐκ τοῦ λαμβάνοντος θάνατον δωρεῖται, ἐφ᾽ ᾧ παραχρῆμα δεσπόσαι τὸν λαβόντα. τρίτον, ὅτε δι᾽ ἀποδημίας κίνδυνον δίδοται, ἐφ᾽ ᾧ τὸν λαβόντα μὴ δεσπόσαι, ἕως ἂν ὁ δεδωκὼς ἀποθάνῃ· οἷον ὁ κίνδυνον λῃστῶν ἢ πολεμίων ἢ τόπους ἐπιβουλευομένους εὐλαβούμενος, ἀλλὰ καὶ ὁ νοσῶν, καὶ ὁ ἄνδρα δυνατὸν ἢ γῆρας εὐλαβούμενος. ταῦτα γὰρ πάντα κίνδυνον ἐνεστῶτα σημαίνουσιν.

ε΄. Αἱ μετὰ θάνατον δωρεαὶ λεγάτοις ἐοίκασιν. ὡς οὖν ἐκεῖνα βουλομένου τοῦ λεγατεύσαντος λύονται καὶ ἀκυροῦνται, οὕτως καὶ

a) Δωρεά ἐστι τὸ χωρὶς ἀνάγκης διδόμενον.

b) Τοῦτο τὸ κεφ. ἐν ἑτέρᾳ ἐκδόσει οὕτως ἔχει· ὁ μετὰ θάνατον δωρούμενός σοι ἑαυτὸν προτιμᾷ, σὲ δὲ τοῦ κληρονόμου αὐτοῦ.

αἱ μετὰ θάνατον δωρεαί, εἰ μὴ ἄρα ὁ δωρούμενος ἀμεταμέλητον εἶναι τὴν ἑαυτοῦ γνώμην ὁμολογήσει καὶ ἰσχυρίσεται.

ϛʹ. Ἐὰν δωρούμενος ἀποστείλω σοι πρᾶγμα καὶ πρὶν ἢ δοθῆναί σοι ἀποθάνω, σὺ γίνεται σόν.

ζʹ. Ἐὰν ὁ ὑπεξούσιος κελεύσει ἢ βουλήσει πατρὸς δωρήσηται, δοκεῖ αὐτὸς ὁ πατὴρ δωρεῖσθαι. καὶ ἐάν τις τὸ σὸν πρᾶγμα βουλήσει τῇ σῇ δωρήσηταί τινι ὡς ἴδιον, δοκεῖς σὺ τοῦτο δωρεῖσθαι.

ηʹ. Ὁ πατὴρ ἔτι νήπιον ὄντα τὸν παῖδα καὶ τῷ ἄγαν τῆς ἡλικίας ἁπαλῷ μηδὲ φθεγγόμενον ἀλλὰ καὶ μηδεμίαν ἔχοντα αἴσθησιν ἢ νόησιν τῶν πραττομένων αὐτεξούσιον ποιήσας, ἐὰν δωρήσασθαι αὐτῷ τι βουληθῇ, ὡς ἐπὶ τέλει πάντα ποιείτω δωρεατικὸν συντάττων γραμματεῖον, οὐ πρὸς αὐτὸν μέντοι τὸν ἴνφαντα παῖδα, ἀλλὰ πρὸς ἕνα ἀξιόπιστον καὶ εὐνούστατον αὐτοῦ οἰκέτην, ὑποδεχόμενον τὴν δωρεὰν ὀνόματι αὐτοῦ καὶ προσπορίζοντα αὐτῷ.

θʹ. Οὔτε ὁ ἄνηβος οὔτε ὁ ἄνους δύναται δωρεῖσθαι. ἐν οὐδενὶ γὰρ τούτων ἐστὶ βούλησις.

ιʹ. Εάν τις μὴ ἔχων υἱὸν πᾶσαν αὐτοῦ τὴν οὐσίαν ἢ μέρος αὐτῆς ἰδίῳ ἀπελευθέρῳ δωρήσηται, σχῇ δὲ παῖδας μετὰ ταῦτα, πᾶσα ἀκυρούσθω ἡ δωρεὰ καὶ παλινδρομείτω πάντα πρὸς τὸν δωρησάμενον ἔχοντα πάλιν ἐξουσίαν ὡς βούλεται ταῦτα διοικεῖν.

ιαʹ. Ἐὰν [c]) ὁ τὴν δωρεὰν εἰληφὼς ἀχάριστος ὀφθῇ περὶ τὸν δωρησάμενον σκαιαῖς κατ' αὐτοῦ χρησάμενος ὕβρεσιν, ἢ χεῖρας ἀδίκους ἐπαγάγῃ, ἢ ζημίᾳ μεγίστῃ περιβάλῃ ἐξ οἰκείας ἐπιβουλῆς, ἢ περὶ τὴν ζωὴν ἐπιβουλεύσῃ, ἢ τὰ ἐν τῇ δωρεᾷ πάκτα, εἴτε ἐγγράφως εἴτε ἀγράφως γεγόνασι, μὴ πληρώσῃ, μία ἐκ τῶν ἠριθμημένων αἰτιῶν ἐὰν ἐν δικαστηρίῳ κατὰ σύστασιν φανερῶς ἀποδειχθῇ, ἀνατρεπέσθωσαν αἱ γενόμεναι δωρεαί.

c) σχόλιον. Ἐν τῇ κβʹ νεαρᾷ περὶ μητρὸς δευτερογαμησάσης καὶ προδωρησαμένης τῷ ἐκ τοῦ πρώτου γάμου παιδὶ λέγεται, μὴ ἄλλως ἀνατρέπειν τὴν δωρεάν, πλὴν εἰ μὴ ἐπιβουλεύοντα περὶ τὴν ζωὴν αὐτῆς ἢ χεῖρας αὐτῇ ἀσεβεῖς ἐπάγοντα ἢ πρὸς ἀφαίρεσιν τῆς ὅλης αὐτῆς οὐσίας πράττοντά τι τὸν λαβόντα τὴν δωρεὰν αὐτὴ ἀποδείξειεν.

ΤΙΤΛΟΣ ΕΙΚΟΣΤΟΣ ΤΡΙΤΟΣ.

Περὶ πράσεως καὶ ἀγορασίας.

Κεφ. α'. Πρᾶσις καὶ ἀγορασία συνίσταται, ἡνίκα περὶ τοῦ τιμήματος ἑκατέρου συναινέσαν μέρος ὁ μὲν τὴν καταβολὴν ποιήσηται τοῦ τιμήματος, ὁ δὲ παραδοίη τὸ πιπρασκόμενον· οὐ μόνον δὲ ἀλλὰ κἂν ὁ ἕτερος τούτων ἢ τὴν καταβληθεῖσαν τιμὴν ἀναλάβοι ἢ τὸ διαπραθὲν πρᾶγμα παραλάβοι, ἐφ' ᾧ τὴν πρᾶσιν ἀδιάλυτον προβῆναι, καὶ οὕτως τὰ τῆς πράσεως ἔῤῥωται.

β'. Τὸ δὲ ἀῤῥαβῶνος χάριν παρεχόμενον ἔλεγχός ἐστι καὶ ἀπόδειξις πράσεως καὶ ἀγορασίας συστάσεως, οὐ μὴν αὐτὸ σύστασις. ταῦτα δὲ περὶ πράσεως καὶ ἀγορασίας λέγομεν τῆς ἀγράφως γινομένης. ἐπὶ δὲ τῆς ἐγγράφως γινομένης οὐχ ἑτέρως τὸ τέλειον προσγενήσεσθαι λέγομεν τῇ πράσει καὶ τῇ ἀγορασίᾳ, εἰ μὴ καὶ τὰ συμβόλαια τῆς πράσεως συγγραφῇ, ἢ οἰκείᾳ χειρὶ τοῦ πιπράσκοντος, ἢ ὑφ' ἑτέρου μὲν γραφῇ, ὑπογράψῃ δὲ ὁ πιπράσκων. εἰ δὲ διὰ ταβελλίονος γίνεται, καὶ κόμπλα παρακολουθήσει προταχθείσης ὑπογραφῆς καὶ τοῦ συμβολαίου. τὸ δὲ δι' ἀῤῥαβῶνος γινόμενον ἐν ὑστεροβουλίᾳ κείμενον διαλυομένης τῆς πράσεως, εἰ μὲν ἀγοραστὴς ᾖ ὁ διαλύων καὶ ἀποχωρῶν, ἀπόλλυσι τὸν ἀῤῥαβῶνα· εἰ δὲ πράτης, τὸ διπλοῦν παρασχεῖν ἀναγκάζεται, τουτέστιν αὐτὸ τὸ δοθὲν καὶ ἕτερον τοσοῦτον.

γ'. Μετὰ τὸ πραθῆναι καὶ ἀγορασθῆναί τι κατὰ τοὺς ὡρισμένους χαρακτῆρας τῆς τε ἀγράφου καὶ τῆς ἐγγράφου πράσεως καὶ ἀγορασίας, ὁ κίνδυνος τοῦ πεπραμένου πράγματος εὐθέως τὸν ἀγοραστὴν ὁρᾷ, εἰ καὶ τὰ μάλιστα μήπω τὸ πρᾶγμα παραδέδοται. τοιγαροῦν εἴτε οἰκέτης ἐστὶν ὁ πεπραμένος, καὶ τελευτήσει ἢ μέρος τι βλαβῇ τοῦ σώματος, πόδα ἢ χεῖρα ἢ ὀφθαλμὸν, ἢ εἰ οἰκία ᾖ ἡ πεπραμένη, καὶ ἢ πᾶσα ἢ ἐκ μέρους πυρὶ δαπανηθῇ, ἢ ἀγρὸς βίᾳ ποταμοῦ ὅλος ἢ ἐκ μέρους ἀπόληται, εἴτε τῇ πλημμύρᾳ τοῦ ὕδατος ἢ δένδρων ἐξ ἀνέμου καταπεσόντων πολλῶν ἥττων καὶ χείρων γένηταί ὁ ἀγρὸς, ἐπὶ τούτων πάντων ἡ ζημία τὸν ἀγοραστὴν ὁρᾷ. καθόλου γὰρ ἴσθι, ὅτι δίχα δόλου ἢ ῥαθυμίας τοῦ πράτου εἰ συμβῇ τῷ πράγματι τοιοῦτον, ἕξει τὸ ἀμέριμνον ὁ πράτης.

δ'. Ὥσπερ ἡ ἐκ τύχης ἐλάττωσις ἤτοι ἀπώλεια τοῦ πεπραμένου πράγματος εἰς τὸν ἀγοραστὴν ἀνατρέχει, οὕτως καὶ εἴ τι προσγέγονε κέρδος τῷ πεπραμένῳ πράγματι, τὸν ἀγοραστὴν ὠφελήσει. ὅθεν εἰ καὶ διὰ προσκλύσεως ἢ προσχώσεως ποταμοῦ μείζων γέγονεν ὁ ἀγρὸς (ἣν γὰρ τυχὸν ἑκατὸν πλέθρων μετὰ τὸ συστῆναι

τὴν πρᾶσιν, ἐξ ἀδήλου προσετέθη αὐτῷ ἄλλα ι πλέθρα), τοῦ κέρδους ὁ ἀγοραστὴς ἀπολαύσει. χρὴ γὰρ ἐκεῖνον ἔχειν τὸ κέρδος, ὃς καὶ κινδυνεύει διὰ τῆς τούτου μειώσεως.

ε'. Εἰ πρὸ παραδόσεως φύγῃ ὁ πραθεὶς δοῦλος ἢ καὶ κλαπῇ ὑπό τινος, ὡς μὴ δόλον ἢ ῥαθυμίαν ἐλέγχεσθαί περὶ ταῦτα τοῦ πράτου, σκοπήσωμεν εἰ ὁ πράτης ἐκ τούτων ὀφείλει ζημιοῦσθαι. καὶ δεῖ οὕτως διαστίξαι· εἰ μὲν εἰς ἑαυτὸν ὁ πράτης ἀνεδέξατο τὴν τοῦ πεπραμένου οἰκέτου φυλακὴν ἕως τῆς παραδόσεως, χρεωστεῖ ἀκριβεστάτην καὶ ὑπερβάλλουσαν παραφυλακήν, καὶ αὐτὸς ἐπιγνώσεται τὴν ἐντεῦθεν ζημίαν· εἰ δὲ μὴ ἀνεδέξατο εἰς ἑαυτόν, ἕξει τὸ ἀμέριμνον. τὸ αὐτὸ καὶ ἐπὶ τῶν λοιπῶν ζώων, οἷον ἵππου, ὄνου, καμήλου καὶ ὅσα τοιαῦτά ἐστι. πάντως δὲ χρεωστεῖ ὁ πράτης τῷ ἀγοραστῇ τὴν διαυθέντευσιν καὶ διεκδίκησιν.

ς'. Ἡ πρᾶσις καὶ ἀπεντεῦθεν ἤδη, ἤγουν εὐθέως καὶ παραυτὰ χωρίς τινος προσδιορισμοῦ ἢ αἱρέσεως καὶ χρόνου ἀναβολῆς, τελειοῦσθαι δύναται, ὡς ὅταν δώσῃ τόσον ἐπὶ τῷ λαβεῖν τόδε. καὶ ὑπὸ αἵρεσιν γίνεται· οἷον ὁ δεῖνα ὁ οἰκέτης, εἴγε εἴσω μηνὸς ἀρέσει σοι, ἔστω σοι πεπραμένος νομισμάτων δέκα.

ζ'. Ἐὰν κελευσθεὶς ὁ δοῦλός μου τοὺς ὅρους ὑποδεῖξαι τοῦ πραθέντος ἀγροῦ πλέον ὑποδείξῃ κατὰ δόλον ἢ ἄγνοιαν, οὐ καταδικάζει με. τὸ αὐτὸ καὶ ἐπὶ παραδόσεως νομῆς ἀργούσης.

η'. Οὐχ ἕπεται τῷ πραθέντι δούλῳ τὸ πεκούλιον αὐτοῦ. ὅθεν ἐὰν ὁ δοῦλος κλέψῃ τι τοῦ πεκουλίου καὶ περιέλθῃ εἰς τὸν ἀγοραστήν, καὶ ὅσα δὲ μετὰ τὴν πρᾶσιν προστίθεται τῷ πεκουλίῳ, ἀποδίδοται τῷ πράτῃ, τυχὸν τοκετοὶ καὶ τὰ ἀπὸ τῶν ἔργων [τῶν] τοῦ πεκουλίου δούλων.

θ'. Ἐὰν ἐν τῷ πραθέντι οἴκῳ τὸ ἀποτεθειμένον ὑπό τινος χρυσίον κατὰ πλάνην ἀπομεῖναν ἐν αὐτῷ εὑρεθῇ, μένει τοῦ πάλαι δεσπόζοντος.

ι'. Ὁ ἐν πράσει ἀγροῦ ὑφεξελὼν ἑαυτῷ μνημεῖον, καὶ τὴν ἐπ' αὐτῷ φέρουσαν ὁδὸν ὑφεξελεῖν πιστεύεται.

ια'. Ὁ βλέπων πιπρασκόμενον ὑφ' ἑτέρου ἴδιον αὐτοῦ καὶ μὴ ἀντιλέγων, αὐτὸς πιπράσκει αὐτό.

ιβ'. Ὁ κατὰ νόμους πεκούλιον ἢ ἴδιον κτῆμα ἔχειν παραχωρούμενος ὑπεξούσιος καλῶς ἀγοράζει παρὰ τοῦ ἰδίου πατρός.

ιγ'. Ἐάν τινες ἐπίκοινον πρᾶγμα ἔχοντες συμφωνήσωσι μηδετέρῳ αὐτῶν ἐξεῖναι πωλεῖν ἑτέρῳ τινί, ἀλλὰ πρὸς ἀλλήλους γίνεσθαι τὴν πρᾶσιν, εἶτα εἷς ἐξ αὐτῶν ἕλοιτο πωλεῖν τὸ μέρος αὐτοῦ, ὀφείλει πρότερον διαμαρτύρασθαι τῷ κοινωνῷ, εἰ πρόθεσιν ἔχει τοῦ ἀγοράσαι, καὶ εἰ μὴ βούλοιτο, ἀκωλύτως ὁ προελόμενος πωλῆσαι τηνικαῦτα τῷ τυχόντι πιπράσκει.

ιδ΄. Ὁ ἐπίτροπος οὐ δύναται ὀρφανικὸν ἀγοράσαι πρᾶγμα· τὸ αὐτὸ καὶ ἐπὶ τῶν ὁμοίων, κουράτορος καὶ προκουράτορος.

ιε΄. Δύναται πολλάκις καὶ αὐτὸς ὁ ἐπίτροπος καὶ ἡ γυνὴ αὐτοῦ ἐκ τῶν πραγμάτων τοῦ ἀνήβου τῶν πιπράσκεσθαι δυναμένων πίστει ἀγαθῇ φανερῶς ἀγοράσαι. καὶ γὰρ τοῖς νομίσμασι τοῦ ἀνήβου λαθραίως μὲν συγκεχρῆσθαι κεκώλυται, φανερῶς δὲ ταῦτα δανείσασθαί οὐκ ἀπηγόρευται. ἐὰν δὲ ἀκίνητα ᾖ, οὐ δύναται δίχα δεκρέτου ταῦτα ἀγοράζειν. θεμάτισον δὲ δύο εἶναι ἐπιτρόπους, ἵνα τοῦ ἑνὸς αὐθεντοῦντος ὁ ἕτερος ἀγοράσῃ· ἐπεὶ αὐτὸς ἑαυτῷ αὐθεντῶν οὐ δύναται ἀγοράζειν ὁ ἐπίτροπος.

ιϛ΄. Ἐπίτροπος πιπράσκων οὐχ ὑπόκειται δεφενσίωνι, εἰ μὴ ῥητῶς ὁμολογήσῃ. δεσπότης δὲ ὑπόκειται, εἰ μὴ ῥητῶς ἀποτάξηται.

ιζ΄. Οὐδεὶς ἐκ τοῦ παρ᾽ αὐτοῦ ἐγχειριζομένου ὀφφικίου ἀγοράζειν τὶ δύναται δι᾽ ἑτέρου ἢ δι᾽ ἑαυτοῦ. καὶ γὰρ τοῦ πράγματος ἐκπίπτει καὶ τὸ δοθὲν τίμημα οὐκ ἀναλαμβάνει. ὅπερ κρατεῖ καὶ ἐπὶ τοῦ κουράτορος τοῦ βασιλέως.

ιη΄. Ὁ κρατῶν ὀφφίκιον ἐν ἐπαρχίᾳ οὐ δύναται ἀκίνητον ἢ κινητὸν ἀγοράζειν ἐν αὐτῇ, εἰ μὴ παρὰ τοῦ δημοσίου.

ιθ΄. Ὁ κατὰ τὸν τόπον ἄρχων εἰ διὰ χαριστικῆς ἀπό τινος τῶν ὑπὸ χεῖρα δεσπότης κτήματός τινος ἀναφανῇ ἢ διὰ πράσεως, οὐδὲν ἀπὸ τῶν τοιούτων πράξεων κερδανεῖ, οὐδὲ χρόνῳ ἡ ἀπὸ χαριστικῆς ἢ ἀπὸ διαπράσεως γεγενημένη αὐτῷ διακατοχὴ τὸ βέβαιον λαμβάνει, ἀλλὰ καὶ ἄρχοντος αὐτοῦ καὶ τῆς ἀρχῆς πεπαυμένου, ὅσος ἂν ῥυῇ χρόνος, τοῦ προτέρου δεσπότου [1]) ἔγκλησιν ποιοῦντος, ὁ μὲν στερεῖται οὗ διὰ πράσεως ἢ χαριστικῆς δεσπότης ἐνομίσθη, ὁ δὲ πρότερον ἀληθῶς γεγονὼς κύριος ἐγκαλῶν ἀναλαμβάνει τὸ ἴδιον, οὐδενὶ χρόνῳ πρὸς τὴν ἀνάληψιν τοῦ ἰδίου κτήματος κωλυόμενος [2]).

κ΄. a) Ὁ φυγάδα οἰκέτην ἢ κλέπτην πωλῶν, εἰ μὲν ᾔδει, εἰς τὸ διάφορον κατέχεται· εἰ δὲ ἠγνόει, ἐπὶ μὲν τοῦ φυγάδος τὸ τίμημα ἀπαιτεῖται, ἐπὶ δὲ τοῦ κλέπτου οὐδέν. εἰ μέντοι ἀγνοῶν κλέπτην εἶναι τὸν οἰκέτην πιστὸν εἶπεν αὐτὸν, ὡς εἰδὼς κατέχεται. τὸ δὲ διαφέρον καὶ εἰς τοὺς ὑπονοθευτὰς καὶ εἰς τὰ κλαπέντα ἀναφέρεται.

a) σχόλιον. Τὴν μὲν περὶ τοῦ φυγάδος ἀγωγὴν ἐντὸς ἓξ μηνῶν κινεῖσθαι μόνον, τὴν δὲ περὶ τῶν λοιπῶν ἐντὸς ἐνιαυτοῦ, καὶ ὅτι ὁ κινῶν περὶ τοῦ φυγάδος ὀφείλει παραστῆσαι αὐτόν.

1) A in margine: καὶ (l. κατὰ) τῶν αὐτοῦ κληρονόμων. Num forte haec in textum erant recipienda?

2) A in margine adscriptum habet locum Prochiri XIV, 11 sub inscriptione: τοῦ εὐσεβοῦς βασιλέως.

κα΄. Ὁ ἐν ἀγνοίᾳ πωλῶν ὑπαίτιον b) κατέχεται, ὅσον ἧττονος ἠγόρασεν ἄν, εἰ ᾔδει ὁ ἀγοραστής· ὁ δὲ ἐν εἰδήσει εἰς πᾶν το διαφέρον.

b) Δηλονότι τελευτήσαντα· εἰ γὰρ ζήσαντα, στρέφεται καὶ τὸ τίμημα ἀναδίδοται.

ΤΙΤΛΟΣ ΕΙΚΟΣΤΟΣ ΤΕΤΑΡΤΟΣ.

Περὶ μισθώσεως.

Κεφ. α΄. Ὁσάκις ἐπὶ τὸ γενέσθαι τὶ δίδοται, μίσθωσίς ἐστιν.

β΄. Ἐὰν συμφωνηθῇ τοὺς μισθωσαμένους οἶκον ἀβλαβὲς ἔχειν πῦρ, καὶ τυχηρὰ γένηται καῦσις, οὐκ ἐνέχεται ὁ μισθωσάμενος. εἰ δὲ κατὰ ῥαθυμίαν αὐτοῦ συνέβη, ἐνέχεται.

γ΄. Ὁ μισθωσάμενος ἀγέλην οὐκ ἐνέχεται, ἐὰν δειχθῇ, ὅτι χωρὶς ἀπάτης αὐτοῦ λησταὶ αὐτὴν ἀφείλοντο. ἀναλαμβάνει δὲ τοὺς μισθοὺς, οὓς ὑπὲρ τοῦ λειπομένου χρόνου δέδωκεν.

δ΄. Ὁ ποιμὴν καὶ ὁ ῥάπτης καὶ ὁ κναφεὺς ἀπὸ ῥαθυμίας καὶ ἀπειρίας ἐνέχονται.

ε΄. Ἐὰν συμφωνηθῇ μὴ ἔχειν πῦρ, καὶ σχῇ, ἐνέχεται, εἰ καὶ κατὰ τύχην ἐμπρησμὸς γένηται.

ϛ΄. Ἐὰν συνεφώνησεν ὁ μισθωσάμενος μὴ ἔχειν ἐν τῷ οἴκῳ χόρτον, καὶ σχῇ, εἶτα ἢ δοῦλος αὐτοῦ ἢ ξένος εἰσαγάγῃ πῦρ καὶ καύσῃ, ἐνέχεται.

ζ΄. Ἐὰν ναύκληρος μὴ δυνάμενος εἰσελθεῖν ἐν τῷ λιμένι μεταγάγῃ τὰ φορτία εἰς πλοῖόν σου, καὶ ναυαγήσῃ τὸ σὸν, ἐνέχεται ὁ πρῶτος ναύκληρος, ἐὰν παρὰ γνώμην τῶν δεσποτῶν τὰ φορτία μετήγαγεν ἢ παρὰ καιρὸν ἢ εἰς ἀνεπιτήδειον πλοῖον. εἰ δὲ μὴ ἐποίησε ῥαθυμίαν, οὐκ ἐνέχεται.

η΄. Ἐὰν πλοῖον ναυαγήσῃ διὰ τὸ μὴ σχεῖν κυβερνήτην, ἐνέχεται τοῖς ἐπιβάταις ὁ ναύκληρος.

θ΄. Τοῦ πλοίου ναυαγησαντος ὁ ναύκληρος ἀποδίδωσι τὰ ναῦλα, ἅπερ ἔλαβεν ἐν προχρείᾳ, ὡς μὴ μετακομίσας τὰ τῶν ἐπιβατῶν φορτία.

ι΄. Ἐὰν λάβῃ τὶς ἐπὶ τὸ ἐγκλεῖσαι ἢ γλύψαι τινὰ τῶν τιμίων λίθων καὶ κλασθῇ, εἰ μὲν ἐξ ἀπειρίας τοῦ τεχνίτου, ἐνέχεται· εἰ δὲ ἀπὸ αἰτίας τῆς ὕλης, οὐκ ἐνέχεται, εἰ μὴ τὸν κίνδυνον ἀνεδέξατο.

ια΄. Ἐὰν μυόβρωτον γένηται τὸ δοθὲν τῷ κναφεῖ, ἐνέχεται· καὶ ἐὰν ἑτέρῳ τὸ ἑτέρου παράσχῃ, κἂν ἐν ἀγνοίᾳ.

ιβ΄. Ἐὰν παριόντων τῶν στρατιωτῶν παραχωρήσῃ ὁ μισθωσάμενος, καὶ οἱ στρατιῶται τὰς θυρίδας ἤ τι ἕτερον ἀφέλωνται, ἐνέχεται, εἰ δυνάμενος οὐκ ἀπήγγειλε τῷ δεσπότῃ, ἢ δυνάμενος οὐκ ἀντέστη τοῖς στρατιώταις [a]).

ιγ΄. Ἐὰν μετὰ τὸ πληρωθῆναι τὸν χρόνον τῆς μισθώσεως ὁ μισθωτὸς ἐπιμένοι, συναινοῦντος μὲν ἑκατέρου μέρους, οὐ διορισαμένου δὲ χρόνον δευτέρας μισθώσεως, ἀνανεοῦται ἡ μίσθωσις εἰς ἐκεῖνον μόνον τὸν ἐνιαυτὸν, οὐ μὴν διαβαίνει καὶ εἰς ὅλον τὸν λειπόμενον χρόνον ἑτέρας πάλιν πενταετίας, εἴγε εἰς πενταετίαν τυχὸν ἦν ἡ προτέρα μίσθωσις. ὅπερ καὶ ἐπὶ πολιτικῶν ἐστὶ μισθώσεων. εἰ δὲ καὶ τὸν δεύτερον ἐπιμείνοι, ἐνέχεται εἰς αὐτὸν, καὶ ἐπὶ τῶν ἑξῆς ὁμοίως [b]).

ιδ΄. Ἐάν τις ἑνὶ ἐνιαυτῷ συγχωρήσῃ τῷ μισθωσαμένῳ διὰ τὴν ἀφορίαν, καὶ εὐφορία ἐν τοῖς ἑξῆς ἐνιαυτοῖς γένηται, λαμβάνει ἀπὸ τῆς εὐφορίας τὸ διὰ τὴν ἀφορίαν συγχωρηθέν. εἰ δὲ ἐν τῷ ὑστέρῳ ἐνιαυτῷ γέγονεν ἡ ἀφορία καὶ ἡ συγχώρησις, τῶν πρώτων εὐφορησάντων, ἐὰν οἶδεν, ὁ μισθωτὴς [οὐ] [3]) συλλογίζεται [c]).

ιε΄. Εἰ καὶ ἐν ἀγνοίᾳ μισθώσω πίθους κεκλασμένους, καὶ ἐκχυθῇ ὁ οἶνος, εἰς τὸ διαφέρον ἐνέχομαι.

ιϛ΄. Εἰ δὲ τόπον εἰς βοσκὴν μισθώσω, καὶ ἐκ τῶν ἐν αὐτῷ κακῶν βοτανῶν βλαβῶσιν ἢ φθαρῶσι τὰ θρέμματα, εἰ μὲν ᾔδειν, εἰς τὸ διαφέρον ἐνέχομαι· εἰ δὲ ἠγνόουν, οὐκ ἀπαιτῶ τὸν μισθόν.

ιζ΄. Ἐὰν [d]) δίαιταν εἰς ἐνιαυτὸν μισθωσάμενος ὅλον παρά-

a) τῆς ἄλλης ἐκδόσεως [1]). Εἰ παριόντος ἐξπεδίτου μετέλθῃ ὁ ἔνοικος καὶ εἰσελθόντες βλάψωσί τι οἱ στρατιῶται, εἰ ἠδύνατο ἀντιστῆναι ἢ παραγγεῖλαι τῷ δεσπότῃ, ἐνέχεται.

b) Εἰ [2]) πληρωθῇ ὁ χρόνος τῆς μισθώσεως καὶ ἐπιμείνῃ ὁ μισθωτὸς, μένει ἡ μίσθωσις ἐπὶ ἄλλον ἐνιαυτόν· ὅπερ ἐστὶ καὶ ἐπὶ ἀγροῦ πόλεως. ἐπὶ δὲ οἴκου ὅσον οἰκεῖ τις, τοσοῦτον καὶ ἀπαιτεῖται, εἰ μὴ ἐν ἐγγράφοις ῥητὸς χρόνος ὁρισθῇ τῇ μισθώσει.

c) τῆς ἄλλης [4]). Εἰ ἀφορία γένηται καὶ παραχωρηθῇ ὁ μισθὸς, ὕστερον, εἰ εὐφορία γένηται, ἀπαιτεῖται, κἂν ῥηθῇ ὅτι δωροῦμαί σοι τὸν μισθόν. οὐ γάρ ἐστι δωρεὰ, ἀλλὰ διάλυσις. εἰ δὲ πρότερον ἐγεγόνει εὐφορία, καὶ ᾔδει ὁ μισθωτὴς, ὅτι διὰ τὴν ἀφορίαν τὴν μετὰ ταῦτα συνεχώρει τὸν μισθὸν, οὐδὲν ἀπαιτεῖ.

d) Εἰ μισθώσομαι βαλανεῖον ἐπὶ ἐνιαυτὸν, καὶ πέσει τῷ τρίτῳ μηνὶ, ἀναλαμβάνω τὸ περιττὸν τοῦ μισθοῦ [5]).

1) Digesta Cyrilli innui videntur.
2) Cyrilli. Cf. Schol. f Basil. Fabr. II, 455 ed. Heimb. II p. 342.
3) In A deest.
4) Cyrilli, uti videtur.
5) Cyrilli. Est in schol. b Basil. Fabr. II, 471, Heimb. II p. 356.

σχω τὸν μισθὸν, καὶ πέσῃ ἢ καυθῇ τῷ ἕκτῳ μηνὶ, ἀναλαμβάνω τὸ λοιπόν. ὁμοίως κἂν ἐν ὁποίῳ οὖν μέρει τοῦ ἐνιαυτοῦ τοῦτο γένηται, τὸ τοῦ μισθοῦ μέρος ἀναλόγως ἀναλαμβάνω [e]).

ιη'. Ἐὰν συμφωνηθῇ κυρωθῆναι τὸ ἔργον δοκιμασίᾳ τοῦ δεσπότου, ἀνδρὸς ἀγαθοῦ δοκιμασίαν ἐπιζητοῦμεν. τὸ αὐτὸ κἂν εἰς δοκιμασίαν ἑτέρου τινὸς τὸ ἔργον ἀγάγωμεν· οὐκ ἔχει δὲ ὁ τοιοῦτος ἄδειαν τὸν χρόνον ἐκτείνειν, ἐν ᾧ τὸ ἔργον συνεφωνήθη γενέσθαι, ἀλλὰ μόνον τὸ ἔργον δοκιμάζει [f]).

ιθ'. Ὁ ἐπὶ χρήμασι μισθωσάμενος τὴν συμβαίνουσαν τοῖς καρποῖς ἄμετρον βλάβην ἐκ τῆς λεγομένης θεομηνίας οὐκ ἐπιγινώσκει, ἀλλὰ τὴν μετρίαν. ὁ δὲ τοὺς καρποὺς μερίζεσθαι μισθωσάμενος, ὡσανεὶ δικαίῳ κοινωνίας καὶ τὸ κέρδος καὶ τὴν ζημίαν συμμερίζεται τῷ δεσπότῃ [g]).

κ'. Ἐάν τις ἐπὶ τὸ μετακομίσαι μισθώσηται κίονα, καὶ κλασθῇ ἐν τῷ κουφίζεσθαι ἢ βαστάζεσθαι ἢ ἀποτίθεσθαι, οὐκ ἐνέχεται, εἰ μὴ ἀπὸ ῥαθυμίας οἰκείας καὶ τῶν ὑπουργούντων αὐτῷ. ἐστέρηται δὲ ῥαθυμίας, εἰ πάντα γέγονεν, ἅπερ ἐπιμελέστατός τις ἔπραττεν. τὸ αὐτὸ καὶ περὶ πίθων καὶ ξύλων καὶ τῶν ἄλλων πραγμάτων.

κα'. Ὁ μισθωσάμενος ἄλογον ἐπὶ τὸ βαστάσαι τὶ δῆλον, καὶ βαρύτερον ἐπιθεὶς, βλαπτομένου αὐτοῦ ἐνέχεται, ὁστισδήποτε εἰ ἔβλαψεν.

κβ'. Ὁ λαβὼν μισθὸν ἐπὶ φυλακῇ πράγματος, ἐγκινδυνεύει περὶ τὴν αὐτοῦ φυλακήν.

e) τῆς ἄλλης [6]). Εἰ ὁ μισθώσας λύει τὸν οἶκον, εἰ μὲν ἐξ ἀνάγκης, ὃν ἔλαβε μισθὸν ἀναδίδωσιν· εἰ δὲ μὴ, ὃν λαμβάνει ὁ ἔνοικος μεταμισθώσας αὐτόν.

f) Εἰ ὁ μισθώσας ἔργον εἴπῃ, κρίσει ἑαυτοῦ ἢ τιτίου δοκιμασθῆναι τοῦτο, ἀνὴρ ἀγαθὸς τοῦτο δοκιμάζει. ἐπεκτείνειν δὲ τὴν τοῦ ἔργου ἡμέραν [οὐ] δύναται [7]).

g) Εἰ [8]) ὅλισθος γένηται ἢ ἐρυσίβη καὶ πάντα τὸν καρπὸν ἀπολέσῃ, ὁ κολωνὸς [9]) οὐ ζημιοῦται, εἰ μὴ τὸν σπόρον. ὥσπερ εἰ καὶ θερμὸς ὁ ἥλιος γένηται ἢ ἐξέρκιτον παρέλθῃ, παρὰ συνήθειαν μέντοι, ἢ σεισμὸς, καὶ καταπέσῃ πᾶς ὁ ἀγρὸς, ἢ ἐμπρησθῇ. ἐπὶ γὰρ πάντων τῶν τυχηρῶν οὐ τὸ διαφέρον ἀπαιτεῖ ὁ μισθωτός, ἀλλὰ τὸν μισθὸν, ζημιούμενος τὸν σπόρον. εἰ δὲ ὁ μισθώσας κωλύει αὐτὸν χρήσασθαι, τὸ διαφέρον. εἰ δὲ μέτρια βλάψωσι τὰ τυχηρὰ, τὸν μισθωτὸν ὁρᾷ. ταῦτα περὶ τοῦ ἐν ἀργυρίοις μισθωσαμένου. ὁ γὰρ μέρος διδοὺς τῶν καρπῶν, ὡς κοινωνὸς μερίζεται τὸ κέρδος καὶ τὴν ζημίαν.

6) Cyrilli. Schol. a Basil. l. l.

7) Cyrilli. Schol. e Bas. Fabr. II, 465. Heimb. II p. 350.

8) Cyrilli. Schol. l Bas. Fabr. II, 457. Heimb. II p. 344, et schol. n Bas. Fabr. II, 459. Heimb. II p. 345, et schol. q Bas. Fabr. II, 468. Heimb. II p. 353.

9) A in margine habet glossam: ὁ μισθωτός.

κγ΄. Ὁ κλέπτων τὸν μισθωθέντα αὐτῷ δοῦλον ἐνέχεται ὡς κλέπτης.

κδ΄. Ἐὰν ὁ μισθώσας ὁμολογήσῃ ποινὴν διδόναι τῷ μισθωσαμένῳ, εἴπερ αὐτὸν ἐξεώσηται πρὸ συμπληρώσεως τῆς πενταετίας, ἀζημίως αὐτὸν ἐξεοῦται μὴ καταβάλλοντα τὸν μισθὸν ἐμπροθέσμως ἢ μὴ γεωργοῦντα χρησίμως.

κε΄. Ἐὰν χωρὶς αἰτίας καταλίποι τὸν ἀγρὸν ὁ μισθωσάμενος πρὸ συμπληρώσεως τοῦ χρόνου, δίδωσιν ὅλου τοῦ χρόνου τὸν μισθόν.

κς΄. Τῶν ἐνοίκων ἐπὶ πολὺν χρόνον, τουτέστιν ἐπὶ διετίαν, μὴ φαινομένων μήτε τὸ στεγονόμιον καταπεμφθέντων, ἔξεστιν οἷς διαφέρει ἀνοίγειν καὶ παρουσίᾳ δημοσίων προσώπων ἀπογράφεσθαι τὰ ἐκεῖ ὄντα.

κζ΄. Ἐὰν τὸ γενόμενον ἔργον ἀπὸ σεισμοῦ παρασαλευθῇ, τοῦ μισθώσαντός ἐστιν ὁ κίνδυνος [h]).

κη΄. Ἐὰν πρὸ δοκιμασίας πέσῃ τὸ ῥεῖθρον, εἰ μὲν ἀπὸ αἰτίας τοῦ ἐδάφους, ὁ μισθώσας ζημιοῦται· εἰ δὲ ἐξ ἐλαττώματος τοῦ ἔργου, ὁ μισθωσάμενος [i]).

h) Εἰ ὁ οἰκοδόμος μέρος κτίσῃ, καὶ τοῦτο ὑπὸ σεισμοῦ πέσῃ, τὸν δεσπότην ὁρᾷ [10]).

i) Εἰ ὁ ὁλκὸς, ὃν ἐμισθώθω ποιῆσαι, πριν ἢ δοκιμασθῇ, ὑπὸ ὀλίσθου πέσῃ, σὺ κινδυνεύεις, εἰ μὴ ἀσθενείᾳ τοῦ ἐδάφους, ἀλλὰ τοῦ ἔργου ἔπεσεν [11]).

ΤΙΤΛΟΣ ΕΙΚΟΣΤΟΣ ΠΕΜΠΤΟΣ.

Περὶ καταθήκης.

Κεφ. α΄. Παρακαταθήκη ἐστὶ τὸ ἐπὶ παραφυλακῇ διδόμενον.

β΄. Ἐπὶ παρακαταθήκης δυνατὸν συμφωνεῖν τὸ καὶ ἀπὸ πταίσματος τοῦ τυχόντος περὶ τὴν βλάβην τῆς παρακαταθήκης ἐνέχεσθαι. τὸ δὲ ἀπὸ δόλου μὴ ἐνέχεσθαι, οὐδεὶς συμφωνεῖ.

γ΄. Ἐπὶ τῶν ἀπὸ θορύβου ἢ ἐμπρησμοῦ ἢ συμπτώσεως ἢ ναυαγίου παρακατατιθεμένων κατὰ μὲν τοῦ λαβόντος εἰς τὸ δι-

10) A hoc scholium in textu collocatum habet, tanquam §. 28. Sed est repetitio l. 59. D. h. t. ex editione Cyrilli. Cf. schol. y Bas. Fabr. II, 482. ed. Heimb. II p. 365.

11) Etiam hoc Cyrilli esse videtur.

πλοῦν ἀγωγὴ ἁρμόζει, κατὰ δὲ τῶν κληρονόμων, ἀπὸ μὲν δόλου τοῦ διαθεμένου εἰς τὸ ἁπλοῦν, ἀπὸ δὲ οἰκείου εἰς τὸ διπλοῦν. ἐπὶ δὲ τῶν λοιπῶν παρακαταθηκῶν εἰς τὸ ἁπλοῦν ἡ ἀγωγὴ δίδοται [a]).

δ'. Τῆς παρακαταθήκης καὶ οἱ καρποὶ καὶ οἱ τοκετοὶ καὶ πᾶν πρᾶγμα ἀπαιτεῖται καὶ ἀποκαθίσταται τῷ παραθεμένῳ.

ε'. Ὁ παρακαταθέμενος δύναται παραχρῆμα κινῆσαι τὴν περὶ παρακαταθήκης ἀγωγὴν, καὶ μὴ ἀποδιδοὺς ὁ δεξάμενος δόλον ποιεῖ, εἰ μὴ ἀλλαχοῦ ἐστιν, ἢ ἀποκέκλεισται ἐν τόπῳ τέως ἀνοιγῆναι μὴ δυναμένῳ, ἢ οὐκ ἐξῆλθεν ἡ αἵρεσις τῆς παρακαταθήκης.

ϛ'. Εἴτε περίεστιν ὁ παρακαταθέμενος δοῦλος εἴτε ἀπέθανεν ἢ ἠλευθερώθη ἢ ἐξεποιήθη, ὁ δεσπότης ζητεῖ τὴν παρακαταθήκην, οὐ μὴν αὐτὸς ὁ ἐλευθερωθεὶς, οὔτε ὁ νέος αὐτοῦ δεσπότης. τῇ γὰρ ἀρχῇ προσεκτέον τοῦ συναλλάγματος.

ζ'. Ἐὰν ὁ δοῦλός μου κἂν ὁ διαφέρων [1]) δουλεύων μοι ἢ ὁ τοὺς καρπούς μου δεχόμενος παρακατάθηται τὸ ἀνῆκόν μοι, ἔχω τὴν ἀγωγὴν τὴν περὶ καταθήκης.

η'. Καὶ κληρονομιαίου δούλου ὁ κληρονόμος ζητεῖ τὴν παρακαταθήκην.

θ'. Δοῦλός σου παρέθετό μοι χρήματα ἐπὶ τὸ δοῦναί σοι ὑπὲρ τοῦ ἐλευθερῶσαι αὐτόν. εἰ μὲν διδοὺς ἐποίησά σε τῶν παρακολουθησάντων ἐν εἰδήσει, οὐκ ἐνέχομαι. εἰ δὲ ὡς ἴδια δέδωκα, ὑπόκειμαι διδόναι ὡς παρακαταθήκην. ὁ γὰρ ὡς ἴδια δοὺς οὐκ ἀποδοῦναι δοκεῖ τὴν παρακαταθήκην.

ι'. Εἴτε ὁ τὴν παρακαταθήκην δεξάμενος εἴτε ὁ κληρονόμος αὐτοῦ ἐναχθῇ, καὶ φυσικῶς τὸ πρᾶγμα πρὸ ψήφου φθαρῇ (τυχὸν

a) Τοῦτο δεῖ νοεῖν οὐχ ἐπὶ ἀρνήσεως (ὁ γὰρ τὴν παρακαταθήκην ἀρνούμενος, εἴτε ἐκ τούτων εἴτε ἄλλη τὶς σιαοῦν, μετ' ἐλέγχους ὡς κλέπτης εὐθύνεται τριπλάσιον ἀπαιτούμενος), ἀλλ' ἐπὶ τῶν ὁμολογούντων μὲν, ἄλλο δέ τι προφασιζομένων καὶ μὴ ἀποδιδούντων εὐθέως. ἡνίκα γὰρ τοῦτο γένηται, εἰ μὲν ὁ παρακαταθέμενος θόρυβόν τινα ἢ ναυάγιον ἢ ἐμπρησμὸν ἢ κατάπτωσιν τῆς οἰκίας ὑφιστάμενος καὶ ἐν τῇ αὐτῇ περιστάσει ὧν παρακατέθετο, εἰ μὲν ὁ λαβὼν δολιεύσηται, καὶ αὐτὸς ἔτι ζῶν ἐναχθῇ, τὸ διπλοῦν ἀπαιτεῖται· εἰ δὲ δολιευσάμενος πρὸ τῆς ἐναγωγῆς ἀποθάνοι, εἰ μὲν οἱ κληρονόμοι αὐτοῦ εὐγνωμονήσουσι, τὸ ἁπλοῦν διδόασιν· εἰ δὲ καὶ αὐτοὶ δολιεύσωνται, τὸ διπλοῦν ἀπαιτοῦνται. τὸ αὐτὸ κἂν εἰ τοῦ λαβόντος μηδὲν ἁμαρτῶντος οἱ κληρονόμοι αὐτοῦ δολιεύσωνται. ἐπὶ δὲ πάσης ἄλλης παραθήκης καὶ μετὰ τὸν δόλον ἁπλὴ ἡ ἀνάδοσις.

1) Proch.: καλῇ πίστει. Bas.: βόνα φίδε. 2) Bas.: ἢ οὗτινος τὴν χρῆσιν ἔχω.

γὰρ δοῦλος ἦν καὶ ἀπέθανεν), ἐλευθεροῦται ὁ ἐναγόμενος, εἴγε καὶ παρὰ τῷ ἐνάγοντι εἰ ἀπεκατέστη ἀπώλλυτο[b]).

ια΄. Ὁ μὴ τῆς παρακαταθήκης ὡς τῶν ἰδίων ἐπιμελούμενος δόλον ποιεῖ.

ιβ΄. Ἐὰν ἐξ ἐπιδρομῆς λῃστῶν ὁ τὴν παρακαταθήκην λαβὼν ἀπώλεσε, οὔτε αὐτὸς οὔτε οἱ τούτου κληρονόμοι ἐνέχονται. ὁ γὰρ παρακαταθήκην λαμβάνων δόλον μόνον καὶ ῥαθυμίαν καὶ ἀμέλειαν ἀπαιτεῖται, εἰ μὴ ῥητῶς καὶ ἕτερόν τι συνεφωνήθη. ἐὰν δὲ ἀποκεχρημένος τῇ προφάσει τῆς προκειμένης αἰτίας ἢ ἄλλης τυχηρᾶς περιστάσεως καὶ ἔχων τὰ παρακατατεθέντα αὐτῷ πράγματα ἢ αὐτὸς ἢ ὁ κληρονόμος ἢ κατὰ δόλον παυσάμενος ἔχειν αὐτὰ μὴ ἀποκαθίστησιν, ἐνέχεταί τῇ ἀγωγῇ τῆς παρακαταθήκης.

ιγ΄. Ὁ ἐγγυησάμενος τὸν λαβόντα παρακαταθήκην ἐνέχεταί, κἂν δόλον μὲν ὁ λαβὼν οὐκ ἐποίησεν, ἔχει δὲ τὸ πρᾶγμα· τί γάρ; ὅτι μαίνεται ἢ ὀρφανὸς καὶ ἄνηβός ἐστιν ἢ ἀδιάδοχος ἐτελεύτησεν; καὶ ἀναγκαζέτω παρασχεῖν ὁ ἐγγυητής, ὅσα λόγῳ παρακαταθήκης εἴωθε δίδοσθαι[c]).

ιδ΄. Ὁ παρ᾽ ἑκατέρου μέρους ἢ διαλύσεως συμβόλαια ἢ ἄλλα τινὰ δικαιώματα κατὰ παρακαταθήκην λαβών, ἀνάγκην ἔχει φυλάττειν τὰ σύμφωνα, ἐφ᾽ οἷς τὴν παρακαταθήκην ἔλαβεν.

ιε΄. Ἐὰν θέλοντί μοι παραθέσθαι σοι πρᾶγμα ἐπιτρέψῃς αὐτὸ παρασχεῖν τῷ ἀπελευθέρῳ σου, εἰ μὲν ὡς σοῦ μέλλοντος φυλάττειν ἔδωκα, ὀφείλεις δοῦναι τὴν παρακαταθήκην[5])· κατὰ σοῦ δὲ οὐδὲν κινῶ, εἰ μὴ ἐνετείλω μοι κινδύνῳ σου αὐτῷ παρακαταθέσθαι.

b) Ἡ μετὰ προκάταρξιν φυσικὴ φθορὰ τὸν ἐνάγοντα ὁρᾷ. — τῆς ἄλλης ἐκδόσεως[3]). Ὁ τὴν παραθήκην λαβών, δυνάμενος ἀποδοῦναι τὸ πρᾶγμα, μετὰ προκάταρξιν τοῖς τυχηροῖς ὑπόκειται. — σχόλιον. Ὥστε οὖν διαφέρει τῆς φυσικῆς φθορᾶς ἡ κατὰ τύχην. δεῖ οὖν καὶ ταῦτα νοεῖν οὐκ ἐπὶ ἀργήσεως, ἀλλ᾽ ἐπί τινος ἄλλης ἢ ἀληθοῦς ἀναβολῆς ἢ φαινομένης προφάσεως. ἀλλ᾽ εἰ καὶ φυσικῶς φθειρομένου τοῦ πράγματος ὁ ἐνάγων ζημιοῦται, οὐ πάντως ὁ ἐναγόμενος ἀθῶος ἀπολυθήσεται, ἀλλὰ καὶ τῆς δίκης τα δαπανήματα καταβαλεῖ τῷ ἐνάγοντι, καὶ ἄλλο πᾶν εἴ τι παρὰ τῶν νόμων ἐπάγεται τοῖς δυσκολαίνουσιν ἐπιτίμιον ὑποστήσεται· ἃ νῦν σιγηθέντα διὰ τῆς ἀχρηστίας πολυπλασίους τὰς ἀγνωμοσύνας καὶ τὰς ἀμφισβητήσεις ἐποίησαν.

c) τῆς ἄλλης ἐκδόσεως[4]). Ὁ ἐγγυητὴς τοῦ λαβόντος τὴν παρακαταθήκην κατέχεται, κἂν δόλον μὲν οὐκ ἐποίησεν ὁ πρωτότυπος, ἀλλ᾽ ἔχει τὸ πρᾶγμα καὶ οὐκ ἀποκαθίστησιν, οὐ δόλῳ, ἀλλ᾽ ὅτι μαίνεται ἢ ἄνηβός ἐστιν ἢ δίχα κληρονόμου ἀπέθανεν.

3) Cf. l. 12 §. 3 D. h. t. Ex Cyrillo esse videtur.

4) Cyrilli. Schol. 1 Bas. Fabr. II, 111. Heimb. II p. 29.

5) Nonnulla excidisse videntur.

ις'. Ὁ λαβὼν πρᾶγμα εἰς παρακαταθήκην καὶ παρακαταθέμενος αὐτὸ ἐγγράφως ἑτέρῳ τινὶ, οὐ καλῶς παραιτεῖται ἀποκαταστῆσαι, ἅπερ ἔλαβεν, ἐκ τοῦ προφέρειν τὸν χάρτην εἰς ἀπόδειξιν τοῦ, ὅτι ἑτέρῳ ταῦτα παρέθετο.

ΤΙΤΛΟΣ ΕΙΚΟΣΤΟΣ ΕΚΤΟΣ.

Περὶ κοινωνίας.

Κεφ. α'. Συνίσταται κοινωνία κατὰ παντὸς, ἢ ἕως οὗ ζῶσιν οἱ κοινωνοῦντες, ἢ πρὸς καιρὸν, ἢ ἀπὸ καιροῦ, ἢ ὑπὸ αἵρεσιν.

β'. Συνίσταται κοινωνία καὶ ἐπὶ πᾶσι τοῖς πράγμασι, καὶ ἐπὶ πραγματείᾳ, καὶ ἐπὶ τέλει, καὶ ἐφ' ἑνὶ πράγματι, καὶ μεταξὺ τῶν ἄνισον οὐσίαν ἐχόντων. ὁ γὰρ πενέστερος ὡς ἐπίπαν τὸ λεῖπον ἐν χρήμασι διὰ τῆς σπουδῆς ἀντεισάγει.

γ'. Ἐν τῇ συστάσει τῆς κοινωνίας οὐδὲν δεῖ περὶ τῆς ἀπαγορεύσεως συμφωνεῖν· κατὰ φύσιν γὰρ ὁ τῆς κοινωνίας παρὰ καιρὸν ἀπαγορεύσας ἐνέχεται.

δ'. Ἐὰν ῥητῶς πάντων τῶν πραγμάτων γένηται κοινωνία, καὶ κληρονομίαι καὶ ληγάτα καὶ δωρεαὶ καὶ πᾶν κέρδος τῇ κοινότητι προσπορίζεται.

ε'. Ἐὰν ἁπλῶς γένηται κοινωνία καὶ μὴ ὁρισθῇ ἐπὶ τίνι, ἐπὶ τῷ περιγινομένῳ πόρῳ καὶ κέρδει ἀπὸ πράσεως καὶ ἀγορασίας, μισθώσεως καὶ ἐκλήψεως δοκεῖ συνίστασθαι. πόρος γάρ ἐστιν ὁ ἀπὸ καμάτου τινὶ περιγινόμενος· κληρονομίαι δὲ καὶ ληγάτα καὶ δωρεαὶ τῷ πόρῳ οὐ περιέχονται. αἱ γὰρ δωρεαὶ ὡς μισθός τινος ἡγησαμένου περιγίνονται ἡμῖν.

ς'. Ἐὰν συμφωνήσωμεν κοινὴν εἶναι τὴν ὡς εἰκὸς ἐρχομένην εἰς ἕνα ἡμῶν δικαίαν κληρονομίαν, οὐ περὶ τῆς ἐκ διαθήκης δοκοῦμεν λέγειν, ἀλλὰ περὶ τῆς νομίμου.

ζ'. Ὁ εἷς τῶν κοινωνῶν ἀργυροπρατῶν οὐ κοινοποιεῖ τὰ ἔξωθεν τῆς τραπέζης αὐτῷ περιποιηθέντα.

η'. Εἰ δὲ καὶ ἀδελφοὶ ἐπὶ κοινωνίᾳ τὰς τῶν γονέων οὐ διείλοντο κληρονομίας, οὐ κοινοποιοῦσιν τὰ ἔξωθεν αὐτοῖς κτηθέντα.

θ'. Ἡ κατὰ δόλον καὶ ἀπάτην γενομένη κοινωνία οὐκ ἔῤῥωται· τούτοις γὰρ ἡ ἀγαθὴ πίστις ἐναντιοῦται.

ι'. Τὰ ἐξ οἰκείας ἀμελείας συμβαίνοντα ἐπιγινώσκει ὁ κοι-

νωνὸς, κἂν ἐν πολλοῖς ἑτέροις ὠφέλησεν· οὐ γὰρ συμψηφίζεται τῷ κέρδει ἡ ἀμέλεια.

ια'. Ἐὰν ὁ κοινωνὸς ἐπὶ κοινῇ ἀποδημήσας ἐμπορίᾳ περιπέσῃ λῃσταῖς καὶ ἀπώλεσεν τὰ ἴδια χρήματα ἢ πράγματα, ἅτινα εἰ μὴ διὰ τὴν ἐμπορίαν οὐκ ἂν ἐλάμβανε, τὸ μέρος τῆς ζημίας ἐπιγινώσκει ὁ κοινωνὸς καὶ τῶν περὶ τὴν ἰατρείαν δαπανῶν. τὸ αὐτό ἐστι, κἂν πλέων μετὰ τῆς πραγματείας ἐναυάγησε καὶ ἐζημιώθη, ὅτε χωρὶς θαλάσσης οὐκ εἰώθει ἡ πραγματεία φέρεσθαι.

ιβ'. Τὰ συστάντα χρέη τῷ καιρῷ τῆς κοινωνίας ἐκ τοῦ κοινοῦ δίδοται, καὶ ἐὰν πρὸ τῆς καταβολῆς τοῦ χρέους (ἴσως γὰρ αἱρετικόν ἐστιν) ἡ κοινωνία λυθῇ, περὶ τῆς καταβολῆς ἀλλήλους ἀσφαλίζονται.

ιγ'. Ἐὰν χρήματα συνεισαγάγωμεν ἐπὶ κοινῇ πραγματείᾳ καὶ ἀπώλονται τὰ ἐμὰ, τῇ κοινότητι ἀπώλοντο, εἴγε οὐκ ἀπώλοντο εἰ μὴ συνέστη ἡ κοινωνία. εἰ δὲ μετὰ τὸ ἀφορίσαι με καὶ μήπω συνεισαγαγεῖν ἀπώλοντο, μόνος ζημιοῦμαι.

ιδ'. Τὰ τυχηρὰ ὁ κοινωνὸς πάντα οὐκ ἐπιγινώσκει. ὅθεν τὰ δοθέντα διατετιμημένα θρέμματα, εἰ μὲν ὑπὸ λῃστῶν ἀφαιρεθῶσι, κοινὴ γίνεται ἡ ζημία· εἰ δὲ κλαπῶσι, μόνος ὁ ἐσχηκὼς αὐτὰ ζημιοῦται. χρεωστεῖ γὰρ ἀκριβεστάτην ἀσφάλειαν ὁ δεξάμενος διατετιμημένα· καὶ ἁρμόζει ἡ περὶ κοινωνίας ἀγωγὴ, ἐὰν ἐπὶ κοινωνίαν ἐδόθησαν βόσκεσθαι καὶ τὰ μάλιστα διατετιμημένα.

ιε'. Ὁ κοινωνός μου ἐπὶ τῷ κοινῷ πράγματι καὶ τῇ τῆς κλοπῆς ἀγωγῇ καὶ τῇ τῆς κοινωνίας ἀγωγῇ ἐνέχεταί μοι, καὶ οὐκ ἀναιρεῖ τὴν ἑτέραν ἡ ἑτέρα.

ις'. Ὁ ἀποδημήσας διὰ κοινὴν ἐμπορίαν μόνος τὰς εἰς αὐτὴν γενομένας δαπάνας λογίζεται τῇ κοινότητι.

ιζ'. Ὁ κοινωνὸς ὑπερτιθεμένων τῶν ἄλλων ἐὰν ἀνανεώσῃ τὸν κοινὸν οἶκον, ἐπιλογὴν ἔχει ἢ τὰ δαπανηθέντα λαβεῖν εἴσω δ μηνῶν μετὰ τὴν ἀνανέωσιν, ἢ τὸν οἶκον εἰς δεσποτείαν μετὰ τὸ παρελθεῖν τὸ τετράμηνον.

ιη'. Ἐὰν ἀπαγορεύσω τῷ ἀπολιμπανομένῳ μου κοινωνῷ, ὅσα μὲν κτήσομαι ἕως οὗ μάθῃ κοινὰ γίνεται, ἡ δὲ ζημία μόνον ἐμὲ ὁρᾷ. τὸ δὲ κέρδος τοῦ κοινωνοῦ αὐτοῦ μόνου ἐστὶ, καὶ ἡ ζημία κοινή [a]).

a) Τῆς ἄλλης [1]). Ἐὰν πάντες ἀπαγορεύσωσιν οἱ κοινωνοὶ, λύεται ἡ κοινωνία. εἰ δὲ εἷς ἀπαγορεύσῃ δόλῳ· τί γάρ; ὅτι κληρονομία ἐπ' αὐτὸν κα-

1) Est l. 65 §. 3 D. h. t. e Cyrillo. Cf. schol. g Basil. Fabr. II, 36. Heimb. I p. 774.

ιθ'. Εἰ καὶ συνεφωνήθη εἴσω δήλου καιροῦ μὴ λυθῆναι τὴν κοινωνίαν, ἐξ εὐλόγου αἰτίας λύεται. τί γάρ; ὅτι καὶ ἡ αἵρεσις ἐφ' ᾗ συνέστη οὐκ ἐγένετο, ἢ ὑβριστὴς καὶ ἐπιζήμιός ἐστιν ὁ κοινωνός, ἢ οὐκ ἔστι καρπίζεσθαι τὸ πρᾶγμα, δι' ὃ συνέστη ἡ κοινωνία.

κ'. Συνίσταται κοινωνία πράγματι καὶ ῥήματι καὶ δι' ἀγγέλου, καὶ διαλύεται ἀπαγορεύσει, θανάτῳ καὶ ἀπορίᾳ.

κα'. Λύεται ἡ κοινωνία φθειρομένων τῶν προσώπων ἢ τοῦ πράγματος ἢ τῆς γνώμης ἢ τῆς ἀγωγῆς. προσώπων μέν, ἡνίκα καταδικασθῇ θανάτῳ ἢ ἐξορίᾳ ἢ δημεύσει ὁ εἷς τῶν κοινωνῶν ἢ καὶ τελευτήσῃ κοινῷ θανάτῳ. φθείρεται δὲ τὸ πρᾶγμα, ὅταν ἢ παντελῶς οὐχ ὕπεστιν ἢ τὴν κατάστασιν ἐνήλλαξεν ἀνιερωθὲν ἢ δημευθέν. γνώμη δὲ λύεται, ὅτε ἀπαγορεύσωσιν ἢ ἰδιαζόντως ἕκαστος ἄρξηται πραγματεύεσθαι. ἀγωγῇ δὲ λύεται, ὅταν ἢ δι' ἐπερωτήσεως ἢ διὰ δικαστηρίου ἐναλλαγῇ ἡ αἰτία τῆς κοινωνίας. καὶ γὰρ ὁ ἐπὶ διαλύσει τῆς κοινωνίας ἐνάγων ἀπαγορεύει αὐτῆς.

κβ'. Ἐὰν ἐπὶ πράσει ἢ μισθώσει συστῇ κοινωνία, καὶ ἡ μετὰ θάνατον τοῦ ἑνὸς γινομένη ζημία καὶ τὸ κέρδος κοινόν ἐστιν.

τεφέρετο· εἰ μὲν ἐπικερδὴς εἴη, συνεισφέρει αὐτήν, εἰ δὲ ἐπιζήμιος, μόνος ζημιοῦται. τὰ δὲ μετὰ ταῦτα κτηθέντα οὐ συνεισφέρει. εἰ δὲ καὶ διὰ τὸ μόνον ἀγοράσαι τὸ πρᾶγμα, ἐφ' ᾧ ἐκοινώνησαν, ἀπαγορεύσῃ, κατέχεται. εἰ δὲ καὶ διέφερεν τῇ κοινωνίᾳ μὴ ἀπαγορεῦσαι αὐτόν, κατέχεται, οὐ μὴν εἰ ἑνὶ τῶν κοινωνῶν οὐ συνέφερεν. ταῦτα εἰ μηδὲν συνεφωνήθη. εἰ δὲ καὶ πρὸ τοῦ ὁρισθέντος χρόνου ἀπαγορεύσῃ ἄνευ ἀνάγκης, τοῦ κέρδους οὐ κοινωνεῖ, ἀλλὰ τῆς ζημίας.

ΤΙΤΛΟΣ ΕΙΚΟΣΤΟΣ ΕΒΔΟΜΟΣ.

Περὶ διαλύσεως.

Κεφ. α'. Διάλυσίς ἐστιν ἀμφιβαλλομένου πράγματος τομή.

β'. Ὁ διαλυόμενος ὡσανεὶ περὶ πράγματος ἀμφιβόλου καὶ δίκης ἀδήλου διαλύεται, ὁ δὲ εἰρήνης χάριν καταβάλλων τι κατὰ δωρεάν, πρᾶγμα δῆλον καὶ ἀναμφίβολον ὡς φιλοτίμως συγχωρεῖ.

γ'. Πᾶσα διάλυσις ἐπὶ μόνοις κρατεῖ τοῖς συναρέσασιν.

δ'. Ὁ γενικῶς διαλυόμενος περὶ τῶν ἐν διαθήκῃ καταλειφθέντων αὐτῷ, κινεῖν οὐ δύναται περί τινος τῶν ἐν αὐτῇ. οὐκ ἀποκλείεται δὲ τῶν ἐν κωδικέλλοις αὐτῷ καταλειφθέντων καὶ ὕστερον προενεχθέντων.

ε'. Ἐὰν διαλύσωμαι πρὸς τούς ποτε ἐπιτρόπους μου περὶ τοῦ ἐμοῦ μέρους, οὐ κωλύομαι κινεῖν αὐτοῖς ἐκ προσώπου τοῦ ἀδελφοῦ μου κληρονομῶν αὐτόν.

ϛ'. Ὁ διαλυόμενος περὶ τῶν πρὸς ζωὴν ἀναγκαίως διδομένων, οὐ δοκεῖ διαλύεσθαι περὶ κατοικίας καὶ ἱματισμοῦ, εἰ μὴ ῥητῶς ἐκφωνήσῃ.

ζ'. Ὁ νομίμως διαλυόμενος καὶ ποινὴν ἐκ παραβάσεως πρὸς τὸ ἐῤῥῶσθαι τὴν διάλυσιν ὁμολογῶν, ἀπαιτεῖται.

η'. Ἡ μὲν κατὰ φόβον γενομένη διάλυσις οὐκ ἔῤῥωται. οὐκ ἀρκεῖ δὲ οἱοσδήποτε φόβος ἀνατρέψαι διάλυσιν, ἀλλὰ τοιοῦτος ὀφείλει φόβος ἀποδειχθῆναι, οἷος ὁ τὸν περὶ σωτηρίας ἐπιφέρων κίνδυνον ἢ τὰς κατὰ τοῦ σώματος βασάνους.

θ'. Ὁ λέγων ὅτι οὐ κατὰ δόλον τοῦ ἀντιδίκου μου ἀλλὰ κατὰ δόλον ἐμὸν διελυσάμην, καὶ διὰ τοῦτο ἀνατρέψαι θέλων τὴν διάλυσιν, οὐ μόνον ἀδίκως, ἀλλὰ καὶ ἐπικινδύνως τὴν τοιαύτην δικαιολογίαν προΐσχεται, ὡς ὁμολογῶν αὐτὸν πεποιηκέναι τὸν δόλον.

ι'. Ὁ περὶ δήλου πράγματος διαλυόμενος καὶ εἰπὼν μηδὲν περαιτέρω τῶν συνδοξάντων ἀπαιτεῖν, ἀκωλύτως κινεῖ περὶ ἑτέρων πραγμάτων.

ια'. Ὁ τὸν λογισμὸν ἐῤῥωμένος, κἂν τῷ σώματι ἀσθενῇ, βεβαίως διαλύεται καὶ οὐ δύναται προτεινόμενος τὴν τοῦ σώματος ἀσθένειαν ἀνατρέπειν τὴν διάλυσιν.

ιβ'. Δυνατὸν καὶ περὶ πάντων καὶ περί τινων τουτέστι καθόλου καὶ μερικῶς διαλύεσθαι.

ιγ'. Ἡ παρὰ τοῦ πατρὸς γινομένη διάλυσις ἐπὶ πράγματι τοῦ αὐτεξουσίου παιδὸς οὐκ ἀντίκειται τῷ παιδί.

ιδ'. Οὐ μόνον ἄνευ δόσεως ἀλλὰ καὶ μετὰ δόσεως τῆς εἰρήνης παρεχούσης καὶ ἀνενοχλησίαν γίνεται διάλυσις [a]).

ιε'. Ἐὰν τοῦ ἐγγυητοῦ καταδικασθέντος ὁ κυριοπράγμων διαλύσηται, ἑκάτερος ἐλευθεροῦται. εἰ δὲ αὐτὸς ὁ ἐγγυητὴς μετὰ καταδίκην διαλύσηται, τὸ μὲν δοθὲν οὐ συμβάλλεται πρὸς διάλυσιν, ἐξετάζεται δὲ τοῦτο καὶ λεπτύνεται παρὰ τοῦ δικαστοῦ.

ιϛ'. Ὁ μείζων τῶν κε ἐνιαυτῶν εἴτε διαλύσεται πρός τινα εἴτε τὰ χρεωστούμενα αὐτῷ δωρήσεται δίχα τινὸς αἱρέσεως, οὐ δύναται μετὰ ταῦτα λέγειν, ὅτι ἐλπίδι τοῦ μέλλειν σὲ κληρονομεῖν διελυσάμην ἢ ἐδωρησάμην σοι.

a) Ἐν τῷ β' βι. τοῦ κώδ. [1]) λέγεται ὅτι οὐ προβαίνει διάλυσις μὴ δοθέντος τινὸς ἢ ὑποσχεθέντος ἢ παρακρατηθέντος.

1) Cod. II, 4, 38.

ιζ'. Ὁ περὶ μιᾶς αἰτίας ἐνάγων καὶ διαλυόμενος, εἰ καὶ ῥητῶς ἐπαγάγῃ μηδὲν πλέον ἀπαιτεῖν, καὶ μηδὲ προσθήσῃ τὸ ταύτης ἕνεκεν τῆς αἰτίας, ὅμως ἐῤῥωμένως ἔχει τὰς ἐξ ἄλλων αἰτιῶν αρμοζούσας αὐτῷ κατ' ἐκείνου πρὸς ὃν διελύσατο ἀγωγάς· κινεῖν καὶ ταύτας οὐ κωλύεται τί γάρ; εἰ περὶ παρακαταθήκης διελύσατο, εἶχε δὲ περὶ δανείου ἀγωγήν;

ΤΙΤΛΟΣ ΕΙΚΟΣΤΟΣ ΟΓΔΟΟΣ.

Περὶ χρέους καὶ ἐνεχύρων

Κεφ. α'. Χρέος ἐστὶ λῆψις καὶ ἀναδοχὴ ἐξ αἰτήσεως τοῦ ἐν χρείᾳ τῆς τοῦ χρήματος καταβολῆς γεγονότος, διὸ καὶ χρέος καλεῖται, ὀφειλόμενον καὶ ἀντιχρεωστούμενον μετ' εὐχαριστίας καὶ εὐγνωμοσύνης τῷ καταβάλλοντι, δι' οὗ οἱ ἐν τῇ πολιτείᾳ τὴν ἀνισότητα καὶ ἀνωμαλίαν τοῦ βίου δοκοῦσί πως εἰς ἰσότητα μεταρρυθμίζειν, πάλαι μὲν τούτου τοῖς ἀνθρώποις εἰσοικισθέντος, ἔπειτα δὲ καὶ νόμοις γνωρισθέντος καὶ διαιτηθέντος.

β'. Ἴσμεν, ὡς τῶν ὑποτεθέντων ἐνεχύρων τοὺς καρποὺς καὶ τῶν οἰκημάτων τὰ ἐνοίκια καὶ καμάτους τῶν δούλων ψηφίζεσθαι εἰς τὸ χρέος ὁ παλαιὸς ἐνομοθέτει νόμος, καὶ ἐξισουμένων πρὸς τὸ χρέος ἀπέλυε τὸν δανειστὴν τοῦ δανείου ἀναδιδοὺς αὐτῷ καὶ τὸ ἐνέχυρον· ἑτέρᾳ δέ τινι βαρυτέρᾳ τοῦτον ζημίᾳ συνεχώρει πιέζεσθαι, φημὶ δὴ τῇ καταβολῇ τῶν τόκων. ἡμεῖς δὲ διὰ ταύτης ἡμῶν τῆς νομοθεσίας καὶ αὐτὸ τοῦ τόκου τὸ ὄνομα τῆς πολιτείας ἀπελαύνοντες, οὔτε τοὺς καρποὺς ἁπλῶς οὔτε τοὺς καμάτους οὔτε τὰ ἐνοίκια συγχωροῦμεν εἰς χρέος λογίζεσθαι, ἀλλὰ νέμεσθαι μὲν τὸν δανειστὴν τῶν ἐνεχυρασθέντων ἀγρῶν τοὺς καρποὺς καὶ τῶν οἰκημάτων τὰ ἐνοίκια καὶ τοὺς καμάτους τῶν δούλων ἄχρις ἂν ἡ ἐκεῖθεν εἰσφορὰ τῷ τρίτῳ μέρει τοῦ δανείου ἐξισωθείη, μετὰ τοῦτο δὲ εἴ τις ἂν ἐκ τῶν ἀγρῶν ἢ τῶν οἴκων κομίζοιτο, ταῦτα ψηφίζεσθαι καὶ λογίζεσθαι εἰς τὸ χρέος. εἰ μέντοι κατὰ τὸν καιρὸν τοῦ δανείσματος τοιοῦτον προβῇ σύμφωνον, ὥστε ἐξ ἀρχῆς τῶν ἐνεχυρασθέντων τοὺς καρποὺς ἢ τὰ ἐνοίκια ἢ τοὺς καμάτους εἰς ἀποπλήρωσιν τοῦ χρέους λογίζεσθαι, καὶ τοῦτο γίνεσθαι συγχωροῦμεν. εἴ τι γὰρ ἂν ὁ δανειστὴς ἐπὶ τὸ φιλανθρωπότερον πράξῃ, ἀκώλυτον εἶναι σὺν ἐπαίνῳ θεσπίζομεν. τοὺς μέντοι τόκους, ὡς προείρηται, περιελόντες, ἐπὶ μόνων τῶν ὀρφανῶν

καὶ ἀνηλίκων συγχωροῦμεν αὐτοὺς καταβάλλεσθαι. ἐνεχυράζειν δὲ γεωργικὸν πρόσωπον ἀγρὸν παντελῶς ἀποκωλύομεν· οὐ γάρ ἐστιν ὡς ἀληθῶς εἰπεῖν ἐνεχυράζειν ἀγρὸν τοῦτο, ἀλλ' ἐκείνου τῆς ζωῆς διαφθορὰν ἀπεργάζεσθαι [a]).

a) Βι. [1]) δ' τοῦ κώδ. τί. κδ' διάτ. α'. Οἱ ἐκ του ἐνεχυρου ληφθέντες καρποὶ ψηφίζονται εἰς τὸ χρέος, καὶ ἐὰν ἱκανοὶ γένωνται πρὸς τὸ ὅλον χρέος, λύεται ἡ ἀγωγὴ καὶ ἀποδίδοται τὸ ἐνέχυρον. εἰ δὲ καὶ πλείονές εἰσι τοῦ χρέους οἱ καρποί, ἀποδίδονται οἱ περιττεύοντες.

Διάτ. β'. Τῶν δούλων οἱ κάματοι καὶ τὰ ἐνοίκια τῶν ὑποτεθέντων οἰκημάτων εἰς τὸ χρέος λογίζονται· καὶ ἐὰν πολύ ἐστι τὸ συναγόμενον, λύεται ἡ ἀγωγή.

Τί. λβ' διάτ. ιδ'. Ὁ δανειστὴς ἀντὶ τόκων συμφωνήσας καταμένειν ἐν τοῖς οἰκήμασι τοῦ χρεώστου, καὶ οἰκήσας ἐν τῷ οἴκῳ, οὐ μὴν ἑτέρῳ μισθώσας αὐτὸν, οὐχ ὑπομένει ζήτησιν ὡς πλείονα ποσότητα διὰ τοῦ ἐνοικίου λαβὼν τῶν νενομισμένων τόκων. εἰ καὶ τὰ μάλιστα γὰρ ἠδύνατο πλείονος μισθωθῆναι τὰ οἰκήματα, οὐ διὰ τοῦτο δοκεῖ ἀθέμιτον τόκον εἰληφέναι, ἀλλὰ μᾶλλον ἐλάττονος ποσότητος τὸν οἶκον μισθώσασθαι.

Διάτ. ιζ'. Ἐὰν ἡ μήτηρ σου ἐπὶ τούτῳ τῷ ὅρῳ κατενεχυρίασε τὸν ἀγρὸν αὐτῆς, ἵνα τοὺς καρποὺς αὐτοῦ ἀντὶ τοῦ τόκου λαμβάνει ὁ δανειστής, οὐ δύνασαι μέμφεσθαι αὐτῷ ὡς πλείονα τοῦ νομίμου τόκου διὰ τῶν καρπῶν λαμβάνοντι· ἐπειδὴ ἄδηλόν ἐστι τὸ τῶν καρπῶν ἀποτέλεσμα, καὶ συμβαίνει γινομένης ἀφορίας μηδὲ τοὺς νομίμους τόκους ἀπολαμβάνειν αὐτόν.

Βι. η' τί. κδ' διάτ. δ' [2]). Ὁ εἰς ὑποθήκην δούλους λαβὼν, καταλογιζέσθω τὰς ὀπέρας (καμάτους) αὐτῶν εἰς τόκον ὧν ἐποφείλεται, καὶ μετὰ ταῦτα εἰς τὸ κεφάλαιον· καὶ εἰ πληρωθῇ ἐξ αὐτῶν, ἀναδιδότω τῷ χρεώστῃ τὰς ὑπολοίπους.

Βι. ε' τί. νϛ' διάτ. α'. Οἱ συγχρησάμενοι τοῖς ἀργυρίοις τῶν νέων ἐπίτροποι ἑκατοστιαῖον τόκον ἀπαιτοῦνται.

Διάτ. β'. Ὅσα ἐκ τῆς ἐπιτροπῆς χρεωστοῦνται, μετὰ τόκων ἑκατοστιαίων ἀπαιτεῖται.

Ἐκ τῆς ρκ [3]) νεαρᾶς. Εἰ δὲ συμβαίη τινὰ τῶν εἰρημένων εὐαγῶν οἴκων ὀνόματι δημοσίων συντελειῶν ἢ ἄλλης οἱασοῦν συμβαινούσης ἀνάγκης χρημάτων δεηθῆναι, ἐξεῖναι τοῖς τούτου διοικηταῖς ἀκίνητον πρᾶγμα ὑποτίθεσθαι καὶ δοῦναι εἰς ἰδικὸν ἐνέχυρον, ἵνα ὁ δανειστὴς νέμεται τὸ αὐτὸ πρᾶγμα καὶ τοὺς τούτου καρποὺς ἀναλέγηται καὶ λογίζηται ἑαυτῷ, τὰ μὲν εἰς αὐτὰ τὰ δανεισθέντα χρήματα, τὰ δὲ εἰς τόκους μὴ πλείους τοῦ τετάρτου μέρους τῆς ἑκατοστῆς.

Σχόλιον. Τοσαῦτα μὲν περὶ τόκων οἱ παλαιοί. φασὶν δὲ ὡς ἐπὶ τῶν ἄλλων ἁπάντων, πλὴν τῶν ὀρφανικῶν, ἐὰν μὴ συμφωνηθῇ τόκος, οὐ δίδοται. ἑκατοστιαῖον δὲ τόκον λέγουσιν, ὅτε τὸ ἑκατοστὸν μέρος τοῦ κεφαλαίου ἑκάστῳ μηνὶ τὸ κέρδος ἀριθμεῖται, καὶ ἐκ τούτου δίμοιρον καὶ ἥμισυ καὶ τρίτον

1) Locos juris Justinianei, qui sequuntur usque ad illa: σχόλιον. Τοσαῦτα κτλ., A in textu habet inter §. 2 et 3. C contra duo priores inter §. 1 et 2, reliquos inter §. 2 et 3. Sunt autem a scholiasta adscripti, quod ipsum scholium testatur, textus autem partem non faciunt vel ideo, quia cum §. 2 et 3 pugnant.

2) Potius est Cod. VIII, 25, 2.

3) Nov. 120 c. 4. = Nov. 14 ? ?

TAYLOR ... OXFO

γʹ. Οἱ καρποὶ τοῦ ἀγροῦ ψηφίζονται εἰς το χρέος, ου μόνον οὓς ἔλαβεν ὁ δανειστής, ἀλλὰ καὶ οὓς ἠδύνατο λαβεῖν· εἰ δὲ καὶ ἔβλαψε τὸν ἀγρὸν ἐνάγεται καὶ περὶ τούτου.

δʹ. Εἰ b) καὶ πολλοῖς τοῖς πρὸ ἡμῶν ἔδοξε δεκτέαν εἶναι τὴν τῶν τόκων ἔκτισιν, ἀλλʼ οὖν ὡς ἀναξίαν τῆς ἡμῶν τῶν χριστιανῶν πολιτείας ἀπευκταῖαν εἶναι κεκρίκαμεν, ἅτε παρὰ τῆς θείας νομοθεσίας κεκωλυμένην. διὸ κελεύει ἡ ἡμετέρα γαληνότης, μηδενὶ μηδαμῶς ἐξεῖναι ἐν μηδεμιᾷ ὑποθέσει τόκον λαμβάνειν, ἵνα μὴ νόμον φυλάττειν οἰόμενοι νόμον θεοῦ παραβαίνωμεν· ἀλλὰ κἂν εἴ τις ὁσονδήποτε λάβοι, εἰς τὸ χρέος λογισθήσεται.

εʹ. Τὸ συμφωνῆσαι τὸν χρεώστην ἐν τῷ τὴν προθεσμίαν αὐτοῦ τῆς καταβολῆς ὑπερβαίνειν διάπρασιν γίνεσθαι τοῦ ἐνεχύρου, οὐκ ἀναιρεῖ τὴν τοῦ ἐνεχύρου ἀγωγήν, ὅταν ἐλάττονος πωλήσῃ ὁ δανειστής. ὑπόκειται γὰρ τότε ὁ δανειστὴς τῷ συμφώνῳ τῷ ἐν τῷ πλήθει πολιτευομένῳ ἐναχθῆναι.

ϛʹ. Ἐὰν ὁ δανειστὴς μὴ παρʼ ἰδίαν αἰτίαν ἀπολέσῃ τὸ ἐνέχυρον, οὐκ ἐγκαλεῖται. χρὴ δὲ αὐτὸν ἀποδεῖξαι, ὅτι ἀπώλεσεν· τὰ γὰρ τυχηρὰ οὐ κινδυνεύεται τῷ δανειστῇ, ἀλλὰ δύναται κατὰ τύχην ἀπολέσας ἀπαιτεῖν ὃ χρεωστεῖται. ἐὰν δὲ μεταξὺ τῶν συναλλασσόντων ἤρεσεν, ἵνα ἡ ἀπώλεια τῶν ἐνεχύρων ἐλευθερώσῃ τὸν χρεώστην, ἔῤῥωται ἡ συμφωνία.

ζʹ. Ὁ δανειστής, ὅστις ἀγροὺς ἢ οἴκους εἰς ὑποθήκην ἔλαβε, τὴν ζημίαν τὴν ἐν τοῖς τεμνομένοις δένδροις καὶ τοῖς καταλυομένοις οἴκοις ἐξ αὐτοῦ γενομένην εἰς λόγον ἐνεγκεῖν ἀναγκασθήσεται. καὶ ἐὰν κατὰ δόλον ἢ πταῖσμα τὸ πρᾶγμα τὸ ὑποτεθὲν χεῖρον ἐποίησε, ἐνάγεται, ἵνα τοιοῦτον ἀποκαταστήσῃ τὸ πρᾶγμα, ὁποῖον

καὶ τέταρτον ἑκατοστῆς διαιροῦσι. καὶ ἐπὶ μὲν τῶν ὀρφανικῶν καὶ δανειζομένων διαπόντια καὶ ἐπὶ τῶν καρπῶν, ὅτε καὶ ὁ τόκος καρπὸς δίδοται, ἑκατοστιαῖον τόκον ὁ κώδιξ διαπράττει· ἐπὶ δὲ τῶν ἄλλων τοὺς ε μὲν ἰλλουστρίους καὶ πρὸς τὰ ἄνω τὸν ἀπὸ τρίτης ἑκατοστῆς, τοὺς δὲ ἐμπόρους τὸν ἀπὸ διμοίρου, τοὺς δὲ λοιποὺς ἅπαντας τὸν ἀπὸ ἡμίσεως τόκον λαμβάνειν κελεύει μόνον. ἡ μέντοι νεαρὰ ἐπὶ τῶν δανειζόντων γεωργοῖς, ξηροὺς μὲν καρπούς, τὸ ὄγδοον τοῦ μοδίου, χρυσίον δὲ ἢ ἄλλο τι, ἐφʼ ἑκάστῳ νομίσματι κεράτιον ἕν, ἐπί τε τῶν ἐκκλησιαστικῶν τὸν ἀπὸ τετάρτου ἑκατοστῆς ἀποτάξασα τόκον, τοὺς λοιποὺς εἴασεν ἐπὶ σχήματος. ὅνπερ αὕτη ἐπὶ προικὸς καὶ προγάμου δωρεᾶς ἀπὸ τρίτου ἑκατοστῆς λέγει τόκον, τοῦτον καὶ ὁ κώδιξ ἐπίσταται.

b) Σχόλιον. Τοῦ εὐσεβοῦς βασιλέως ἑξῆς [4]).

4) I. e. Basilii. Prochir. p. 103 not. 69. — A hoc scholium non habet. Forte et ipsa §. 4 ex Epanagoges textu expungenda est, quum alioquin sanctiones a Basilio in Prochiro noviter introductae in Epanagogen non sint receptae.

ην ἐν καιρῷ τῆς ὑποθήκης. ὁ δὲ δανειστὴς τὰ ἀναγκαῖα δαπανήματα, ἅπερ ἐποίησε περὶ τὸ ὑποτεθὲν πρᾶγμα, ἀπαιτεῖν οὐ κωλύεται.

η'. Οὔτε ὁ δανειστὴς οὔτε ὁ τοῦ δανειστοῦ κληρονομος μετὰ τὴν τοῦ χρέους καταβολὴν δύναταί τινα χρονίαν παραγραφὴν ἕνεκεν τοῦ ἐνεχύρου προσενεγκεῖν τῷ χρεώστῃ.

θ'. Τὰ ὑποτεθέντα πράγματα εἰς ἐνέχυρον ζητοῦσιν προσωπικῶς οἱ χρεῶσται. οὐδὲ γὰρ ἔξεστι τῷ δανειστῇ χωρὶς συμφώνου καὶ ἀρχικῆς κελεύσεως ἀφαιρεῖσθαι τὰ πράγματα τοῦ χρεώστου, τουτέστι διαπιπράσκειν τὰ εἰς αἰτίαν ἐνεχύρου κατεχόμενα πράγματα.

ι'. Ὁ δεσπότης προστησάμενος τὸν οἰκέτην πραγματείας τινὸς, τότε κατέχεται δανειζομένου αὐτοῦ, ὅτε ἐπέτρεψεν αὐτῷ καὶ δανείζεσθαι. εἰ δὲ μὴ δείκνυται ἐπιτρέψας, τότε ζητοῦμεν περὶ τοῦ πεκουλίου τοῦ δούλου, καὶ πληρουμένου κατὰ πρῶτον λόγον τοῦ δεσπότου, πληροῦται κατὰ δεύτερον λόγον καὶ ὁ δανειστής.

ια'. Εἴ τις δανείσειε καὶ ἐγγυητὴν ἢ μανδάτορα ἢ ἀντιφωνητὴν προσλάβοι, οὗτος μὴ τὴν πρώτην εὐθὺς κατὰ τοῦ μανδάτορος ἢ τοῦ ἐγγυησαμένου ἢ ἀντιφωνήσαντος χωρείτω, ἀλλὰ χωρείτω πρῶτον ἐπὶ τὸν τὸ χρυσίον εἰληφότα καὶ τὸ δάνεισμα πράξαντα· καὶ εἰ μὲν ἐκεῖθεν ἀπολάβοι, τῶν ἄλλων ἀπεχέσθω. εἰ δὲ οὐκ ἰσχύει παρὰ τοῦ δανεισαμένου λαβεῖν ἢ εἰς μέρος ἢ εἰς ὁλόκληρον, καθ' ὅσον ἂν παρ' αὐτοῦ μὴ δυνηθῇ λαβεῖν, κατὰ τοσοῦτον ἐπὶ τὸν ἐγγυητὴν ἢ τὸν ἀντιφωνητὴν ἢ μανδάτορα χωρείτω, καὶ παρ' ἐκείνου τὸ λειπόμενον κομιζέσθω. καὶ εἰ μὲν παρόντες αὐτῷ τύχοιεν ἀμφότεροι, ὅ τε πρωτότυπος, ὅ τε ἐγγυησάμενος ἢ μανδατορεύσας ἢ ἀντιφωνήσας, τὰ προειρημένα ἐκ παντὸς φυλαττέσθω τρόπου. εἰ δὲ ὁ ἐγγυητὴς ἢ ὁ μανδάτωρ ἢ ὁ ἀντιφωνητὴς παρείη, τὸν δὲ πρωτότυπον ἀπεῖναι συμβαίη, δεικνύτω ὁ δανειστὴς τὸν ἐγγυητὴν ἢ ἀντιφωνητὴν ἢ μανδάτορα, καὶ ὅ γε τῷ πράγματι καθήμενος δικαστὴς διδότω καιρὸν τῷ ἐγγυητῇ, ταὐτὸν δὲ εἰπεῖν ἀντιφωνητῇ καὶ μανδάτορι, βουλομένοις τὸν πρωτότυπον ἀγαγεῖν, καὶ συνεργείτω τούτοις εἰς τὴν τοῦ ἐγγυηθέντος παράστασιν, ὥστε αὐτὸν βίᾳ ἀχθέντα τῆς ἐν τῷ τέως ἐναγωγῆς ἀπαλλάξαι τοὺς ὑπὲρ αὐτοῦ διενοχλουμένους. εἰ δὲ ὁ χρόνος ὁ ἐπὶ τούτῳ ταχθεὶς ἐξήκοι, τηνικαῦτα ὁ ἐγγυητὴς ἢ ὁ μανδάτωρ ἢ ὁ ἀντιφωνητης ἀγωνιζέσθω τὴν δίκην καὶ τὸ χρέος ἐκτιννύτω, τὰς κατὰ τοῦ ἐγγυηθέντος, ἢ ὑπὲρ οὗ τὰς ἐντολὰς ἔγραψεν ἢ τὴν ἀντιφώνησιν ὑπεισῆλθε, παρὰ τοῦ δανείσαντος ἐκχωρούμενος[c]) ἀγωγάς. οὐ μὴν

c) Σχόλιον. Ἤτοι λαμβάνων καὶ ἀναδεχόμενος.

οὐδὲ ἐπὶ τὰ πράγματα τοῦ δανεισαμένου, εἰ παρ' ἑτέρων κατέχοιτο, χωρήσει πρότερον, πρὶν ἂν διελθεῖν τὴν ἐπὶ ταῖς προσωπικαῖς ὁδὸν κατά τε μανδατόρων καὶ ἐγγυητῶν καὶ ἀντιφωνητῶν· μετὰ τοῦτο δὲ ἐπὶ τὰ πράγματα ἴέτω τοῦ πρωτοτύπου, εἴγε παρ' ἑτέρων κατέχοιτο, καὶ τοὺς ἐπειλημμένους αὐτῶν ἐνοχλείτω. εἰ δὲ μὴ ἐκεῖθεν σχοίη τὸ ἱκανὸν, τηνικαῦτα χωρείτω κατὰ τῶν πραγμάτων τῶν ἐγγυητῶν καὶ μανδατόρων καὶ ἀντιφωνητῶν, ταὐτὸν δὲ ἐστὶν εἰπεῖν καὶ εἴ τινας ἔχοιεν ἅπαντες οὗτοι σφίσιν αὐτοῖς ὑπευθύνους καὶ ταῖς ὑποθηκαρίαις ἀγωγαῖς ἐνέχεσθαι δυναμένους. κατὰ μέντοι τοῦ πρωτοτύπου καὶ τῶν ὄντων παρ' αὐτῷ πραγμάτων, εἴτε ταῖς προσωπικαῖς εἴτε ταῖς ὑποθηκαρίαις εὐθὺς εἴτε ἀμφοτέραις χρήσασθαι βουληθείη, πᾶσαν αὐτῷ δίδομεν ἄδειαν, τὴν ἔμπροσθεν ἡμῖν εἰρημένην ὁδὸν καὶ τάξιν ἐπὶ τῶν ἄλλων προσώπων τε καὶ θεμάτων νομοθετήσαντες· καὶ οὐ τοῦτο μόνον ἐπὶ δανειστῶν φαμεν, ἀλλὰ καὶ εἴ τις ὠνήσαιτό τι παρά τινος.

ιβ'. Εἴ τις δανείσειε χρυσίον τῇ τοῦ δανεισαμένου περιουσίᾳ πιστεύων, ὁ δὲ εἰς ἔκτισιν χρυσίου μὲν οὐκ εὐποροίη, περιουσίαν δὲ ἀκίνητον ἔχοι, ὁ δανειστὴς δὲ ἐπικέοιτο καὶ χρυσίον πάντως ἐπιζητοίη, τὸ δὲ οὐκ εἴη πρόχειρον, οὐδέ τις κινητὴ περιουσία (δίδομεν γὰρ τῷ δανειστῇ βουλομένῳ καὶ κινητὰ πράγματα λαβεῖν ἀντὶ χρυσίου), ἀλλ' οὐδέ τις ὠνούμενος ἀκίνητα πράγματα αὐτοῦ παρείη, τοῦ δανειστοῦ πολλάκις τε θρυλλοῦντος, ὡς ὑπόκειται τὰ τοῦ δανεισαμένου πράγματα, καὶ ταύτῃ φοβοῦντος τοὺς προσιέναι βουλομένους ταῖς ἀγορασίαις· τηνικαῦτα ἐπὶ μὲν τῆς εὐδαίμονος ταύτης πόλεως οἱ ἐνδοξότατοι τῆς ἡμετέρας πολιτείας ἄρχοντες κατὰ τὴν ἑκάστῳ τεταγμένην ὑπὸ τοῦ νόμου καὶ ἡμῶν δικαιοδοσίαν, ἐν δὲ ταῖς ἐπαρχίαις οἱ τῶν θεμάτων ἡγούμενοι παρασκευαζέτωσαν, ἀκριβοῦς διατιμήσεως γινομένης τῶν πραγμάτων τοῦ χρεωστήσαντος, δίδοσθαι πρὸς ἀναλογίαν τοῦ χρέους κτῆσιν ἀκίνητον τοῖς δανεισταῖς μετὰ τοιαύτης ἀσφαλείας, μεθ' ἧς ἂν ὁ χρεώστης δοῦναι δυνηθείη. τῶν μέντοι διδομένων ἀκινήτων ἡ ἐπιλογὴ τῷ δανειστῇ ἔσται. καὶ γὰρ οὐκ ἂν εἴη δίκαιον, τὸν διδόντα μὲν χρυσίον, λαβεῖν δὲ χρυσίον οὐ δυνάμενον, ἀλλ' ἀναγκαζόμενον καταδέξασθαι κτῆσιν ἀκίνητον, μὴ τὴν καλλίονα τῶν τοῦ χρεώστου πραγμάτων, καὶ ἣν ἐκεῖνος αἱρεῖται, ταύτην λαβεῖν καὶ ταύτην γοῦν ἔχειν παραψυχὴν, ὅτιπερ εἰ καὶ χρυσίον οὐκ εἴληφεν, ἀλλ' οὖν ἀντ' ἐκείνου τὸ αἱρεθὲν αὐτῷ κατεκτήσατο.

ιγ'. Ὁ τὴν ἰδίαν συγγραφὴν ἢ τὴν ἐπ' αὐτῷ γινομένην καταβολὴν ἀρνούμενος, τὸ διπλάσιον μετ' ἐλέγχους καταθήσει. ὁ δὲ παραυτὰ τοῦ ἀρνήσασθαι ἐξ ἐπιφορᾶς ὅρκου τὴν ἀλήθειαν φανερῶν ἐκφεύξεται τὴν καταδίκην τοῦ διπλασίονος· βραδέως δὲ ὁμο-

λογῶν καταθήσει τὰς δαπάνας τῆς δίκης, ὅρκῳ τοῦ ἀντιδίκου φανερουμένης τῆς ἐν τῇ δαπάνῃ ποσότητος.

ιδ'. Τῷ ἀρνουμένῳ χρεώστῃ ου λογισθήσονται αἱ μετὰ ταῦτα προσφερόμεναι τῶν καταβολῶν ἀποδείξεις, ἀλλὰ τὸ πᾶν ἀπαιτεῖται.

ιε'. Ὁ δανειστὴς τὰς οἰκείας ἀρνησάμενος ἀποδείξεις διπλάσιον τὸ περιεχόμενον αὐταῖς ποσὸν μετ' ἐλέγχους καταλογιζέσθω τῷ χρεώστῃ.

ΤΙΤΛΟΣ ΕΙΚΟΣΤΟΣ ΕΝΝΑΤΟΣ.

Περὶ διαθήκης καὶ κωδικέλλου.

Κεφ. α'. Διαθήκη ἐστὶ δικαία βούλησις, περὶ ὧν τις θέλει μετὰ θάνατον αὐτοῦ τὴν διοίκησιν γενέσθαι.

β'. Ὁ διατιθέμενος ὀφείλει τὸν νοῦν, οὐ μὴν το σῶμα ἐῤῥῶσθαι.

γ'. Ὁ ἄῤῥην πληρώσας τὰ ιδ' ἔτη διατίθεται, ἡ δὲ θήλεια τὰ ιβ'.

δ'. Αἱ διαθῆκαι ἐκ τριῶν νομίμων τὴν σύστασιν ἔχουσιν, ἐκ τοῦ πολιτικοῦ καὶ τῶν διατάξεων καὶ τοῦ πραίτορος. ἐκ μὲν γὰρ τοῦ πολιτικοῦ κατάγεται τὸ παρόντων τῶν μαρτύρων μιᾷ ὑφῇ συναπτῶς τὴν διαθήκην πληροῦσθαι· αἱ δὲ τοῦ διατιθεμένου καὶ τῶν μαρτύρων ὑπογραφαὶ ἐκ τῶν διατάξεων· αἱ δὲ σφραγίδες καὶ ὁ τῶν μαρτύρων ἀριθμὸς ἐκ τοῦ δόγματος τοῦ πραίτορος. πᾶσα δὲ ἡ τοιαύτη παραφυλακη διὰ τὸ κακουργίας πάσης ἀπηλλάχθαι τὴν τῶν διαθηκῶν ποίησιν καὶ παντὸς αὐτὰς καθαρεύειν δόλου. προστεθήσεται [a]), ὥστε τὸν διατιθέμενον οἰκείᾳ χειρὶ τοῦ κληρονόμου ὄνομα δηλῶσαι, γράφοντα ὅτι τόνδε ἐνεστησάμην κληρονόμον· τοῦτο δὲ αὐτοῦ μὴ ποιήσαντος ἀνάγκη τοῖς μάρτυσι λέγεσθαι τὸ τοῦ κληρονόμου ὄνομα.

ε'. Ἐπειδὴ δὲ εἰρήκαμεν, τοὺς μάρτυρας χρῆναι σφραγίδας ἐπιτιθέναι, ὀφείλεις εἰδέναι, ὅτι ἑνὶ δακτυλίῳ δύνανται σφραγίζειν τὴν διαθήκην.

ϛ'. Καὶ ἐν νυκτὶ σφραγίζεται καὶ ὑπογράφεται διαθήκη.

a) Ἐκ διατάξεων τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως [1]).

1) **Haec ex Theophilo scholium addit, ut proinde Justinianus significetur.**

ζ΄. Ὁ γραφεὺς τῆς διαθήκης καλῶς ἐν αὐτῇ μαρτυρεῖ.

η΄. Ἄδειαν ἔχει τὶς ἢ γράψαι τοὺς κληρονόμους ἢ ἐκφωνῆσαι αὐτούς, ὥστε ζ΄ ἢ ε΄ μάρτυρας ἀκοῦσαι. κἂν γὰρ ὦσι πλείους, ἀρκεῖ τοὺς ἑπτὰ ἢ πέντε ἀκοῦσαι.

θ΄. Ὁ ἐν ἀσθενείᾳ σώματος παραφρονήσας οὐ διατίθεται ἐν τῇ παραφροσύνῃ· ἐν τοῖς διαλείμμασι δέ.

ι΄. Ἄδειαν ἐχέτω ὁ τυφλός, εἴτε ἐκ γεννητῆς εἴτε ἀπὸ νόσου, ἄγραφον διαθήκην ποιεῖν ζ΄ ἢ ε΄ μάρτυρας συγκαλῶν, καὶ λέγων τὸν κληρονόμον μετὰ σημείων, διὰ τὸ μὴ πλανηθῆναι [2]).

ια΄. Ἐὰν διάθηται ὑπεξούσιος ἢ ἄνηβος ἢ δοῦλος, οὐκ ἔῤῥωται, κἂν ὁ μὲν αὐτεξούσιος ἀποθάνῃ, ὁ δὲ ἔφηβος, ὁ δὲ ἐλεύθερος.

ιβ΄. Εἰ καὶ κοινὰ ἔχουσι τὰ πράγματα οἱ ἀδελφοί, ὅμως οὐδεὶς αὐτῶν διατίθεσθαι κωλύεται, εἰς ὃν βούλονται, οὐδὲ ἐμποδίζονται διὰ τὸ ἀδιαίρετα εἶναι τὰ πράγματα.

ιγ΄. Ἡ μεταγενεστέρα διαθήκη, εἴτε ἔγγραφος εἴτε ἄγραφος εἴη, δύναται τὴν προγεγενημένην, κἂν ἔγγραφος εἴη, παραγράφεσθαι, δηλονότι τὸν τῆς διαθήκης τύπον διασώζουσα [b]).

ιδ΄. Ὁ λεγατάριός μου δύναταί μοι μαρτυρεῖν, καὶ οὐ διὰ το λεγατευθῆναι τῆς μαρτυρίας ἀποδοκιμάζεται.

ιε΄. Ἐὰν ἀποδειχθῇ βουληθέντα τὸν διατιθέμενον πλείονας εἰπεῖν κληρονόμους φιμωθῆναι, οὐδὲ οἱ παρ᾽ αὐτοῦ ῥηθέντες κληρονομοῦσιν.

ις΄. Ἐὰν μέντοιγε ὁ διατιθέμενος μὴ βούληται γνῶναι τὰ γεγραμμένα τοὺς μάρτυρας, εἰληθεῖσαν τὴν διαθήκην ἕως τῶν γεγραμμένων ἢ καὶ σφραγισθεῖσαν ὑπ᾽ αὐτοῦ προσφερέτω τοῖς μάρτυσιν, [ἵνα ὑπογράφωσιν, καὶ λεγέτω τοῖς μάρτυσιν] [4]) ἰδίαν εἶναι τὴν διαθήκην. λοιπὸν δὲ ἐν ἑνὶ καιρῷ ὑπογραφέτωσαν καὶ σφραγιζέτωσαν αὐτήν, καὶ κρατείτω ἰσχυρῶς. οὐ μόνον δὲ ἑπτὰ ἀλλὰ καὶ πέντε παραλαμβανόμενοι μάρτυρες ἔν τε ἐγγράφῳ πάσῃ καὶ ἀγράφῳ διαθήκῃ βεβαίαν ταύτην παριστῶσιν. ἐν δὲ ταῖς κατὰ τοὺς ἀγροὺς γενομέναις διαθήκαις, μὴ συνευρισκομένων τῶν ἀριθμῶν τῶν ε΄, καὶ ἐπὶ γ΄ μαρτύρων ἡ διαθήκη συνίσταται.

ιζ΄. Ὁ μέντοιγε ἐν πολέμῳ πληγεὶς καὶ ὁ ἐν ὁδῷ περιπατῶν καὶ πρὸς τὸ θανεῖν ἐγγίσας, ὁ τοιοῦτος οὐ μόνον ἐπὶ τριῶν διαθήκην δύναται [5]) ποιεῖν, ἀλλὰ καὶ δύο μόνα παρευρισκόμενα πρόσωπα

b) Ση. ὅτι ἀπὸ ἀτελοῦς διαθήκης οὐδὲ βασιλεὺς κληρονομεῖ [3]).

2) Videsis Proch. p. 124 not. 14.

3) Cod. VI, 23, 3.

4) Haec propter ὁμοιοτέλευτα in A praetermissa sunt.

5) A: συνίσταται.

διὰ τὴν συμβᾶσαν περίστασιν δύνανται τὴν ἐκείνου διαϑήκην βεβαίαν παριστάναι.

ιη'. Εἴ τις γράμματα ἐπιστάμενος μεταξὺ τῶν ἑαυτοῦ παίδων βούλοιτο ποιήσασϑαι διατύπωσιν, πρῶτον μὲν αὐτῆς προγράφειν τὸν χρόνον, εἶτα καὶ τὰ τῶν παίδων ὀνόματα οἰκείᾳ χειρί, καὶ πρός γε τοὺς οὐγκιασμοὺς εἰς οὓς γράφει κληρονόμους αὐτούς, μὴ τοῖς συμβόλοις [6]) τῶν ἀριϑμῶν σημαινομένους, ἀλλὰ δι' ὅλων γραμμάτων δηλουμένους, ὥστε πανταχόϑεν σαφεῖς τὲ καὶ ἀναμφισβητήτους καϑεστάναι. εἰ δὲ καὶ πραγμάτων βούλοιτο ποιήσασϑαι διαίρεσιν, ἢ τισὶ πράγμασι ῥητοῖς πάσας ἢ τινας τῶν ἐνστάσεων περιστῆσαι, καὶ τὰ τούτων ἐγγραφέτω γνωρίσματα, ὥστε τοῖς αὐτοῦ γράμμασι πάντα δηλούμενα μηδεμίαν ἔτι φιλονεικίαν τοῖς παισὶ καταλιμπάνειν. εἰ μέντοιγε ἢ γαμετῇ ἢ ἐξωτικοῖς τισι προσώποις βούλεται καταλιπεῖν λεγάτα ἢ φειδικόμισσα ἢ ἐλευϑερίας, καὶ ταῦτα οἰκείᾳ χειρὶ γραφόμενα, λεγόμενά τε παρὰ τῶν διατιϑεμένων ἐπὶ τῶν μαρτύρων, ὡς ἅπαντα ἐφεξῆς τὰ ἐν τῇ διατυπώσει κείμενα αὐτοὶ καὶ ἔγραψαν καὶ βούλονται κρατεῖν, ἔστω ἰσχυρά, μηδὲν ἐλαττούμενα ἐκ τοῦ δοκεῖν ἐν χάρταις γεγράφϑαι τὴν λοιπὴν παρατήρησιν τῶν διαϑηκῶν μὴ δεξαμένοις, ἀλλὰ τούτῳ μόνον διαταττέτω τῷ τὴν αὐτοῦ δεξιάν τε καὶ γλῶτταν ἔχειν τὴν πᾶσαν ἰσχὺν τῷ χάρτῃ παρεχομένην. καὶ εἴπερ μέχρι τελευτῆς μείνοι τοῦτο τὸ σχῆμα, οὐδεὶς ὕστερον παράξει μαρτυρίας, ὡς ἠβουλήϑη τυχὸν τὴν τοιαύτην γνώμην ἀμεῖψαι ἢ ἐναλλάξαι ἤ τι τοιοῦτο ποιῆσαι· ᾧγε ἐξῆν διαῤῥῆξαι τὸ γενόμενον καὶ ἑτέραν ποιήσασϑαι βούλησιν, δηλοῦσαν τὴν τελευταίαν αὐτοῦ γνώμην, ἣν προσήκει κρατεῖν. τοῦτο γὰρ ἐφίεμεν αὐτῷ πράττειν, αὐτὸ τοῦτο ῥητῶς ἐπισημαινομένῳ ἐπὶ παρουσίᾳ μαρτύρων ζ' ἢ καὶ ε', ὡς καὶ πεποίηται τὴν τοιαύτην βούλησιν, οὐ μὴν κρατεῖν αὐτὴν ἔτι βούλεται, ἀλλ' ἑτέραν ποιήσασϑαι. καὶ ταῦτα ἢ ἐν τελείᾳ διαϑήκῃ ποιείτω πάντα τὰ τῶν διαϑηκῶν ἐχούσῃ σύμβολα, ἢ ἐν ἀγράφῳ τελείᾳ βουλήσει, ὥστε ἐπ' ἐγγράφῳ ἢ ἀγράφῳ βουλήσει δοκεῖν αὐτὸν τελευτῆσαι, τῶν προτέρων ἀκύρων ἐκ τῆς δευτέρας αὐτοῦ κατὰ τὴν τελείαν διαϑήκην ἢ βούλησιν διατυπώσεως γινομένων.

ιϑ'. Κωδίκελλός ἐστιν ἐλλιποῦς ἐν διαϑήκῃ γνώμης διατιϑεμένου ἀναπλήρωσις.

κ'. Κωδίκελλός ἐστιν ἔγγραφος βούλησις τελευταία ἐπί τισι προσώποις καὶ πράγμασι τοῖς καὶ ἐν διαϑήκῃ ἢ μνημονευϑεῖσιν ἢ μνημονευϑῆναι δυναμένοις, πλὴν [c]) καὶ κληρονόμου ἐνστάτου καὶ ἀποκλήρου

c) Σχόλιον. Τὸ μὲν ς' βι. τοῦ κώδ.[7]) οὔτε κληρονόμον οὔτε ἀπόκληρον οὔτε

6) A: συμβολαίοις.

7) Cod. VI, 36.

καὶ κληρονομίας, οἷς καὶ διαφέρει τῆς διαϑήκης ὁ κωδίκελλος. δύναται γάρ τις ἐν κωδικέλλῳ φιδικομισσάριον γράφειν κληρονόμον καὶ λεγάτον καὶ λεγατάριον, ἀλλὰ καὶ ὑποκατάστατον δύναται ποιεῖσϑαι ἐν κωδικέλλῳ, οὐ μὴν ἔνστατον κληρονόμον, οὐδὲ ἀπόκληρον, οὐδὲ κληρονομίαν.

κα΄. Ἔνστασίς ἐστιν ἡ πρώτη ϑέσις τῆς κληρονομίας, τουτέστιν ὁ φύσει πρῶτος βαϑμὸς τῶν κληρονόμων.

κβ΄. Ὑποκατάστασίς ἐστιν ἡ ἐξ ἀποτυχίας τοῦ πρώτου κληρονόμου ἐπὶ ἕτερον τῆς κληρονομίας μετάϑεσις ἐκ διορισμοῦ τοῦ κληροδοτοῦντος· οἷον ὡς εἴ τις εἴπῃ· ἔστω μου ὁ δεῖνα κληρονόμος, εἰ δὲ μή, ἔστω ὁ δεῖνα.

κγ΄. Καὶ ἕνα καὶ πολλοὺς συγχωρούμεϑα ποιεῖν κωδικέλλους.

κδ΄. Ὁ εὔπορος ἐλευϑεροῖ δούλους ἐν κωδικέλλῳ, εἰ καὶ ἐν τῷ διατίϑεσϑαι ἄπορος ἦν.

κε΄. Ὁ ἔχων δύναμιν τοῦ ποιεῖν διαϑήκην δύναται ποιεῖν καὶ κωδίκελλον.

κϛ΄. Ἐάν τις τῷ δούλῳ [10]) αὐτοῦ λεγατεύσῃ ἐν διαϑήκῃ, καὶ ἐν κωδικέλλοις αὐτὸν ἐλευϑερώσῃ, ἑκάτερον ἰσχύει.

κζ΄. Οὐκ ἔχει δύναμιν κωδικέλλου ἡ ἐπιστολή, ἣν ἂν γράψαιτό τις ἐπαγγειλάμενος ποιεῖν με κληρονόμον ἢ φανερῶν την διάϑεσιν αὐτοῦ.

κη΄. Ἐὰν διαφόρους κωδικέλλους τὶς ποιήσῃ ἐν διαφόροις χρόνοις ἐναντίους ἀλλήλοις, ὁ τελευταῖος ἰσχυρότερός ἐστιν.

κϑ΄. Συνίσταται κωδίκελλος διὰ ε μαρτύρων, ὑπογραφόντων δηλονότι, κἂν μὴ σφραγίδας αὐτῷ ἐπιϑήσωσιν.

ἔνστατον οὔτε ὑποκατάστατον [ἐν] κωδικέλλῳ φησὶ δύνασϑαι ποιεῖν· τὸ δὲ γ΄ τοῦ αὐτοῦ κώδ. [8]) λέγει καὶ ἐν ἀτελεῖ διαϑήκῃ καὶ ἐν κωδικέλλῳ καλῶς γράφεσϑαι τοὺς παῖδας κληρονόμους. καί φασιν οἱ ἐξηγηταί, ὅτι τὸ ϛ΄ βι. περὶ ἐξωτικῶν κληρονόμων διαλέγεται. ἡ μέντοι ρνϑ [9]) νεαρὰ κωδίκελλον ὑποκατάστασιν ἔχοντα ὡς ἰσχυρὸν ἀποδέχεται, ἀλλ᾽ ἐπὶ κατιόντων.

ΤΙΤΛΟΣ ΤΡΙΑΚΟΣΤΟΣ.

Περὶ τῶν κωλυομένων διατίϑεσϑαι.

Κεφ α΄. Οὐ δύναται διατίϑεσϑαι ὁ ὑπεξούσιος. ἐπὶ τοσοῦτον δὲ κεκώλυται διατίϑεσϑαι, ὥστε εἰ καὶ ὁ πατὴρ (οἷα φιλεῖ γίνε-

8) Cf. l. 21 §. 3 C. eod.
9) A: ρκϑ΄.
10) A: τὸν δοῦλον.

σθαι) θεραπεύων αὐτὸν ἐπιτρέψει αὐτῷ, ὅσον βούλεται μέρος τῆς αὐτοῦ διαθέσθαι περιουσίας, οὐκ ἔῤῥωται τὸ παρ' αὐτοῦ γινόμενον, εἰ μὴ ἄρα καὶ μετὰ τὸν θάνατον τοῦ παιδὸς ὁ γονεὺς ἐν τῇ αὐτῇ διαμείνῃ γνώμῃ.

β'. Ἐάν τις ὑπεξούσιος ὢν διάθηται, ἄχρηστος ἡ αὐτοῦ διαθήκη, εἰ καὶ γενόμενος αὐτεξούσιος ἐτελεύτησεν. σκοποῦμεν γὰρ ἀεὶ τόν τε καιρὸν τῆς τελευτῆς καὶ πολλῷ μᾶλλον τὸν τῆς ποιήσεως τῆς διαθήκης, εἰ ἐν ἑκατέρῳ χρόνῳ παῤῥησίαν εἶχε τοῦ διατίθεσθαι.

γ'. Οὐ δύνανται διατίθεσθαι οἱ ἄνηβοι [a]). οἶδας γὰρ ὅτι η διαθήκη τελευταίας διανοίας ἐστὶ δήλωσις, ἐστέρηται δὲ διανοίας ὁ ἄνηβος· οὔπω γὰρ αὐτῷ προσγέγονε τὸ φρονεῖν· ἀνίσχυρος οὖν αὐτῷ ἡ διαθήκη, εἰ καὶ τὰ μάλιστα γενόμενος ἔφηβος ἐτελεύτησεν.

δ'. Οὐ δύνανται διατίθεσθαι οἱ μαινόμενοι, ἐπειδὴ χηρεύουσι λογισμοῦ· ἀπέλιπε γὰρ αὐτοὺς τὰ φρονεῖν· ἀνίσχυρος οὖν αὐτῶν ἡ διαθήκη, εἰ καὶ τὰ μάλιστα ἀνανήψαντες ἐτελεύτησαν. εἰ δὲ ὁ μαινόμενος κατ' ἐκεῖνον διάθηται τὸν καιρὸν, ἐν ᾧ παύεται τοῦ μαίνεσθαι, τουτέστιν ἐν τοῖς διαλείμμασι, ζητεῖται, εἰ κρατεῖ. κελεύομεν οὖν ἔννομον εἶναι τὴν διαθήκην. ἐὰν δὲ διαθέμενός τις ἐμάνη, τὸ μετὰ ταῦτα πάθος ἐπιγενόμενον τῆς μανίας τὴν ὀρθῶς διατυπωθεῖσαν οὐκ ἀνατρέπει διαθήκην, ὥσπερ οὐδὲ ἕτερον συνάλλαγμα ἐπιγινομένη μανία διαφθείρει.

ε'. Ὁ ἄσωτος οὐ δύναται διατίθεσθαι. ᾧ γὰρ τῶν οἰκείων πραγμάτων ἡ διοίκησις ἀπηγόρευται, οὐδαμῶς ὁ νόμος συγχωρεῖ διατίθεσθαι, πλὴν εἰ μήπω ἐπιστάντος αὐτῷ τοῦ θανάτου ὑπὲρ ψυχικῆς αὐτοῦ σωτηρίας τινὰ γενέσθαι διορίσαιτο· ἐπ' ἐκείνων γὰρ καὶ μόνων τὴν βούλησιν αὐτοῦ ἰσχὺν ἔχειν θεσπίζομεν. ἡ δὲ πρὸ τῆς ἀσωτείας γενομένη διαθήκη, τουτέστι πρὶν ἡ διοίκησις αὐτῷ τῶν πραγμάτων ἀπαγορευθῇ, βεβαία μένει. εἰ μέντοιγε ἐπὶ μετάνοιαν ἔλθῃ καὶ κατάγνωσιν τοῦ ἀσώτου βίου, καὶ οὕτως διατίθεται.

ϛ'. Ἄλαλος ἢ κωφὸς οὐκ ἀεὶ διατίθεται. λέγομεν δὲ περὶ κωφοῦ τοῦ παντελῶς μὴ ἐξακούοντος, οὐ μὴν τοῦ βραδέως ἀκούοντος· οὗτος γὰρ διατίθεται. καὶ ἄλαλον πάλιν ἐκεῖνόν φαμεν, οὐ τὸν βραδέως λαλοῦντα, ἀλλὰ τὸν παντελῶς μὴ φθεγγόμενον. τὸ δὲ οὐκ ἀεὶ πρόσκειται, ὅτι πολλάκις τὶς εἰδὼς γράμματα καὶ πεπαιδευμένος συμφορᾶς ἐπιγινομένης τῆς ἀκοῆς ἢ τῆς γλώττης ἐστερήθη· δύναται οὖν οὗτος διατίθεσθαι. εἰ δέ τις διαθέμενος νόσου συμβάσης ἢ ἐκ τιμωρίας ἀρχοντικῆς ἢ ἐξ ἄλλης οιασδήποτε περιστά-

a) Εἰ μὴ ἄρα στρατιῶταί εἰσιν.

σεως ἄλαλος ἢ κωφὸς γέγονεν, ἡ προγενομένη διαθήκη τὴν ἰδίαν ἰσχὺν ἔχει.

ζʹ. Ὁ παρὰ τοῖς πολεμίοις ὢν οὐ καλῶς παρ' αὐτοῖς διατίθεται, εἰ καὶ συμβῇ τοῦτον εἰς τὴν ἡμετέραν πολιτείαν ἐλθεῖν. τὴν δὲ παρ' ἡμῖν γενομένην διαθήκην ἐῤῥῶσθαί φαμεν, κἂν μετὰ ταῦτα γένηται αἰχμάλωτος. εἴτε γὰρ ὑπέστρεψεν ἐκ τῆς αἰχμαλωσίας ἡ τοιαύτη διαθήκη τὸ βέβαιον ἔχει, εἴτε παρὰ τοῖς πολεμίοις ἐτελεύτησεν.

ηʹ. Ὁ φάμουσον ποιήσας καθ' οἱουδήποτε προσώπου καὶ ἐλεγχθεὶς οὔτε διατίθεται οὔτε μαρτυρεῖ ἐν διαθήκῃ.

ΤΙΤΛΟΣ ΤΡΙΑΚΟΣΤΟΣ ΠΡΩΤΟΣ.

Περὶ διαθήκης ὑπεξουσίων καὶ λύσεως ὑπεξουσιότητος.

Κεφ. αʹ. Τὸ πεκούλιον ἐν τοῖς ὑπεξουσίοις ὁρᾶται. ὅθεν τῶν πεκουλίων τὰ μέν ἐστιν καστρίσια [a]) ἤτοι ἰδιόκτητα, τὰ δὲ παγανικά. καὶ καστρίσιον πεκούλιόν ἐστιν ἤτοι ἰδιόκτητον, ὅπερ ἰδικῶς τις ἐξ ἰδίου ἐπιτηδεύματος ἢ στρατείας ἢ κλήρου ἢ βαθμοῦ τοῦ οἱουδήποτε ῥογευόμενος καὶ ἀποκερδαίνων κέκτηται· παγανικὰ δὲ πεκούλια τῶν ὑπεξουσίων εἰσίν, ἅπερ παρὰ τῶν γονέων αὐτοῖς λόγῳ ὑπηρεσίας καὶ λόγῳ χρείας ἐδόθησαν ἢ καὶ ἐκ τῶν δοθέντων ἐπεκτήθησαν. πολλαὶ δὲ διαφοραὶ παγανικοῦ καὶ καστρισίου ἤτοι ἰδιοκτήτου πεκουλίου. καὶ πρώτη μὲν αὕτη· ὅτι εἰς μὲν τὸ ἰδιόκτητον πεκούλιον ὁ ὑπεξούσιος διατίθεται, εἰς δὲ τὸ παγανικὸν οὐ δύναται. δευτέρα διαφορά· ἀγανακτήσας ὁ πατὴρ κατὰ τοῦ ὑπεξουσίου τὸ μὲν παγανικὸν ἀφαιρεῖσθαι δύναται πεκούλιον, τὸ δὲ ἰδιόκτητον οὐκέτι. τρίτη διαφορά· ἐὰν πολλοῖς ἐποφείλων τὶς ὑποστῇ διάπρασιν ὑπὸ τῶν ἑαυτοῦ δανειστῶν, το μὲν παγανικὸν τοῦ παιδὸς συνδιαπιπράσκεται πεκούλιον, τὸ δὲ ἰδιόκτητον οὐδαμῶς.

a) Τὸ καστρίσιον εἰς δύο διαιροῦσιν οἱ παλαιοί. τὸ μὲν γὰρ λέγουσι καστρίσιον κυρίως, ὅπερ ἀπὸ μόνης στρατιωτικῆς αἰτίας προσγίνεται, τὸ δὲ κουασικαστρίσιον, ἀντὶ τοῦ ὡσανεὶ καστρίσιον. ὃ γὰρ ἐκ τῶν ἄλλων ἐπιτηδευμάτων ἐπικτᾶταί τις, ἀλλὰ καὶ τὰ ἀπὸ μητρικῆς καὶ ἀδελφικῆς ἢ ἀλλαχόθεν ἐκ διαθήκης ἢ ἐξ ἀδιαθέτου κληρονομίας ἢ ἀπὸ γαμικοῦ κέρδους, ὅσα οὐκ εἰσὶ παγανικά, πάντα νομίζονται ἰδιόκτητα, καὶ νομίμως ἐπ' αὐτοῖς δύνανται οἱ ὑπεξούσιοι διατίθεσθαι.

ἐστὶ καὶ τετάρτη διαφορά· ἐὰν πολλῶν ὄντων παίδων ὁ πατὴρ τελευτήσῃ, συμβῇ δὲ ἕνα ἐξ αὐτῶν παγανικὸν ἔχειν πεκούλιον καὶ ἰδιόκτητον, τὸ μὲν παγανικὸν κοινὸν ἔσται πάντων τῶν ποτε παίδων ὑπεξουσίων, τὸ δὲ ἰδιόκτητον μόνου τοῦ κτησαμένου.

β'. Ἰδιόκτητον πεκούλιόν ἐστι καὶ τὸ ἀπὸ ῥόγας κληρικῷ τινι καὶ ἱερατικῷ ὑπάρχοντι ἐπιγινόμενον, καὶ δύναται ἐν τούτῳ ὑπεξούσιος ὢν διατίθεσθαι.

γ'. Ἰδιόκτητον πεκούλιόν ἐστι καὶ τὸ τοῖς χαρτουλαρίοις ἢ ἄλλοις τοῖς ἔν τισι βαθμοῖς ὑπάρχουσιν ἀπὸ ῥόγας ἐπιγινόμενον ἢ τῶν λεγομένων συνηθειῶν, καὶ δύνανται καὶ οὗτοι ἐν τούτοις ὑπεξούσιοι ὄντες διατίθεσθαι, εἰ μὴ ἄρα οἱ γονεῖς αὐτῶν ὑπὲρ αὐτῶν τι ἔδωκαν ἐν τῷ εἰσάγεσθαι αὐτοὺς ἐν τοῖς τοιούτοις βαθμοῖς. εἰ γὰρ κατέβαλον ὑπὲρ αὐτῶν οἱ γονεῖς αὐτῶν τι, τότε ὀφειλέται εἰσὶν οἱ ὑπεξούσιοι τὸ ἱκανὸν ἀντιδοῦναι αὐτοῖς καὶ εἰς τὸ λοιπὸν διατίθεσθαι.

δ'. Τα ἀπὸ μακρᾶς ἀποδημίας [1]) καὶ χειμερινῆς καὶ καυσώδους ὁδοιπορίας, τουτέστι τὰ ἀπὸ ταξειδίων ἐπιγινόμενα πεκούλια τοῖς ὑπεξουσίοις, ἰδιόκτητά ἐστιν, καὶ δύνανται ἐν τούτοις διατίθεσθαι. ὁμοίως δὲ καὶ τὰ ἀπὸ συνεδρίας καὶ συνηγορίας καὶ παντὸς ἐπιτηδεύματος αὐτοῖς ἐπικτηθέντα καστρίσιά εἰσιν ἤτοι ἰδιόκτητα.

ε'. Ἔγνωμεν ὅτι τὴν ἐξουσίαν ἔχομεν κατὰ τῶν ἡμετέρων οἰκετῶν καὶ κατὰ τῶν ἡμετέρων παίδων, τοῦτο μὲν φυσικῶν τοῦτο δὲ καὶ θετῶν. νῦν δὲ σκοπήσωμεν, τίνι διαλύεται τρόπῳ ἡ ὑπεξουσιότης. ἀλλὰ περὶ μὲν τῶν οἰκετῶν μαθησόμεθα ἐν τῷ περὶ ἐλευθερίας τίτλῳ· περὶ δὲ τῶν παίδων ἐντεῦθεν. λύεται τῆς ὑπεξουσιότητος ὁ παῖς θανάτῳ τῶν γονέων· οὐκ ἀεὶ δέ· εἰ μὲν γὰρ πατήρ ἐστιν ὁ τελευτήσας, ἀμάχως οἱ παῖδες αὐτεξούσιοι γίνονται, [τελευτήσαντος δὲ πάππου οὐ πάντως οἱ ἔγγονοι αὐτεξούσιοι γίνονται] [2]). δεῖ γὰρ σκοπεῖν τὸν καιρὸν τῆς τοῦ πάππου τελευτῆς, καὶ εἰ μὲν εὑρεθῇ τὸ μέσον πρόσωπον, τουτέστιν υἱός, ὑπεξούσιος, οἱ δὲ ἔγγονοι κατ' ἐκεῖνον τὸν χρόνον ὑπεξούσιοι τῷ πάππῳ καθ' ὃν τελευτᾷ, ἔσονται ὑπεξούσιοι τῷ πατρὶ τελευτήσαντος τοῦ πάππου οἱ ἔγγονοι· μεταπεσοῦνται γὰρ εἰς τὴν τοῦ οἰκείου πατρὸς ὑπεξουσιότητα. εἰ δὲ ὁ μέσος ἢ προετελεύτησε τοῦ πατρὸς ἢ τῆς ὑπεξουσιότητος αὐτοῦ ἠλευθερώθη, τότε οἱ ἔγγονοι, ἐπειδὴ οὐ μεταπίπτουσιν εἰς τὴν ἑτέρου ὑπεξουσιότητα, αὐτεξούσιοι γίνονται.

1) A: ἐπιδημίας.

2) Inclusa in A propter ὁμοιοτέλευτα exciderunt.

ς΄. Ἐὰν καταδικασθῇ τις θανάτῳ, ἅμα τῇ ἀποφάσει γίνονται οἱ παῖδες αὐτοῦ αὐτεξούσιοι.

ζ΄. Ἐὰν γένηται πατρίκιος ὁ ὑπεξούσιος, ἅμα τῷ δέξασθαι τοὺς κωδικέλλους τῆς πατρικιότητος τῆς τοῦ πατρὸς ὑπεξουσιότητος ἀπαλλάττεται b).

η΄. Ἡ ἔμπρακτος ἐπαρχότης ἢ στρατηγία καὶ ἡ ἐπισκοπὴ λύει τὴν ὑπεξουσιότητα.

θ΄. Τὸν ἐμὸν πατέρα συνέβη γενέσθαι αἰχμάλωτον. ἐν τῷ μεταξὺ ἐν μετεώρῳ μένει τὰ τῆς ὑπεξουσιότητος, καὶ εἰ μὲν ὑποστρέψῃ [4]) ὁ πατὴρ, ἔσομαι αὐτοῦ ὑπεξούσιος· [εἰ δὲ ἐκεῖ τελευτήσει, γενήσομαι αὐτεξούσιος]. ζητοῦμεν δὲ, ἐκ ποίου χρόνου δοκῶ τῆς ὑπεξουσιότητος ἀπαλλάττεσθαι, πότερον ἐξ οὗ ἑάλω, ἢ ἐξ οὗ ἐτελεύτησε παρὰ τοῖς πολεμίοις. ἐστὶ γὰρ ὅλως τὶς διαφορὰ καὶ πάνυ. ὑπόθου γὰρ δύο παῖδας καὶ δισχιλίων νομισμάτων περιουσίαν, ληφθῆναί τε τὸν πατέρα ὑπὸ τῶν πολεμίων. τούτων ὁ μὲν ἦν σπουδαῖος, καὶ λαβὼν νομίσματα δύο ἐκ τῆς τοῦ πατρὸς περιουσίας ἐξ οἰκείων καμάτων ἠδυνήθη χίλια νομίσματα ἐμπορευσάμενος κερδᾶναι· ὁ δὲ ἕτερος ῥᾴθυμος ὢν οὐδὲν προσεκτήσατο. μετὰ χρόνον τινὰ ἀπηγγέλθη, ὅτι παρὰ τοῖς πολεμίοις ἐτελεύτησεν αὐτῶν ὁ πατήρ· ἠβουλήθησαν μερίσασθαι τὸν πατρῷον κλῆρον. καὶ ὁ μὲν ῥᾴθυμος ἔλεγεν, νῦν, ὅτε τῇ ἀληθείᾳ ὁ πατὴρ ἐτελεύτησεν, γεγόναμεν αὐτεξούσιοι· οὐκοῦν ὅσα ἐκτήσω σὺ ὁ σπουδαῖος, τοῦ πατρός ἐστι, καὶ δεῖ ἡμᾶς τὰ τρισχίλια μερίσασθαι, τουτέστι λαβεῖν ἀνὰ χιλίων πεντακοσίων. ὁ δὲ σπουδαῖος ἔλεγεν, ἐξ ἐκείνου, ἐξ οὗ συνέβη ληφθῆναι τὸν πατέρα, γεγενῆσθαι ἡμᾶς αὐτεξουσίους· δοκεῖ γὰρ ὁ μὴ ὑποστρέψας κατ' ἐκεῖνον τεθνάναι τὸν καιρόν· οὐκοῦν ὡς αὐτεξούσιος ὅσα ἂν ἐκτησάμην, ἐμαυτῷ καὶ οὐχ ἑτέρῳ προσεπόρισα. καὶ μᾶλλον ταύτῃ [5]) πειθόμεθα τῇ γνώμῃ.

ι΄. Ὁ μέλλων αὐτεξούσιον τὸν παῖδα αὐτοῦ ποιῆσαι, προσιέτω τῷ ἁρμοδίῳ δικαστῇ καὶ λεγέτω αὐτῷ, ὅτι τόνδε ποιῶ αὐτεξούσιον καὶ τῆς ἐμαυτοῦ ἀφίημι χειρός. ὥστε εἰ συμβῇ τὸν παῖδα ἄτεκνον ὄντα διατίθεσθαι, ἐῤῥῶσθαι τὴν ἐκείνου διαθήκην, φυλάττοντος δηλονότι τὴν νόμιμον μοῖραν τῷ πατρί.

b) σχόλιον. Τὸ αὐτὸ καὶ περὶ ἐπάρχων καὶ στρατηγῶν καὶ ἐπισκόπων ἡ πα΄ φησὶ νεαρά [3]). περὶ δὲ μοναχῶν φανερῶς μὲν οὐ λέγεται, πλὴν καὶ τοῦτο οἶμαι συνάγεται κατὰ τὴν ρκγ΄ νεαρὰν νομοθετοῦσαν, τοὺς μονάζοντας παῖδας μήτε ἀχαρίστους διὰ τοῦτο παρὰ τοῖς πατράσι νομίζεσθαι, μήποτε ὑπὸ τῶν πατέρων μοναστηρίων ἀφέλκεσθαι.

3) Mirum, quod scholiastes adnotare haec operae pretium duxerit, quum eadem mox textus §. 8 constituat. Unde suspicio est, hanc ipsam §. 8 proprie ab Epanagoge alienam esse.

4) A: ἐπιστρ. Mox uncis inclusa non habet.

5) A: τι.

ια΄. Δύναταί τις τὸν μὲν υἱὸν ποιεῖν αὐτεξούσιον, τον δὲ ἔγγονον κρατεῖν ὑπεξούσιον· καὶ ἐκ τοῦ ἐναντίου τὸν ἔγγονον ποιεῖν αὐτεξούσιον, κατέχειν δὲ ὑπεξούσιον τὸν υἱόν. τὸ αὐτὸ καὶ ἐπὶ προεκγόνων.

ΤΙΤΛΟΣ ΤΡΙΑΚΟΣΤΟΣ ΔΕΥΤΕΡΟΣ.

Περὶ ἀνατροπῆς διαθήκης.

Κεφ. α΄. Ταῖς[a]) διαθήκαις τρία πάθη παρενοχλεῖ, οἷον ῥῆξις, ἀκυρωσία καὶ ἀτέλεια. ἀλλ' αἱ μὲν ῥηγνύμεναι ἢ καθόλου ῥήγνυνται ἢ ἐκ μέρους. καὶ καθόλου μὲν κατὰ ἓξ τρόπους. καὶ πρῶτος τρόπος ἐστίν, ὅταν τὶς μετὰ τὴν ποίησιν τῆς διαθήκης εἰς υἱοθεσίαν τινὰ λάβῃ καθ' οἱονδήποτε τρόπον τῆς υἱοθεσίας. δεύτερος, ὅταν μετὰ τὴν ποίησιν τῆς διαθήκης ἢ τὸν θάνατον τοῦ διατιθεμένου υἱὸς τεχθῇ, ἢ ἐξ ὑπεξουσίου υἱοῦ θανόντος ἔγγο-

a) Σχόλιον.[1]) Οὗτος ὁ τίτλος οἶμαι ὅτι ἐν πολλοῖς διασφάλλεται. οἵ τε γὰρ τρεῖς τρόποι τῆς καθόλου ῥήξεως οἱ πρῶτοι καὶ ὁ τῆς ἐκ μέρους δεύτερος καὶ ὁ πέμπτος τῆς ἀκυρωσίας ἑνὶ λόγῳ τῷ τῆς ριε΄ νεαρᾶς κανόνι ἐμπίπτουσι, καὶ ὡς ἐκείνη φησί, τῆς ἐνστάσεως μόνης ἀνατρεπομένης, τῶν δὲ ἄλλων τῆς διαθήκης βεβαίων μενόντων, ὑπεισέρχονται οἱ ἀμνημόνευτοι καὶ ἀλόγως ἀπόκληροι παῖδες, εἴτε φυσικοὶ εἰσιν εἴτε θετοί, εἴτε ἄῤῥενες εἴτε θήλειαι, εἴτε ὑπεξούσιοι εἴτε αὐτεξούσιοι καὶ[2]) εἴτε προτεχθέντες εἴτε ἐπιτεχθέντες, καὶ μετὰ τῶν γεγραμμένων κληρονόμων ἐξίσου κληρονομοῦσιν. ἀπορήσειε δ' ἄν τις περὶ τῶν γεγραμμένων, πότερον παίδων ἢ καὶ ἐξωτικῶν, καὶ περὶ τοῦ στρατιώτου τοῦ ἐνταῦθα ἐν τῷ ϛ΄ τρόπῳ λεγομένου, ὅτι ἡ νεαρὰ ἀδιαφόρως λέγει περὶ πατέρων, καὶ μήποτε καὶ ὁ στρατιώτης ἐκεῖ συνταχθήσεται. οἱ δὲ γεγραμμένοι κληρονόμοι εἴγε παῖδες μόνοι, καθὰ μᾶλλον τὸ ῥητὸν ὑποφαίνει, νοηθήσονται, κρατήσει ἐπὶ τῶν ἐξωτικῶν τὸ ἐν τῷ β΄ τρόπῳ τῆς ἐκ μέρους ῥήξεως λεγόμενον, ὅτι τὸ ἥμισυ οἱ ἐξωτικοὶ λαμβάνουσιν. ἀλλὰ καὶ εἰς τοῦτο φύεται ζήτησις. ἔνθα γὰρ ἐν τοῖς ἰνστιτούτοις λέγεται, τρεῖς ἐξωτικοὶ καὶ εἷς παῖς ὑπετέθη, ὥστε συμβαίνειν τοὺς μὲν τρεῖς ἔχειν τὸ ἥμισυ τὸν ἕνα δὲ παῖδα τὸ ἕτερον ἥμισυ· καὶ τοῦτο δηλοῖ ὁ τοῦ νομοθέτου σκοπὸς, τὸ πλέον ἔχειν τοὺς παῖδας τῶν ἐξωτικῶν. εἰ οὖν συμβῇ τὸ ἀνάπαλιν, καὶ τρεῖς μὲν εἰσι παῖδες, εἷς δὲ ἐξωτικὸς, πῶς ἔσται ὁ διαμερισμός; μήποτε οὖν διὰ ταῦτα βέλτιον πάντας ἐξίσου συμμερίζεσθαι. καὶ ταῦτα μὲν περὶ τῶν εἰρημένων τρόπων. οἱ μέντοι δ΄ καὶ ε΄ τῆς καθόλου ῥήξεως καὶ ὁ α΄ τῆς ἐκ μέρους δοκοῦσιν ὑγιεῖς, ἀλλ' οἶμαι σχεδὸν ἐπὶ ἐξωτικῶν κληρονόμων θεωρούμενοι.

1) Scholia hujus tituli pridem edidi in notis ad Prochirum p. 139 sqq. Cf. ibid. p. 135 not. 1.

2) A: καὶ ὡς δίδωσίνο (sic) εἴτε κτλ.

νος, κἂν μετὰ τοὺς ὁρισθέντας κληρονόμους πρόσκειται ἐν τῇ διαθήκῃ οὕτως· ἔστωσαν οἱ λοιποὶ ἀπόκληροι, εἰ μὴ ἄρα λεγατευθῇ[b]) ἢ ἐκτρώσῃ ἡ τίκτουσα. τρίτος, ὅταν ὁ θετὸς υἱὸς ὑπεξούσιος ὢν οὐ μνημονευθῇ ἐν τῇ διαθήκῃ. τέταρτος, ὅταν δευτέρα γέγονε διαθήκη κατὰ νόμον, εἴτε γέγονέ τις ἐν αὐτῇ κληρονόμος, εἴτε μὴ γέγονε τῶν πεφυκότων κληρονομεῖν. πέμπτος, ὅταν δευτέρα διαθήκη κατὰ νόμους γενομένη κληρονόμον ἕτερον εἰς ὡρισμένα πράγματα καταστήσῃ, μὴ βεβαιοῦσα τὰ τῆς πρώτης διαθήκης. ἕκτος, ὅταν στρατιώτου[c]) υἱὸς ἐγκυμονούμενος παρ' αὐτοῦ ἐν τῇ ποιήσει τῆς διαθήκης ἠγνοήθη· εἰ γὰρ γνοὺς αὐτὸν ἐσιώπησεν, οὐ ῥήγνυται ἡ διαθήκη.

β'. Ἐκ μέρους δὲ κατὰ τρόπους δύο. καὶ πρῶτος τρόπος ἐστίν, ὅταν ἡ δευτέρα διαθήκη τὰ μὲν ἐν τῇ πρώτῃ βέβαια μένειν διαγορεύῃ, ἕτερον δὲ κληρονόμον εἰς ὡρισμένα πράγματα καταστήσῃ· ἀρκεῖ γὰρ αὐτῷ τὰ ἐαθέντα, εἰ καὶ μὴ ποιῇ τὸ φαλκίδιον. δεύτερος δέ, ὅταν θυγατέρα ὑπεξουσίαν ἔχει ἢ ἔγγονον ἢ ἐγγόνην, οὐκ ἔγραψε δὲ αὐτοὺς κληρονόμους· τότε γὰρ ἡ μὲν διαθήκη οὐ ῥήγνυται τέλεον, αὐτοὶ δὲ τῇ κληρονομίᾳ ὑπεισέρχονται. καὶ εἰ μέν ἐστι γραφεῖσα ἡ κληρονομία εἰς ἐξωτικούς, τουτέστι τοὺς μὴ ὄντας συγγενεῖς, τὸ ἥμισυ οἱ οἰκεῖοι λαμβάνουσιν· εἰ δὲ εἰς οἰκείους, ἐπίσης πάντες.

γ'. Αἱ δὲ ἀκυρούμεναι[d]) κατὰ δ̄ τρόπους γίνονται. καὶ πρῶ-

b) Ὁ τεχθεὶς δηλονότι.

c) Στρατιώτην λέγει τὸν ἐν τῷ φοσσάτῳ διατρίβοντα.

d) Ἀλλὰ καὶ τῶν ἀκυρουμένων ὁ μὲν πρῶτος τρόπος δοκεῖ πως ἀμφίβολος. εἰ μὲν γὰρ ὁ καταδικαζόμενος θανάτῳ ἢ ὑπερορίζόμενος δημευθῇ, πάντως ἡ διαθήκη ἄκυρος τότε, ὥσπερ εἰ καὶ ἐμπρησθέντος αὐτοῦ ἢ ναυαγήσαντος ἢ ἄλλως πως πτωχεύσαντος ταὐτὸ συνέβη. σωζομένης δὲ καὶ μὴ δημευομένης τῆς ὑποστάσεως, πῶς καὶ ὑπὸ τίνος ἡ διαθήκη ἀνατραπήσεται; ὁ δὲ εἰς υἱοθεσίαν διδοὺς ἑαυτὸν αὐτεξούσιος, εἰ μὲν ἐκὼν καὶ τὴν ἑαυτοῦ περιουσίαν ὑπὸ τὴν τοῦ υἱοθετοῦντος ἐξουσίαν πεποίηκεν, αὐτὸς πάντως καὶ οὐχ ἡ υἱοθεσία τὴν ἑαυτοῦ διαθήκην ἠκύρωσεν. εἰ δὲ καταδουλῶν ἑαυτὸν τὴν αὐτοῦ ὑπόστασιν ἐλευθέραν διαμένειν βεβούληται, τίς ἔσται ὁ ἀκυρώσων τὴν διαθήκην; περὶ δὲ τῶν ὑπεξουσίων προείρηται, ὅτι εἰς μόνα τὰ καστρίσια πεκούλια δύνανται διατίθεσθαι, καὶ ἡ εἰς ταῦτα αὐτῶν διαθήκη καὶ αὐτεξουσίων αὐτῶν γενομένων πολλῷ μᾶλλον ἔῤῥωται. εἰ δὲ τὸ ἐνταῦθα κείμενον περὶ διαθήκης φησὶν ὑπ' αὐτῶν γινομένης ἐφ' οἷς ἐξουσίαν οὐκ ἔχουσι, παντάπασι μάταιον· τοῦτο γὰρ καὶ ἐπὶ πάντων αὐτεξουσίων. ὁ δὲ δεύτερος τρόπος δοκεῖ πως ὑγιής, εἴγε αὐτῷ προστεθῇ ἐπὶ τῶν προτελευτώντων καὶ μάλιστα πρὸ τοῦ λαβεῖν τὴν κληρονομίαν τὸ „κληρονόμους οὐκ ἔχοντες“· εἰ γὰρ ἔχουσι, παραπέμπουσιν αὐτοῖς τῆς κληρονομίας τὸ δίκαιον κατὰ μὲν τὸν νόμον οἱ κατιόντες μόνον, κατὰ δὲ τὴν πρᾶξιν καὶ οἱ ἐξωτικοί. ὁ δὲ τρίτος τρόπος δικαιότατος καὶ ἐννομώτατος καὶ καλῶς κείμενος, εἰ μόνον φυλάττεται.

τος τρόπος, ὅταν ὁ διαθέμενος θανάτῳ καταδικασθήσεται, ἢ ἐξορισθῇ, ἢ αὐτεξούσιος ὢν ἑαυτὸν εἰς υἱοθεσίαν ἑτέρῳ παράσχῃ, ἢ ὑπεξούσιος ὢν αὐτεξούσιος γένηται. δεύτερος δὲ, ὅταν δευτέρας ἐννόμου γραφείσης διαθήκης, τότε ἡ μὲν πρώτη ῥαγῇ διὰ τὴν δευτέραν, καὶ αὐτὴ δὲ ἡ δευτέρα ἀκυρωθῇ δι' αἰτίαν τῶν πεφυκότων κληρονομεῖν, τουτέστιν ὅταν ἀποτάξωνται τὴν κληρονομίαν, ἢ ὅταν προτελευτήσωσι τοῦ διαθεμένου, ἢ ὅταν μετὰ τὴν τελευτὴν τοῦ διαθεμένου πρὸ τοῦ λαβεῖν τὴν κληρονομίαν τελευτήσωσιν, ἢ ὅταν ὑπὸ αἵρεσιν γραφῶσι καὶ ἡ αἵρεσις ἀτονήσῃ. τρίτος δὲ τρόπος, ὅταν τις δίκην ἔχων πρός τινα τὸν βασιλέα κληρονόμον ποιήσῃ ἐγγράφως ἢ ἀγράφως, εἰ μὴ ἄλλως κατὰ νόμους κληρονομεῖ αὐτὸν ὁ βασιλεύς. εἰ γὰρ καὶ νόμοις οἱ βασιλεῖς οὐχ ὑπόκεινται, ἀλλ' οὖν κατὰ νόμους πολιτεύονται. τέταρτος δὲ τρόπος ἐστὶν, ὅταν ἀποσφραγίσας τὴν διαθήκην ὁ διαθέμενος εἴασεν αὐτὴν οὕτως, ἢ εἶπεν ὅτι οὐκ ἰσχύειν αὐτὴν βούλομαι [e]). τὰ γὰρ κατὰ νόμους γινόμενα [3]) ἐννόμως ἀνατρέπεσθαι δεῖ.

δ'. Αἱ δὲ ἀτελεῖς [f]) κατὰ ε' τρόπους νοοῦνται. καὶ πρῶτος τρόπος, ὅταν μὴ παρόντων ζ' ἢ ε' μαρτύρων κατὰ τὰ παρ' ἡμῶν νομοθετηθέντα γίνηται ἡ διαθήκη. δεύτερος δὲ, ὅταν παρόντων οὐ πάντες ὑπογράψωσι. τρίτος, ὅταν πάντες μὲν ὑπογράψωσιν, οὐ σφραγίσωσι δὲ πάντες. τέταρτος, ὅταν ὁ διαθέμενος οἰκείᾳ χειρὶ τὸ τοῦ κληρονόμου ὄνομα μὴ γράψας οὐδὲ μνημονεύσῃ ἐπὶ τῶν

e) Τὸ μὲν ἀποσφραγίσαι τοῦ κώδικος· τὸ δ' εἰπεῖν, ὅτι οὐκ ἰσχύειν αὐτὴν βούλεται, τῶν ἰνστιτούτων μὲν, ἀλλὰ μᾶλλον ἐπὶ τῷ μὴ ἀνατρέπειν ἐκεῖσε κείμενον. οὕτως γὰρ αὐτῷ καὶ ὁ κανὼν ἁρμόζει. δεῖ οὖν, εἰ ἔξεστιν αὐτὰ ἑνωθῆναι, τοῦτο προσθῆναι· εἰ γὰρ ἀπεσφράγισε μὲν, εἶπε δὲ οὕτως ἁπλῶς, ὅτι οὐκ ἰσχύειν αὐτὴν βούλομαι, οὐκ ἔστιν ἀνίσχυρος ἡ διαθήκη· καὶ οὕτως ἐπάγειν κατὰ νόμους.

f) Τῶν δ' ἀτελῶν ὁ μὲν πρῶτος καὶ τέταρτος τρόπος πάνυ ὑγιεῖς. ὁ δεύτερος δὲ καὶ ὁ τρίτος καὶ αὐτοὶ μὲν νόμιμοι, πλὴν ἀμφιβολίας τινας ἔχοντες. ἀπορεῖται γὰρ, εἰ ἄρα κατὰ τὴν τοῦ γράμματος ψιλὴν τοῦ νόμου διάνοιαν, εἰ μὴ πάντες ὑπογράψωσιν ἢ σφραγίσωσιν, ἀσθενήσει τὰ τῆς διαθήκης παντάπασι, καὶ ταῦτα τῶν μαρτύρων ἔτι περιόντων καὶ τότε πλειόνων, ἀλλὰ καὶ ἀξιοπίστων καὶ δυναμένων ἀγράφως ἀπαγγεῖλαι τῆς διαθήκης τὴν δύναμιν, καὶ τὸ πλέον ἡνίκα ἐν χώραις καὶ πόλεσιν ἡ διαθήκη συνέστη, καθ' ἃς ὁ νόμος ἠγνόηται, ἢ καὶ τῆς αὐτοῦ γνώσεως ἐπικρατεστέρα ἐστί τις ἄλλη συνήθεια. περὶ δὲ τοῦ πέμπτου τρόπου ἤδη προείρηται. ἀλλὰ καὶ τό· κἂν τύχῃ αὐτοὺς προτελευτῆσαι, ὑπὸ τῆς νεαρᾶς σιωπηρῶς οἶμαι ἀνῄρηται. εἰ γὰρ, ὡς ἐκείνη φησί, καὶ αὐτοὶ ζῶντες οἱ ἀμνημόνευται ἢ ἀλόγως ἀπόκληροι καὶ περὶ ταύτου ἐνάγοντες οὐχ ὅλην τὴν διαθήκην, ἀλλὰ μόνην τὴν ἔνστασιν ἀνατρέπουσι, τίς ἄρα ἕτερος πλὴν τῶν κατιόντων αὐτῶν ἐκείνων προτελευτώντων ἢ κατὰ μέρος ἢ ὅλην ἀνατρέψαι τὴν διαθήκην δυνήσεται;

3) A: προσφερόμενα ante γινόμενα habet.

μαρτύρων. πέμπτος, ὅταν αὐτεξουσίους ἢ ὑπεξουσίους υἱοὺς ἢ ἐγγόνους ἔχων τὶς τούτους οὔτε κληρονόμους οὔτε ἀποκλήρους ἐγγράψῃ, κἂν τύχῃ αὐτοὺς προτελευτῆσαι· δια τὸν κανόνα τὸν λέγοντα· τὰ ἐξ ἀρχῆς ἐν διαθήκαις ἀνυπόστατα ἐκ τῶν μετὰ ταῦτα ἐπιγινομένων ἰσχὺν λαμβάνειν οὐ δύνανται.

ΤΙΤΛΟΣ ΤΡΙΑΚΟΣΤΟΣ ΤΡΙΤΟΣ.

Περὶ τῶν ἐκ διαθήκης καὶ ἐξ ἀδιαθέτου κληρονόμων.

Κεφ. α΄. Γράφειν δυνάμεθα κληρονόμους τοῦτο μὲν ἐλευθέρους, τοῦτο δὲ οἰκέτας· καὶ οἰκέτας ἡμετέρους, ἔτι δὲ καὶ ἀλλοτρίους. ἀλλὰ [τοὺς ημετέρους οἰκέτας πάλαι μὲν κατὰ τὴν τῶν πλειόνων νομικῶν γνώμην οὐχ ἑτέρως εἰ μὴ μετὰ ἐλευθερίας γράφειν ἐξῆν, σήμερον δὲ] καὶ δίχα ἐλευθερίας ἡ τοῦ οἰκέτου ἔνστασις ἔρρωται, ἥτις καὶ χωρὶς ἐλευθερίας γραφέντας αὐτοὺς ἀκωλύτως ἐπὶ τὴν κληρονομίαν καλεῖ.

β΄. Οἱ κληρονόμοι ἢ ἔνστατοι ἢ ὑποκατάστατοι λέγονται. ἡ δὲ ὑποκατάστασις ἢ ἁπλή ἐστιν, ὡς τὸ εἰπεῖν· ἐὰν μὴ κληρονομήσῃ ὁ δεῖνα, ἔστω ὁ δεῖνα κληρονόμος· ἢ διπλῆ, οἷον· εἴτε κληρονομήσας εἴτε μὴ κληρονομήσας ὁ δεῖνα ἄνηβος ἀποθάνῃ, ἔστω κληρονόμος ὁ δεῖνα.

γ΄. Τοὺς δούλους τῶν δυναμένων γράφεσθαι κληρονόμων δυνάμεθα γράφειν κληρονόμους. ο γὰρ δοῦλος ἐκ προσώπου τοῦ δεσπότου αὐτοῦ ἔχει διαθήκης προνόμιον.

δ΄. Οὐκ ἀεί τις τὸν ἴδιον δοῦλον ἔνστατον γράφει κληρονόμον ἰσχυρῶς, ἀλλ' οὐδὲ μετὰ ἐλευθερίας, ὡς ἐπὶ τοῦ τοιούτου θέματος· ἀπέθετό τις ἀνὴρ κατηγορίαν κατὰ τῆς ἰδίας γυναικὸς, λέγων αὐτὴν ὑπὸ τοῦ ἰδίου δούλου μοιχεύεσθαι· μήπω περαιωθέντος τοῦ δικαστηρίου ἡ εἰρημένη γυνὴ τελευτῶσα τὸν εἰρημένον δοῦλον μετὰ ἐλευθερίας ἐνεστήσατο κληρονόμον. μετὰ τὴν ἐκείνης τελευτὴν ζήτησις γέγονεν, εἰ ἔρρωται τὰ τῆς ἐνστάσεως. καὶ οἱ νομικοὶ ἀντέγραψαν, τὸν οἰκέτην ἔνοχον ὄντα τῇ μοιχείᾳ οὐκ ἰσχυρῶς ἐν τῇ διαθήκῃ ἐλευθεροῦσθαι πρὸ τοῦ πέρατος τοῦ δικαστηρίου υπ' ἐκείνης αὐτοῦ τῆς δεσποίνης, ἥτις ὡς ὑποπεσοῦσα τῷ αὐτῷ ἐγκλήματι κατηγορεῖτο. ὥστε οὖν ἡ ἔνστασις ἡ ἐπὶ τῷ τοιούτῳ γενομένη δούλῳ πάσης ἰσχύος ἐστὶν ἐκτός.

ε΄. Καὶ ὁ κωφὸς καὶ ὁ ἄλαλος καλῶς ἐνίστανται κληρονόμοι.

ς΄. a) Καὶ ὁ αἰχμάλωτος διὰ τὴν ἐλπίδα τῆς ὑποστροφῆς καλῶς γράφεται κληρονόμος, καὶ ὁ δοῦλος αὐτοῦ· καὶ ἐὰν ὑποστρέψῃ, λαμβάνει τὴν κληρονομίαν.

ζ΄. b) Ἔῤῥωται ἡ ἔνστασις εἰ καὶ τὸ ὄνομα τοῦ κληρονόμου μὴ λεχθῇ, ἀλλ' ὁμολογούμενον αὐτοῦ γνώρισμα.

η΄. Οἱ κληρονόμοι δικαίου εἰσὶ διάδοχοι, καὶ ἐὰν μὴ διέλῃ εἰς αὐτοὺς ὁ διατιθέμενος, ἐξίσου καλοῦνται.

θ΄. Ἔγραψά σε κληρονόμον. εἶτα φήμης γενομένης, ὅτι ἐτελεύτησας, δευτέραν ἔγραψα διαθήκην οὕτως εἰπών· ἐπειδὴ ὃν ἤθελον οὐκ ἠδυνήθην σχεῖν κληρονόμον, ἔστω ὁ δεῖνα κληρονόμος. διὰ οὖν τὴν γνώμην μου σὺ ὁ πρῶτος γίνῃ κληρονόμος, καὶ δίδως τὰ ἐν τῇ διαθήκῃ λεγάτα, ὡσανεὶ ἐν αὐτῇ ἐγράφης.

ι΄. Μήτηρ ψευδῶς ἀκούσασα τὸν στρατιώτην αὐτῆς υἱὸν τελευτῆσαι, κληρονόμον ἄλλον ἔγραψεν. λαμβάνει τὴν κληρονομίαν ὁ υἱὸς, καὶ δίδωσι τὰ λεγάτα καὶ τὰς ἐλευθερίας.

ια΄. Εἰ πατὴρ προικίζων τὴν ἑαυτοῦ θυγατέρα συνεφώνησεν ἀρκεῖσθαι αὐτὴν τῇ δοθείσῃ ὑπὲρ αὐτῆς προικὶ, καὶ μὴ ἔχειν μέρος ἐκ τῆς αὐτοῦ κληρονομίας, οὐκ ἔῤῥωται τοῦτο τὸ σύμφωνον οὐδὲ κωλύεται κληρονομεῖν ἀδιάθετον αὐτὸν τελευτῶντα ἡ θυγάτηρ, τὴν προῖκα τοῖς ὑπεξουσίοις c) μείνασιν αὐτῆς ἀδελφοῖς συνεισφέρουσα.

ιβ΄. Ἡ προσοῦσα τοῖς παισὶν ὑπόστασις ἂν ἄδηλος ᾖ πόθεν ἐστὶν, πατρικὴ λογίζεται, οὐχὶ δὲ καὶ μητρική.

ιγ΄. Τὴν προγάμου δωρεὰν ὥσπερ τὴν προῖκα δεῖ συνεισφέρεσθαι ἀδιαθέτου τελευτῶντος τοῦ ταύτην ἐπιδεδωκότος, εἴτε πατὴρ ἐστὶν εἴτε μήτηρ ἢ τις τῶν ἀνιόντων [3]) ἢ πρὸς πατρὸς ἢ πρὸς μητρός.

ιδ΄. Οἱ κατιόντες, κἂν ἄῤῥενες κἂν θήλειαι ὦσιν, προτιμῶνται τῶν ἀνιόντων καὶ τῶν ἐκ πλαγίου εἰς τὴν ἐξ ἀδιαθέτου κληρονομίαν.

ιε΄. Ἐὰν ὁ πάππος τελευτήσῃ ἐπὶ υἱῷ καὶ ἐγγόνοις ἀπο ἄλλου παιδὸς, ὑπεισέρχονται οἱ ἔγγονοι τὸ πρόσωπον τοῦ ἰδίου γονέως,

a) Τὰ ἐν μέσῳ συμβαίνοντα τῷ κληρονόμῳ οὐ βλάπτει, οἷον ἐὰν περιορισθῇ μετὰ τὴν διαθήκην καὶ πάλιν ἀποκατασταθῇ. [1])

b) Ἀντὶ μὴ γεγραμμένων ἐστὶ τὸ καταλιμπανόμενον ἐν διαθήκῃ τοῖς ὑπευθύνοις ταῖς τιμωρίαις. [2])

c) Τὸ ὑπεξουσίοις μάτην, ὡς οἶμαι. κατὰ γὰρ τὴν νεαρὰν ὁμοίως τοῖς ὑπεξουσίοις οἱ αὐτεξούσιοι πᾶν, ὅτι προέλαβον, συνεισφέροντες ἤτοι ἐν ταῖς μοίραις αὐτῶν λογιζόμενοι, τὰς τῶν ἀδιαθέτων γονέων ὑποστάσεις κατὰ πᾶσαν ἰσότητα συμμερίζονται.

1) L. 6 §. 2 D. XXVIII, 5.
2) L. 3 D. XXXIV, 8.
3) A: ἄλλων.

καὶ αμα τῷ υἱῷ, τουτέστι τῷ ἰδίῳ θείῳ, κληρονομοῦσιν αὐτὸν, λαμβάνοντες εἴ τι ἔμελλε λαμβάνειν εἰ περιῆν ὁ πατὴρ αὐτῶν· κἂν ἄῤῥενες κἂν θήλειαι ὦσιν, εἴτε ὑπεξούσιοί εἰσιν εἴτε αὐτεξούσιοι.

ιϛʹ. Κατιόντων [d]) μὴ ὑπόντων προκαλοῦνται οἱ ἀνιόντες τῶν ἐκ πλαγίου πάντων χωρὶς τῶν ἐκ τῶν αὐτῶν γονέων φύντων ἀδελφῶν καὶ τῶν ἐκ τοιούτων ἀδελφοπαίδων· οἱ γὰρ ἀμφιθαλεῖς ἀδελφοὶ καὶ ἀδελφαὶ, καὶ οἱ ἐξ ἀμφιθαλῶν ἀδελφόπαιδες τὸ τοῦ ἰδίου γονέως ὑπεισερχόμενοι πρόσωπον, ὁμοῦ καλοῦνται μετὰ τῶν ἀνιόντων ἐξίσης· καὶ οὐδὲ προσπορίζουσι τοῖς γονεῦσιν αὐτῶν οἱ ἀδελφοὶ τὴν χρῆσιν τοῦ ἁρμόσαντος αὐτοῖς μέρους ἐκ τῆς κληρονομίας τοῦ ἰδίου ἀδελφοῦ, κἂν αὐτεξούσιος κἂν ὑπεξούσιος ἦν.

ιζʹ. Εἰ πολλοὶ τῶν ἀνιόντων περίεισι, προτιμῶνται οἱ ἐγγύτεροι τῷ βαθμῷ· τὸν αὐτὸν δὲ πάντες ἔχοντες βαθμὸν ἐξίσου κληρονομοῦσιν ὅτε ἀδελφοὶ καὶ ἀδελφόπαιδες εἰς τὴν κληρονομίαν αὐτοῖς συνεισέρχονται [e]). μόνοι γὰρ ἀνιόντες εὑρισκόμενοι τὸ μὲν

d) ση. Τοῦτο τὸ κεφάλαιον οὕτως ὂν [4]) μετεποιήθη, διὰ τὸ τὰ μὲν ἐσφάλθαι, τὰ δὲ περισσολογεῖν. πλὴν ἰστέον, ὅτι διαφέρεται ταῦτα τοῖς εἰρημένοις ἐν τῷ περὶ προγάμου δωρεᾶς τίτλῳ, νομοθετοῦσι τοὺς μὴ δευτερογαμοῦντας γονεῖς μόνους κληρονομεῖν τοὺς ἰδίους παῖδας. ἢ οὖν ταῦτα ἢ ἐκεῖνα διορθωτέον.

Κατιόντων μὴ ὑπόντων προκαλοῦνται οἱ ἀνιόντες τῶν ἐκ πλαγίου πάντων χωρὶς τῶν ἐκ τῶν αὐτῶν γονέων φύντων ἀδελφῶν. ἰστέον δὲ ὅτι ἐπὶ τῶν ἀνιόντων προτιμᾶται ὁ ἐγγύτερος τῷ βαθμῷ τοῦ μὴ πλησιάζοντος, κἂν θῆλυ πρόσωπον εἴη. εἰ γάρ εἰσι πάντες τοῦ αὐτοῦ βαθμοῦ, ὁμοῦ καλοῦνται εἰς τὴν κληρονομίαν. οἱ ἀμφιθαλεῖς ἀδελφοὶ καὶ ἀδελφαὶ καὶ οἱ ἀνιόντες ὁμοῦ καλοῦνται ἐξίσης. καὶ οὐδὲ προσπορίζουσιν τοῖς γονεῦσιν αὐτῶν οἱ ἀδελφοὶ τὴν χρῆσιν τοῦ ἁρμόσαντος αὐτοῖς μέρους ἐκ τῆς κληρονομίας τοῦ ἰδίου ἀδελφοῦ, κἂν αὐτεξούσιος κἂν ὑπεξούσιος ἦν.

Ἀνιόντων ὑπόντων τῷ τελευτήσαντι καὶ ἀδελφῶν γνησίων καὶ παίδων ἀδελφοῦ γνησίου καὶ ἀμφιθαλοῦς προτελευτήσαντος, πάντες καλοῦνται εἰς τὴν αὐτοῦ διαδοχὴν, κἂν θήλειαι κἂν ἄῤῥενες ὦσιν. οἱ γὰρ ἀδελφόπαιδες ὑπεισέρχονται τῷ τοῦ ἰδίου πατρὸς προσώπῳ καὶ λαμβάνουσιν εἴτι ἔμελλε λαμβάνειν εἰ περιῆν ὁ πατὴρ αὐτῶν.

Ταῦτα πάντα ἐνὶ κεφαλαίῳ σχεδὸν περιεσχέθη.

e) Ἠπόρησέ τις τοῦτο πῶς βουλόμενος ὁ νόμος τοὺς γονεῖς ἐξ ἀνάγκης ἐκ τῶν ἀτέκνων αὐτῶν τελευτώντων παίδων λαμβάνειν τὸ φαλκίδιον ἤτοι τὸ τρίτον τῆς καθαρᾶς ὑποστάσεως, ὥσπερ ἐπιλαθόμενος ἑαυτοῦ συνεισήγαγεν αὐτοῖς ἀδιορίστως εἰς τὴν ἐξ ἀδιαθέτου τῶν παίδων κληρονομίαν ἀδελφοὺς καὶ ἀδελφόπαιδας, ὥστε εἰ συμβῇ τρεῖς ἢ καὶ πλείονας εἶναι τοὺς ἀδελφοὺς, οὐ τὸ τρίτον ὁ πατὴρ ἀλλὰ τὸ τέταρτον ἢ καὶ τυχὸν τὸ πέμπτον ἢ καὶ δέκατον

4) Scilicet ut in fine scholii adscriptum est. Haec autem capita in fine adjecta sunt ex Prochiro XXX, 5. 6. 7 sive ex Theodori Summa Nov. 118 §. 4. 5 et Nov. 127 §. 1.

ἥμισυ f) πάντες οἱ πρὸς πατρὸς, τὸ δὲ ἄλλο ἥμισυ πάντες οἱ πρὸς μητρὸς κληρονομοῦσιν, ἴσον ἔχοντες βαθμὸν δηλονότι.

ιη΄. Εἰ g) καὶ οἱ παῖδες τοῦ τελευτῶντος ὑπεξουσίου προτιμῶνται τοῦ ἑαυτῶν πάππου καὶ τὸν ἴδιον πατέρα κληρονομοῦσιν, ἀλλ' οὖν προσπορίζουσι τῷ πάππῳ μέχρι περίεστι τὴν χρῆσιν τῶν πραγμάτων ἐκείνων, ἃ καὶ ὁ πατὴρ αὐτῶν, εἰ ἔζη, νομίμως τῷ πατρὶ προσεπόριζεν.

ιθ΄. Οἱ ἐκ τῶν αὐτῶν γονέων φύντες ἀδελφοὶ πρώτην ἔχουσι τάξιν εἰς τὸ κληρονομῆσαι τὸν ἴδιον ἀδελφὸν, ἄλλων ἀδελφῶν προκειμένων μὴ ὄντων ἀμφιθαλῶν. καὶ h) εἰ ὕπεισι παῖδες ἑτέρου αὐτῶν ἀδελφοῦ ὁμοπατρίου καὶ ὁμομητρίου, κἀκεῖνοι ὁμοῦ καλοῦνται, τουτέστιν οἱ ἀδελφοὶ καὶ οἱ παῖδες τοῦ ἀμφιθαλοῦς ἀδελφοῦ, εἰς τὰ τοῦ τελευτῶντος [αὐτῶν] [7]) μὲν ἀδελφοῦ, ἐκείνων δὲ θείου. εἰ δὲ μὴ ὕπεισιν ἀδελφοὶ ἢ παῖδες ἀδελφῶν τοιούτων δηλονότι, τότε οἱ ἐκ διαφόρων γονέων φύντες ἀδελφοὶ σὺν τοῖς ἐκ τοιούτων ἀδελφόπαισι i) κληρονομοῦσι τὸν ἀποθανόντα ἀδελφόν.

κ΄. Ἐάν τις τελευτήσῃ ἐπὶ ἀδελφῷ ἐκ διαφόρων γονέων ὑπάρχοντι καὶ ἐπὶ υἱοῖς ἀδελφοῦ ὁμοπατρίου καὶ ὁμομητρίου, οἱ τεκνάδελφοι προτιμῶνται τοῦ ἀδελφοῦ εἰς τὴν κληρονομίαν αὐτοῦ, ὥσπερ καὶ οἱ ἀπὸ τῶν αὐτῶν γονέων ἀδελφοὶ k) προτιμῶνται τῶν ἐκ διαφόρων γονέων ἀδελφοπαίδων.

κα΄. Ἀδελφοῦ μὴ ὑπόντος μήτε ἀδελφόπαιδος l) οἱ λοιποὶ ἐκ

λήψεται. ἢ οὖν λέληθεν τὸν νομοθέτην, εἰ μὴ τολμηρὸν εἰπεῖν, καὶ ἐστὶν ἐναντία τὰ νόμιμα καὶ δέονταί τινος διορθώσεως, ἢ δεῖ νοεῖν, εἰ καὶ μὴ τοῦτο τὰ ῥητὰ ὑπεμφαίνουσιν, ὅτι μετὰ τὴν ὑπεξαίρεσιν τοῦ φαλκιδίου, ὡς ἁρμόζει τοῖς γονεῦσι, συνεισέρχονται αὐτοῖς εἰς τὴν τῆς λοιπῆς ὑποστάσεως τοῦ παιδὸς κληρονομίαν οἵ τε ἀδελφοὶ καὶ ἀδελφόπαιδες.

f) Τὸ περὶ τοῦ ἡμίσεως ἐν μὲν τῇ νεαρᾷ κείμενον, ἐν δὲ τῷ ἄλλῳ παραλειφθὲν προσετέθη· καὶ ἡ ἀρχὴ τοῦ κεφαλαίου μεταποιηθεῖσά ἐστιν. [5])

g) Καὶ τοῦτο οὕτως ὂν μετεποιήθη· ἐὰν εἷς τῶν παίδων κληρονομήσῃ τοῦ ἰδίου γονέως, προσπορίζεται τῷ ἑαυτοῦ πάππῳ τὴν χρῆσιν τῶν προσπορισθέντων. [6])

h) πλὴν ἦν ἐν τῷ ἄλλῳ.

i) Περὶ τῶν ἐξ ἑτεροθαλῶν ἀδελφοπαίδων ἐσιώπησεν ἡ νεαρὰ καὶ ὁ ἄλλος. ἀλλὰ μήποτε καὶ οὗτοι ἀναλόγως τοῖς ἄλλοις μετὰ τὰ τῶν ἑτεραδέλφων [8]) κληρονομήσωσιν.

k) θεῖοι ἦν ἐν τῷ ἄλλῳ.

l) Ἀπορία τις ἐντεῦθεν φύεται, ἡνίκα οὔτε ἀνιόντες εἰσὶν οὔτε ἀδελφοὶ, ἀλλὰ μόνον ἀδελφόπαιδες ἐκ πλειόνων ἀμφιθαλῶν μόνον ἢ ἑτεροθαλῶν ἀδελφῶν εὑρεθῶσι, ε̅ μὲν τυχὸν ἢ δ̅ ἐξ ἑνὸς, εἰς δὲ ἢ β̅ ἐκ τοῦ ἑτέρου. πῶς ἄρα

5) A: μεταποιηθέντες.
6) Theod. Nov. 118 §. 2 sive Proch. XXX, 3.
7) A non habet.
8) An ἑτεροθαλῶν ἀδελφῶν.

πλαγίου συγγενεῖς καλοῦνται, οἱ τῷ βαθμῷ μέντοιγε ὄντες ἐγγύτεροι. καὶ εἰ εὑρεθῶσι πολλοὶ τοῦ βαθμοῦ ὑπάρχοντες, ἐξίσης κληρονομοῦσιν.

κβ΄. Ἡνίκα τελευτήσῃ ἀνὴρ ἢ γαμετὴ ἀδιάθετοι καὶ μηδένα ἐκ τῶν ἀνιόντων ἢ κατιόντων ἢ τῶν ἐκ πλαγίου ἔννομον ἢ φυσικὸν σχοίησαν διάδοχον, τότε ὁ ἀνὴρ εἰς τὴν τῆς γυναικὸς καλείσθω ἐξ ὁλοκλήρου κληρονομίαν, καὶ ἡ γυνὴ τὸν ἄνδρα διαδεχέσθω.

κγ΄. Ἀλληλοκληρονομία οὐκ ἔγνωσται νόμῳ, διὸ οὐκ ἰσχύει κἂν ἐπεσιωπήθη μέχρι θανάτου, εἰ μὴ ἄρα [διὰ] διαθήκης ἐπεκυρώθη ἐν τῷ θανάτῳ. ἐπὶ μέντοι στρατιωτῶν καὶ ἁπλῶς αἱ ἀλληλοκληρονομίαι ἰσχύουσιν.

κδ΄. Οὔτε γυνὴ οὔτε εὐνοῦχος δύναται υἱοθετεῖν, οὐδὲ κληρονομοῦσιν τοὺς υἱοποιησαμένους τοιούτους ὄντας οἱ υἱοθετηθέντες.

κληρονομήσουσι τὰ τῶν ἰδίων γονέων ὑπεισερχόμενοι πρόσωπα; καὶ ὡς φασιν οἱ νόμοι ἰνστίρπες ἤτοι κατὰ σειρὰν κληρονομοῦντες, ἢ μᾶλλον ἰν κάπιτα ἤτοι προσωπικῶς τὸν κλῆρον διαμερίζονται; καὶ τοῖς πλείοσι μέν, σχεδὸν δὲ καὶ τοῖς πᾶσι τὸ προσωπικὸν μᾶλλον δοκεῖ, ἐπεὶ τὸ ὅλον παρὰ τῇ νεαρᾷ σεσιώπηται. ἐγὼ δὲ καὶ αὐτὴν τὴν νεαρὰν τὸ κατὰ σειρὰν ἐμφαίνειν ὑπολαμβάνω. ἔχει γὰρ οὕτως· „εἰ δὲ μήτε ἀδελφοὺς μήτε παῖδας ἀδελφῶν ὡς εἰρήκαμεν ὁ τελευτήσας καταλείψει, πάντας τοὺς ἐφεξῆς ἐκ πλαγίου συγγενεῖς πρὸς τὴν κληρονομίαν καλοῦμεν κατὰ τὴν ἑνὸς ἑκάστου βαθμοῦ προτίμησιν, ἵνα οἱ ἐγγύτεροι τῷ βαθμῷ αὐτοὶ τῶν λοιπῶν προτιμῶνται, εἰ δὲ πολλοὶ τοῦ αὐτοῦ βαθμοῦ εὑρεθῶσι, κατὰ τὸν τῶν προσώπων ἀριθμὸν μεταξὺ αὐτῶν ἡ κληρονομία διαιρεθήσεται, ὅπερ ἰν κάπιτα οἱ ἡμέτεροι λέγουσι νόμοι.“ ἔστι δὲ καί τι πρὸς τοῦτο ῥητὸν ἔχον οὕτως· „ὁπότε τοίνυν τοῖς τοῦ ἀδελφοῦ καὶ τῆς ἀδελφῆς παισὶ τοιοῦτο προνόμιον δεδώκαμεν, ἵνα τὸν τῶν γονέων ὑπεισιόντες τόπον μόνοι τρίτοι ὄντες βαθμοῦ μετὰ τῶν ἐκ δευτέρου καὶ πρώτου βαθμοῦ πρὸς τὴν κληρονομίαν καλοῦνται, ἐκεῖνο πρόδηλόν ἐστιν, ὅτι τῶν θείων τοῦ τελευτήσαντος ἀῤῥένων τε καὶ θηλειῶν, εἴτε πρὸς πατρὸς εἴτε πρὸς μητρὸς εἴησαν, προτιμῶνται, εἰ καὶ ἐκεῖνοι τρίτου ὁμοίως συγγενείας βαθμὸν ἔχοιεν.“ εἰ οὖν ἐδόκει τῷ νομοθέτῃ τότε μόνον κατὰ σειρὰν κληρονομεῖν τοὺς ἀδελφόπαιδας, ἡνίκα τοῖς ἀνιοῦσι καὶ τοῖς ἀδελφοῖς συνεισέρχονται, εἰπὼν „μηδὲ ἀδελφοί,“ εἰρήκει ἂν „καὶ παῖδες ἀδελφῶν.“ διὰ γὰρ τοῦ· „μήτε παῖδες ἀδελφῶν,“ ὑπέθετο αὐτοὺς οἶμαι καὶ χωρὶς ἀδελφῶν κατὰ σειρὰν κληρονομοῦντας. τὸ γὰρ „ὡς εἰρήκαμεν“ ἡγοῦμαι κατὰ κοινοῦ καὶ οὐ διὰ μόνους εἰρῆσθαι τοὺς ἀδελφόπαιδας, ἀλλὰ καὶ τὸ „πάντας ἐφεξῆς τοὺς ἐκ πλαγίου συγγενεῖς“ ὡς οἶμαι ἀεὶ τῶν ἄλλων τοὺς ἀδελφόπαιδας διεχώρισε. καὶ ταῦτα μὲν ὅσον ἐκ τοῦ ῥητοῦ· ἐξ ἀναλογίας δὲ πού δίκαιον ἂν εἴη τοὺς τοιοῦτο λαβόντας προνόμιον, ἵνα καὶ πρὸς ἀνιόντας καὶ πρὸς ἀδελφοὺς καὶ θείους κρινόμενοι τῶν μὲν προτιμῶνται, τοῖς δὲ συνεισέρχονται, τοῦτο καὶ [9]) πρὸς ἑαυτοὺς φυλάττοιεν, ἀλλ' ἑτέρους κανόνας ἄλλης ἀναλογίας ἐν τοῖς πρὸς ἀλλήλους μόνους ἐπιζητοῖεν αὐτοὶ παραθέσεσιν.

9) Malim μή.

ἀλλ' οὐδὲ νεώτερος τὸν πρεσβύτερον δύναται υἱοθετεῖν, ἀλλ' οὐδὲ ὁ παῖδας ἔχων τὸν ἴδιον ἀπελεύθερον. γυνὴ μέντοι παίδων αὐτῇ πλειόνων τελευτησάντων ἀτεκνωθεῖσα καὶ περὶ τούτου τοῦ βασιλέως δεηθεῖσα διὰ τῆς αὐτοῦ κατανεύσεως δύναται υἱοθετεῖν [m]).

m) Ἐκ τοῦ ἐ βι. τοῦ κώδ. τί. κζ' κεφ. γ' κατὰ τὸ κρατοῦν ἔθος.[10]) ὅτι ἔχων γνησίους παῖδας οὐ δύναται ἐᾶσαι τοῖς φυσικοῖς αὐτοῦ ἐν τῇ διαθήκῃ εἰ μὴ μίαν οὐγκίαν σὺν τῇ μητρὶ αὐτῶν. εἰ δὲ γνησίους παῖδας οὐκ ἔχει, δύναται καταλιπεῖν τοῖς φυσικοῖς υἱοῖς αὐτοῦ καὶ τὸ πᾶν τῆς αὐτοῦ περιουσίας, ἔνθα μέντοιγε οὐχ ὕπεισιν αὐτῷ ἀναγκαῖα πρόσωπα, οἷον ἢ γονεῖς ἢ ἀδελφός· τούτων [11]) ὑπόντων οὐ δύναται περαιτέρω τῶν ς' οὐγκιῶν ἐᾶσαι τοῖς φυσικοῖς αὐτοῦ τέκνοις, κἂν οὐκ ἔχει γνησίους υἱούς. εἰ δὲ ἐξ ἀδιαθέτου τελευτήσει ὁ ἔχων γνησίους παῖδας, οὐ δύνανται οἱ φυσικοὶ υἱοὶ λαμβάνειν τὶ πλέον τοῦ ἡμισυουγκίου· εἰ δὲ υἱοὺς γνησίους οὐκ εἴασε, τότε β̄ οὐγκίας λήψονται τὰ φυσικὰ τέκνα, ἐὰν πάλιν μὴ ὕπεισι τῷ τελευτήσαντι ἀναγκαῖά τινα πρόσωπα καὶ ὀφείλει τὰ αὐτὰ διαδέχεσθαι, μήτε νομίμη γαμετὴ ὑπῇ· τότε γὰρ ἑνὸς τῶν εἰρημένων προσώπων ὑπόντος ἡμιούγκιον λαμβάνουσι καὶ ἐξ ἀδιαθέτου οἱ φυσικοὶ παῖδες, κἂν γνήσιοι μὴ ὕπεισιν. ἀνάγνωθι τὴν οδ̄ καὶ τὴν πθ' νεαρὰν καὶ μαθήσῃ περὶ τούτου.

Ὁ [12]) ἔχων νόθους παῖδας, εἴπερ ἔχει καὶ γνησίους, οὐ δύναται αὐτοῖς τοῖς νόθοις ἐν διαθήκῃ πλέον τῆς μιᾶς οὐγκίας ἅμα τῇ μητρὶ αὐτῶν ἐᾶσαι. εἰ δὲ οὐκ ἔχει νόθους παῖδας, ἀλλὰ παλλακὴν μόνην, τὸ ἡμιούγκιον καταλιμπάνει. εἰ δὲ γνησίους παῖδας οὐκ ἔχει, ἀλλὰ νόθους μόνον, τότε καλῶς γράφει αὐτοὺς κληρονόμους καὶ εἰς πᾶσαν τὴν οὐσίαν αὐτοῦ ἐν τῇ ἰδίᾳ διαθήκῃ, εἰ μὴ ἔχει ἀνιόντας· τούτοις γὰρ ὀφείλει φυλάξαι τὸ νόμιμον, τὸ δὲ λοιπὸν τῆς αὐτοῦ ὑποστάσεως δύναται καταλιπεῖν αὐτοῖς τοῖς νόθοις αὐτοῦ υἱοῖς.

ΤΙΤΛΟΣ ΤΡΙΑΚΟΣΤΟΣ ΤΕΤΑΡΤΟΣ.

Περὶ φαλκιδίου καὶ ἀποκλήρων.

Κεφ. α'. Φαλκίδιός [a]) ἐστιν ἄχρι μὲν δ̄ παίδων τὸ τρίτον μέρος τῆς καθαρᾶς ὑποστάσεως· πλειόνων δὲ ὄντων παίδων τὸ

a) Φαλκιδίου γνῶσις σύντομος. εἷς παῖς λαμβάνει τὸ τρίτον τῆς καθαρᾶς ὑποστάσεως, ὑπεξαιρουμένων τῶν χρεῶν, τῆς ταφῆς, τῆς κηδείας, τῶν ἐλευθεριῶν. εἰ δὲ δύο εἰσὶ παῖδες, λαμβάνει ὁ φαλκιδιούμενος τὸ ἕκτον ἤγουν τοῦ τρίτου τὸ ἥμισυ. εἰ δὲ τρεῖς τὸ ἔννατον. εἰ δὲ τέσσαρες τὸ ιβ'. ἀπὸ δὲ τῶν ε̄ ὅσοι ὦσιν οἱ παῖδες, ἐκ ταύτης τῆς ὑποστάσεως μίαν μόνην μοῖραν λαμβάνει ὁ φαλκιδιούμενος. τὰ εἰς ταφὴν δαπανώμενα ὡς χρέος ὑπεξαιροῦνται, οὐ μὴν τὰ εἰς ποίησιν μνημείου· ταῦτα γὰρ καὶ ὑπόκεινται ἐν τῷ φαλκιδίῳ, καὶ ᾧτινι λεγατευθῶσι, οὐ συγχωρεῖται δαπανᾶν πλέον τοῦ συμμέτρου μνημείου.

10) Haec aut verba legis cuiusdam aut cum sequentibus jungenda sunt, ut ὁ pro ὅτι legatur.

11) A: τουτοί.

12) Theod. Nov. 89 §. 20.

ἥμισυ. ἐν τούτῳ οὖν τῷ εἰρημένῳ τρίτῳ ἢ ἡμίσει μέρει ὑπεισέρχονται ὅσοι ἂν ὁρισθῶσι πρὸς φαλκίδιον μετὰ τῶν τὴν λοιπὴν ὑπόστασιν κατὰ τελευταίαν διάταξιν κληρονομούντων.

β΄. Ἐπὶ τοῦ φαλκιδίου δεῖ ἐξαιρεθῆναι τὰ ἐποφληθέντα ὑπὸ τοῦ τελευτήσαντος, καὶ τὴν περὶ τὴν κηδείαν δαπάνην, καὶ τὰ τιμήματα τῶν ἐλευθερωθέντων οἰκετῶν, καὶ λοιπὸν τὸ ὑπόλοιπον σκοπεῖν, ὁπόσον ἐστίν. τοῦτο γὰρ νομίζεται εἶναι καθαρὰ οὐσία, καὶ ταύτης τὸ τρίτον ἢ τὸ ἥμισυ παρακατέχεται.

γ΄. Εἴ τις δωρεὰν ἄμετρον εἴς τινα ἢ τινας τῶν παίδων ποιήσαιτο, ἀνάγκην ἔχει ἐν τῇ διανομῇ τοῦ κλήρου τοσοῦτον ἑκάστῳ τῶν παίδων φυλάττειν τὸ ἐκ τοῦ νόμου μέρος, ὅσον ἦν πρὶν τὴν δωρεὰν ὁ πατὴρ εἰς τοὺς παῖδας τοὺς ταύτῃ τετιμημένους ποιήσαιτο. οὕτω γὰρ οὐδὲν ἔτι ταῖς δωρεαῖς ἐγκαλέσουσιν, ἔχοντες μὲν ἐπὶ πάσῃ τῇ οὐσίᾳ τοῦ πατρὸς τὸ ἀπὸ τῶν νόμων, κατὰ τοσοῦτον δὲ ἀντεξομένου τοῦ τοιούτου μέτρου καθόσον καὶ τὰ πράγματα εἶχε τοῦ πατρὸς πρὶν ταῖς δωρεαῖς ἐξαντληθείη. οὐ δυναμένων τῶν ταῖς δωρεαῖς τετιμημένων παίδων φάσκειν, ἀρκεῖσθαι μὲν ταῖς ἀμέτροις ταύταις δωρεαῖς, δοκεῖν δὲ ἀφίστασθαι τοῦ πατρῴου κλήρου· ἀλλ' οὐκ ἀναγκαζομένων μέν, εἰ ἀρκοῦνται ταῖς δωρεαῖς, καταδέχεσθαι τὸν κλῆρον, ἀνάγκην δὲ ἐχόντων πᾶσι τρόποις ἐπανισοῦν τοῖς ἀδελφοῖς τὸ ἐντεῦθεν διαφέρον καθόσον εἰρήκαμεν μέτρον, ὥστε μὴ ἔλαττον αὐτοὺς ἔχειν τοῦ ἐκ νόμων αὐτοῖς ὀφειλομένου διὰ τὴν γενομένην ἐπὶ ταῖς δωρεαῖς ἀμετρίαν· ὅπουγε ἔξεστι τῷ πατρί, μέτρια φρονήσαντι περὶ τὴν πᾶσαν γονὴν, καὶ τοῖς παρ αὐτοῦ μᾶλλον ἀγαπωμένοις χαρίσασθαί τι πλέον, καὶ μὴ τοὺς λοιποὺς παῖδας διὰ τῆς εἰς ἐκείνους γενομένης ἀμετρίας βλάψαι, καὶ τὸν ἡμέτερον παραβῆναι σκοπόν. ταῦτα μέντοι φαμὲν περὶ παίδων κεχαρισμένων τοῖς γονεῦσιν, οὐ μὴν περὶ τῶν ἀγνωμόνων καὶ οἷς ὁ πατὴρ δικαίαν τε καὶ νόμιμον ἀχαριστίαν ἐπάγει. εἰ γὰρ τοῦτο οὕτως ἔχον φανείη, καὶ ἀποδειχθείησαν αἱ τῆς ἀχαριστίας αἰτίαι, ἔστω τὰ τῶν νόμων τῶν ἐπὶ τοῖς ἀχαρίστοις κειμένων κύρια, οὐδὲν ἐκ τῆσδε ἡμῶν τῆς νομοθεσίας ἐλαττούμενα. αἰτίαι δὲ ἀχαριστίας αὗται.

δ΄. Εἴ τις τοῖς ἰδίοις γονεῦσι χεῖρας ἐπιβάλοι, ἢ βαρεῖαν καὶ ἀπρεπῆ αὐτοῖς ὕβριν ἐπαγάγοι, ἢ ἐπὶ ἐγκληματικαῖς αἰτίαις αὐτῶν κατηγορήσει ταῖς μὴ οὔσαις κατὰ βασιλέως ἢ πολιτείας, ἢ μετὰ φαρμακῶν ὡς φαρμακὸς συναναστρέφεται, ἢ τῇ ζωῇ τῶν ἰδίων γονέων διὰ φαρμακείας ἢ ἄλλῳ τρόπῳ ἐπιβουλεῦσαι πειραθείη· ἢ τῇ ἰδίᾳ μητρυιᾷ ἢ τῇ τοῦ πατρὸς παλλακῇ συμπλοκῇ· ἢ συκοφαντήσει τοὺς γονεῖς καὶ [διὰ] τῆς ἰδίας καταμηνύσεως βαρείας αὐτοὺς ζημίας ὑπομεῖναι παρασκευάσει· ἢ[b]) ἐν ἀσθενείᾳ

b) Εὐσεβὴς αὕτη ἡ αἰτία κἂν ἐν τῇ νεαρᾷ οὐ κεῖται.

χρονίᾳ κατακειμένων αὐτῶν ἢ ἐν γήρει[1]) καὶ ἀδυναμίᾳ καταντησάντων ἀμελήσειαν καὶ μετακαλούμενοι παρὰ τῶν γονέων μὴ βουληϑεῖεν ἐπιμελείας αὐτοὺς ἀξιῶσαι· ἢ εἰ συμβῇ τινα τῶν εἰρημένων γονέων ἐγκεκλεῖσϑαι, οἱ δὲ παῖδες οἱ δυνάμενοι ἐξ ἀδιαϑέτου εἰς τὴν τούτου διαδοχὴν ἐλϑεῖν αἰτηϑέντες ἤγουν ὁ εἷς ἐξ αὐτῶν μὴ βουληϑεῖεν εἰς τὴν ἑαυτῶν ἐγγύην τοῦτον ἀναδέξασϑαι ἢ ὑπὲρ προσώπου ἢ τοῦ χρέους, εἰς ὅσον ἐπιτήδειος εἶναι ὁ αἰτούμενος ἀποδείκνυται· τοῦτο μέντοι ὅπερ ἐπὶ τῆς ἐγγύης ἐϑεσπίσαμεν εἰς τοὺς ἄῤῥενας καὶ μόνον ἀνήκειν παῖδας βουλόμεϑα. ἢ [c]) εἰ ἐλεγχϑείη τὶς τῶν παίδων, ὅτι ἐκώλυσε τοὺς ἰδίους γονεῖς διαϑήκην ποιήσασϑαι· καὶ γὰρ εἰ ὕστερον δυνηϑεῖεν διαϑέσϑαι, ἄδειαν ἔχουσιν ὑπὲρ τῆς τοιαύτης αἰτίας τὸν παῖδα ἄκληρον ποιεῖν· εἰ δὲ ἐν αὐτῇ τῇ κωλύσει ὁ κωλυϑεὶς γονεὺς ἐτελεύτησε, καὶ ἄλλοι δέ τινες ἐξ ἀδιαϑέτου εἰς τὴν τοῦ τελευτήσαντος κληρονομίαν καλούμενοι ἢ σὺν αὐτῷ τῷ κωλύσαντι τὴν διαϑήκην ἢ μετ' αὐτὸν, εἴτε οὓς κληρονόμους ἢ λεγαταρίους ἔχειν ἠβούλετο, εἴτε οἱ βλάβην τινὰ ἐκ τῆς κωλύσεως τῆς διαϑήκης ὑπομείναντες, εἰ οὖν τινες τῶν εἰρημένων τοῦτο διαπεπραχότα ἀποδείξαιεν, καὶ οὕτως ἀπόκληρος ὁ παῖς ἔστω· οὐ μόνον δὲ ἀλλὰ καὶ εἰ παραγνώμην τῶν γονέων μίμοις ἑαυτὸν ὁ υἱὸς ἐγκαταλέξοι καὶ ἐν τούτῳ τῷ ἐπιτηδεύματι διαμένοι, εἰ μὴ τυχὸν καὶ οἱ γονεῖς τῆς τοιαύτης ἐπιτηδεύσεως γεγόνασιν. ἢ εἴ τινι ἐκ τῶν εἰρημένων γονέων βουλομένῳ τῇ ἰδίᾳ ϑυγατρὶ ἢ ἐγγόνῃ ἄνδρα δοῦναι καὶ προῖκα κατὰ τὴν δύναμιν τῆς ἰδίας περιουσίας ὑπὲρ αὐτῆς παρασχεῖν μὴ συναινέσῃ, ἀλλ' αἰσχρὸν βίον διάγειν ἐπιλέξηται, καὶ αὕτη εὐλόγως ἀπόκληρος γίνεται. εἰ μέντοιγε μέχρι κε ἐνιαυτῶν ἡλικίας φϑάσῃ ἡ ϑυγάτηρ, καὶ οἱ γονεῖς ὑπερϑῶνται ταύτην ἀνδρὶ συνάψαι, καὶ ἴσως ἐκ τούτου συμβαίη εἰς τὸ ἑαυτῆς σῶμα ταύτην ἁμαρτῆσαι ἢ δίχα συναινέσεως τῶν γονέων [d]) ἀνδρὶ ἑαυτὴν, ἐλευϑέρῳ μέντοι, συζεῦξαι, τοῦτο εἰς ἀχαριστίαν τῇ ϑυγατρὶ λογίζεσϑαι οὐ βουλόμεϑα, ἐπειδὴ οὐ τῇ ἑαυτῆς ἀλλὰ τῇ τῶν γονέων αἰτίᾳ τοῦτο γινώσκεται πλημμελήσασα.

c) Ὁ κωλύων τινὰ διαϑέσϑαι κατὰ μὲν τὴν ρλδ νεαρὰν, ἄρχων ὑπάρχων, καὶ τὴν ζημίαν δίδωσι τοῖς ἐκ τοῦ μὴ γενέσϑαι τὴν διαϑήκην ζημιωϑεῖσι, καὶ τῆς ζώνης ἐκπίπτει καὶ ἐξορίζεται· κατὰ δὲ τὸν κώδικα δυνάμενος ἐξ ἀδιαϑέτου κληρονομεῖν οὐδὲν λαμβάνει, τὸ δὲ αὐτοῦ μέρος φισκοῦται, καὶ τὴν ζημίαν δίδωσι διπλῆν καὶ ἐξορίζεται.

d) Σχόλιον. Τοῦτο ἐκαινίσϑη ὑπὸ τοῦ ἡμετέρου εὐσεβοῦς βασιλέως[2]) εἰς τὸ μὴ ἑαυτὴν ἐπιῤῥίπτειν ᾧτινι βούλεται, κἂν ὑπερβῇ ἡ ϑυγάτηρ τοῦτον τὸν χρόνον, ἀλλὰ προσιέναι καὶ ἀναγγέλλειν περὶ τούτου τοῖς ἄρχουσιν.

1) A: γύρει.

2) Cf. Proch. Tit. IV c. 24.

ε'. Εἴ τις ἐκ τῶν εἰρημένων γονέων μανῇ, καὶ οἱ παῖδες αὐτοῦ ἤ τινες ἐξ αὐτῶν, ἢ παίδων αὐτῷ μὴ ὑπόντων οἱ ἄλλοι αὐτοῦ συγγενεῖς οἱ ἐξ ἀδιαθέτου εἰς τὸν αὐτοῦ κλῆρον καλούμενοι, ὑπηρεσίαν καὶ φροντίδα προσήκουσαν αὐτῷ μὴ παράσχοιεν, εἰ μὲν τῆς τοιαύτης ἀπαλλαγείη νόσου, ἔσται αὐτῷ ἄδεια πότερον βούλεται τὸν παῖδα ἢ τοὺς παῖδας ἢ συγγενεῖς τοὺς ἠμεληκότας ἀχάριστον ἢ ἀχαρίστους ἐν τῇ ἰδίᾳ γράψαι διαθήκῃ. εἰ δὲ ἐν τῇ νόσῳ τῆς μανίας αὐτὸν κατεχόμενον ἐξωτικός τις ἴδοι ὑπὸ τῶν ἰδίων ἀμελούμενον παίδων ἢ συγγενῶν ἢ ὑπὸ ἄλλων ὑπ' αὐτοῦ γεγραμμένων κληρονόμων, καὶ διὰ συμπάθειαν βουληθείη αὐτοῦ φροντίσαι, δίδομεν αὐτῷ ἄδειαν διαμαρτυρίαν τοῖς ἐξ ἀδιαθέτου ἢ ἀπὸ διαθήκης ἤδη γεγενημένης εἰς τὸν τοῦ μεμηνότος κλῆρον καλουμένοις ἔγγραφον στέλλειν, ὥστε σπουδάζειν αὐτοὺς τούτου φροντίζειν. εἰ δέ γε καὶ μετὰ τὴν τοιαύτην διαμαρτυρίαν ἀμελήσειαν, καὶ ὁ ἐξωτικὸς ἐν τῷ αὐτοῦ οἴκῳ τὸν μεμηνότα ὑποδεξάμενος δαπανήμασιν οἰκείοις ἄχρι τῆς τελευτῆς αὐτοῦ φροντίσει, κἂν τὰ μάλιστα ἐξωτικὸς εἴη, τοῦτον εἰς τὴν τούτου διαδοχὴν ἔρχεσθαι θεσπίζομεν, ἀνατρεπομένης τῆς αὐτῶν ἐνστάσεως ἅτε δὴ ἀναξίων ὄντων κληρονομεῖν τὸν μανέντα παντελῶς ὡς ξένον ὑπεριδόντων [3]) καὶ ἀλλότριον· οὕτω μέντοι, ὥστε τὰ λοιπὰ τῆς διαθήκης κεφάλαια ἐν τῇ ἰδίᾳ μένειν ἰσχύϊ. καὶ ἐὰν δὲ ἕνα τῶν προλεχθέντων γονέων ἐν αἰχμαλωσίᾳ κρατεῖσθαι συμβαίη, καὶ οἱ τούτου παῖδες εἴτε πάντες εἴτε εἷς μὴ σπουδάσαιεν τοῦτον ἀναῤῥύσασθαι, εἰ μὲν δυνηθείη οὗτος τὴν αἰχμαλωσίαν ἐκφυγεῖν, ἐν τῇ αὐτοῦ εἶναι ἐξουσίᾳ πότερον ταύτην ἀχαριστίας αἰτίαν τῇ ἰδίᾳ βούλοιτο ἐγγράψαι διαθήκῃ ἢ μή. εἰ δὲ διὰ τῆς τῶν παίδων ἀμελείας καὶ καταφρονήσεως ἐν αἰχμαλωσίᾳ τελευτήσαι, ἐκείνους εἰς τὴν αὐτοῦ διαδοχὴν ἐλθεῖν οὐκ ἀνεχόμεθα, οἵτινες ὑπὲρ τῆς ἀναῤῥύσεως αὐτοῦ οὐκ ἐσπούδασαν. πάντων δὲ τῶν παίδων ὁμοίως ἀγνωμονησάντων, πάντα τὰ πράγματα ὧν ἂν κληρονόμοι ἐγίνοντο, εἰ ἐσπούδασαν ὑπὲρ τῆς τῶν γονέων ἀναῤῥύσεως, τῇ ἐκκλησίᾳ τῆς πόλεως, ἐξ ἧς ὡρμᾶτο, ἀνατιθέσθω· καταγραφῆς δηλαδὴ ἐπὶ δημοσίου ἐκμαρτυρίου γενομένης, ὥστε μηδὲν ἐκ τῆς αὐτοῦ περιουσίας παραπολέσθαι, ἐφ' ᾧ πᾶν, ὅπερ ἐντεῦθεν εἰς τὴν ἐκκλησίαν περιέλθοι, εἰς αἰχμαλώτων ἀνάῤῥυσιν προχωρεῖν. ἀλλὰ ταῦτα μὲν ὅσον ἐπὶ τοῖς προσώποις εἴρηται, ἃ τοῦ [4]) κλήρου ἐκκηρύττεται, οὗ ἂν μάλιστα ἐγνωρίζοντο κύριοι, εἰ μὴ τὴν ἀχαριστίαν τῆς εὐγνωμοσύνης προυτίμησαν. πρόφασιν δὲ ἡμῖν πρὸς τὸ γενικὸν θέσθαι νόμον ἡ παροῦσα ὑπόθεσις δέδωκεν. καὶ διὰ τοῦτο γενικῶς κελεύομεν, ὡς εἰ ἐκεῖνος ὁ ἐν αἰχμαλωσίᾳ

3) A: ὑπερίδον. 4) A: αὐτοῦ pro ἃ τοῦ.

ληφθεὶς παῖδας μὲν μὴ ἔχοι, τῶν ἄλλων δὲ τῶν εἰς τὴν τούτου κληρονομίαν ἐξ ἀδιαθέτου καλουμένων ἀναῤῥύσασθαι αὐτὸν μὴ σπουδαζόντων, ἀλλ' ἐν τῇ αἰχμαλωσίᾳ τελευτήσοι, μηδένα τῶν ἀμελησάντων εἰς τὴν τούτου κληρονομίαν καλεῖσθαι, κἂν πρὸ τῆς αἰχμαλωσίας εἰ τύχοι διαθήκη παρ' αὐτοῦ ἐγεγόνει, καὶ τὰ μνημονευθέντα πρόσωπα ἔγραψεν ἐν αὐτῇ κληρονόμους· ἀλλὰ τῆς μὲν ἐνστάσεως τῶν κληρονόμων ἀκυρουμένης, τῶν λοιπῶν δὲ τῆς διαθήκης κεφαλαίων ἐν τῇ ἰδίᾳ κἀνταῦθα μενόντων ἰσχύϊ, αἱ περιουσίαι τῶν τοιούτων προσώπων κατὰ τὸν ὅμοιον τρόπον ταῖς ἐκκλησίαις τῶν πόλεων, ἐξ ὧν ὥρμηνται, ἀναφερέσθωσαν, καὶ μὴ ἐν ἄλλαις οἱαισοῦν αἰτίαις, ἀλλ' ἐν ταῖς τῶν αἰχμαλώτων ἀναῤῥύσεσι δαπανάσθωσαν, ὥστε δι' ὧν ἐκεῖνοι ὑπὸ τῶν ἰδίων οὐκ ἀνεῤῥύσθησαν, διὰ τούτων τῶν ὁμοιοπαθῶν αὐτῶν τὰς ἀναῤῥύσεις φροντίζεσθαι καὶ τὰς ἐκείνων ψυχὰς ἐκ ταύτης τῆς εὐσεβοῦς μακαρίζεσθαι πράξεως. τὸ αὐτὸ δὲ παραφυλαττέσθω, κἂν ἄλλο ἐξωτικὸν πρόσωπον πρὸ τῆς αἰχμαλωσίας γράψοιεν ὁ ὕστερον ἁλοὺς κληρονόμον, κἀκεῖνος εἰδὼς ἑαυτὸν ὑπ' ἐκείνου γεγράφθαι κληρονόμον ἀναῤῥύσασθαι τοῦτον ἐκ τῆς αἰχμαλωσίας ἀμελήσοι. ταύτην δὲ τὴν ποινὴν κατ' ἐκείνων κρατεῖν θεσπίζομεν, οἵτινες τὸν (ιη) τῆς ἑαυτῶν ἡλικίας ἐπλήρωσαν ἐνιαυτόν. ἐν μέντοιγε ταῖς τοιαύταις αἰτίαις, ἡνίκα ὑπὲρ ἀναῤῥύσεως αἰχμαλώτων ἀναγκαῖόν ἐστι χρήματα δοθῆναι, εἴ τις ἴδια μὴ ἔχοι χρήματα, ἄδειαν ἐχέτω, εἴπερ τῆς εἰρημένης ὑπάρχει ἡλικίας, δανείζεσθαι χρήματα καὶ πράγματα κινητὰ ἢ ἀκίνητα ὑποτίθεσθαι, εἴτε ἴδια ἔχοι, εἴτε τὰ τοῦ ἐν αἰχμαλωσίᾳ κρατουμένου· ἐπειδὴ ἐν τοῖς εἰρημένοις ἅπασι τοῖς ὑπὲρ ἀναῤῥύσεως αἰχμαλώτων δίδοσθαι ἢ ἀναλίσκεσθαι δεικνυμένοις τὰ τοιαῦτα συναλλάγματα ὡς παρὰ προσώπου αὐτεξουσίου καὶ τελείας ἡλικίας ὄντος γινόμενα βέβαια εἶναι παρακελευόμεθα· μηδενὸς τοῖς μετὰ τῶν τοιούτων προσώπων ἐπὶ ταῖς μνημονευθείσαις αἰτίαις, καθάπερ εἴρηται, συναλλάττουσι προκρίματος γινομένου, ἀνάγκην δηλαδὴ ἔχοντος τοῦ ἐκ τῆς αἰχμαλωσίας ἐπανερχομένου τὰ τοιαῦτα συναλλάγματα βέβαια ἡγεῖσθαι καὶ τούτοις ὡς ἰδίοις ὀφλήμασιν ἐνέχεσθαι.

ϛ'. Εἴ τις ἐκ τῶν μνημονευθέντων γονέων ὀρθόδοξος ὑπάρχων αἴσθηται τὸν ἴδιον παῖδα ἢ παῖδας μὴ εἶναι τῆς καθολικῆς πίστεως, μηδὲ ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ κοινωνεῖν, ἐν ᾗ πάντες οἱ μακαριώτατοι πατριάρχαι μιᾷ συμπνοίᾳ καὶ ὁμονοίᾳ τὴν ὀρθοτάτην πίστιν κηρύττειν καὶ τὰς ἁγίας ἑπτὰ συνόδους (τὴν ἐν νικαίᾳ πρώτην, τὴν ἐν κωνσταντινουπόλει πρώτην, τὴν ἐν ἐφέσῳ πρώτην, τὴν ἐν χαλκηδόνι, τὴν ἐν κωνσταντινουπόλει δευτέραν, ὡσαύτως καὶ τὴν ἐν κωνσταντινουπόλει τρίτην, καὶ τὴν ἐν νικαίᾳ τὸ δεύτερον)

περιπτύσσεσθαι ἤγουν ἀναφέρειν γινώσκονται, καὶ διαμείνωσιν οἱ τοιοῦτοι παῖδες ἐν τῇ αὐτῇ ἀπιστίᾳ, δίδομεν τοῖς αὐτῶν γονεῦσιν ἄδειαν ὑπὲρ ταύτης μάλιστα τῆς αἰτίας ἀχαρίστους αὐτοὺς καὶ ἀποκλήρους ἐν τῇ ἰδίᾳ γράφειν διαθήκῃ. ἀλλὰ τοῦτο μὲν ἡ καταδίκη τῶν αἱρετιζόντων παίδων. γενικὴν δὲ πρόνοιαν τοῖς παισὶ τοῖς ὀρθοδόξοις παρέχοντες, κελεύομεν, σῴων φυλαττομένων τῶν νόμων τῶν ἤδη περὶ τῶν ἄλλων αἱρετικῶν προενεχθέντων καὶ περὶ τῶν νεστοριανῶν καὶ ἀκεφάλων, ὡσαύτως δὲ ἰακωβιτῶν, μονοθελητῶν καὶ εἰκονομάχων, [ἔτι δὲ κενδουκλάδων καὶ ἀποσχιστῶν, καὶ ἁπλῶς καθ' ὅσων αἱρέσεων ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία τὴν ἀποκήρυκτον ψηφίζεται ψῆφον, τῶν γοῦν τεθειμένων νόμων κατὰ τῶν εἰρημένων αἱρέσεων ἀκινήτων μενόντων κελεύομεν] εἴποτε γονεῖς εὑρεθεῖεν μιᾷ τῶν ἀπηριθμημένων αἱρέσεων ἢ καὶ ἑτέρᾳ τινὶ τούτων παραπλησίᾳ παρεχόμενοι, καὶ διὰ τοῦτο ἐκ τῆς κοινωνίας τῆς καθολικῆς ἐκκλησίας κεχωρισμένοι, μὴ ἐξεῖναι αὐτοῖς τοὺς παῖδας ὀρθοδόξους ὄντας ἤ τινα αὐτῶν ἀπόκληρον ἢ ἀποκλήρους ποιεῖν ἢ ἄλλους τινάς, οὓς ἀποκηρύττει ἡ τοῦ θεοῦ ἐκκλησία, κληρονόμους ἑαυτοῖς ἐνιστᾶν. παίδων δὲ μὴ ὑπόντων τοὺς ἐξ ἀῤῥενογονίας καὶ θηλυγονίας συγγενεῖς, ὀρθοδόξους δηλαδὴ τυγχάνοντας, ἔξεστιν αὐτοῖς γράφειν κληρονόμους. εἰ μέντοιγε τῶν παίδων ἔνιοι μὲν εἰσιν ὀρθόδοξοι, ἄλλοι δὲ αἱρέσει τινὶ κατεσχημένοι καὶ τῆς τοῦ θεοῦ ἐκκλησίας κεχωρισμένοι, πᾶσαν τὴν τῶν γονέων περιουσίαν εἰς τοὺς παῖδας καὶ μόνους τοὺς ὀρθοδόξους ἔρχεσθαι θεσπίζομεν, κἂν τελευταία βούλησις τῶν αἱρετικῶν γονέων τοὺς ὁμοδόξους ἐποίει κληρονόμους. εἰ δὲ μετὰ ταῦτα οἱ ἀδελφοὶ οἱ τῆς ἐκκλησίας κεχωρισμένοι ἐπὶ ταύτην ἀναστρέψωσιν ὁλοψύχως, τὸ ἁρμόττον αὐτοῖς μέρος ἐν τῷ σχήματι, ἐν ᾧ εὑρεθείη κατὰ τὸν τῆς ἐπιστροφῆς αὐτῶν χρόνον, ἐν τούτῳ αὐτὸ ἀναλήψονται, μηδεμίαν περὶ τῶν καρπῶν ἢ τῆς διοικήσεως τοῦ μέσου χρόνου ὄχλησιν ἢ ἐπάχθειαν τοῖς ἐξ ἀρχῆς ὀρθοδόξοις, ὑφ' ὧν καὶ τὸ μέρος ἐδεσπόζετο, ἐπάγοντες. ὥσπερ γὰρ τῆς τοιαύτης μοίρας, ἧς ἐδέσποζον οἱ ὀρθόδοξοι, τὴν ἐκποίησιν κωλύομεν, οὕτω καὶ τῶν παρελθόντων χρόνων τοὺς καρποὺς ἢ τὴν διοίκησιν οὐδαμῶς τοὺς προκατασχόντας εἰσπράττεσθαι ἢ περὶ αὐτῶν λογοθετεῖσθαι κελεύομεν. εἰ δὲ μέχρι τοῦ πέρατος τῆς ἰδίας ζωῆς ἐν τῇ αὐτῇ πλάνῃ οἱ αἱρετίζοντες διαμείναιεν, τότε τοὺς ὀρθοδόξους ἀδελφοὺς ἢ κληρονόμους αὐτῶν κληρεστάτῳ δεσποτείας δικαίῳ τὰ αὐτὰ πράγματα κεκτῆσθαι, ὡς καὶ τῆς ἐκποιήσεως αὐτῶν ἐξουσιάζειν θεσπίζομεν. εἰ δὲ οἱ παῖδες μὲν πάντες διεστραμμένοι καὶ τῆς κοινωνίας τῆς καθολικῆς ἀλλότριοι εὑρεθεῖεν, ἄλλοι δὲ ἐγγύτατοι συγγενεῖς ἐξ ἀῤῥενογονίας ἢ ἐκ θηλυγονίας τὴν ὀρθόδοξον πίστιν τιμῶντες καὶ κοινωνικοὶ εἶεν καὶ ἀποδειχθεῖεν, τούτους

τῶν παίδων τῶν αἱρετικῶν προτιμᾶσθαι καὶ τὴν αὐτῶν διαδέχεσθαι κληρονομίαν. εἰ δὲ καὶ οἱ παῖδες καὶ οἱ ἐγγύτατοι συγγενεῖς ἐκ τῆς κοινωνίας τῆς ὀρθοδόξου πίστεως ξένοι τυγχάνοιεν, τηνικαῦτα, εἰ μὲν σχῆμα κληρικῶν οἱ γονεῖς αὐτῶν ἔχοιεν, τῇ ἐκκλησίᾳ τῆς πόλεως, ὅπου τὴν οἴκησιν εἶχον, τὰ αὐτὰ πράγματα βουλόμεθα διαφέρειν. οὕτω μέντοι, ὥστε εἰ οἱ ἐκκλησιαστικοὶ ἐντὸς ἐνιαυτοῦ προθεσμίας τὰ τῶν τοιούτων προσώπων πράγματα διεκδικῆσαι ἀμελήσαιεν, τὴν αὐτῶν δεσποτείαν τῷ ἡμετέρῳ ταμείῳ ἐκδικεῖσθαι. εἰ δὲ λαϊκοὶ ὦσι, δίχα τινὸς διακρίσεως τὰς αὐτῶν περιουσίας εἰς τὸ θεῖον ἡμῶν εἰδικὸν ὁμοίως περιέρχεσθαι. ἅτινα κρατεῖν θεσπίζομεν κἂν εἰ χωρὶς διαθήκης τὰ τοιαῦτα πρόσωπα τελευτήσαι. εἴτε δὲ πάσας τὰς εἰρημένας τῆς ἀχαριστίας αἰτίας, εἴτε τινὰς αὐτῶν, εἴτε μίαν οἱανδήποτε οἱ γονεῖς τῇ ἰδίᾳ ἐγγράψοιεν διαθήκῃ, καὶ οἱ παρὰ τοὺς ἀχαρίστους γραφόμενοι κληρονόμοι τὰς ὀνομασθείσας αἰτίας ἢ μίαν ἐξ αὐτῶν ἀληθῆ εἶναι δείξαιεν, τὴν διαθήκην τὴν ἰδίαν ἔχειν ἰσχὺν παρακελευόμεθα. εἰ δὲ τῶν αἰτιαμάτων μηδὲν παρασταίη, μηδὲν γίνεσθαι πρόκριμα οἷς οὐκ ἐνδίκως τὸ ἀπόκληρον κατεδικάσθη, ἀλλ' ὅσον εἰς τὴν ἔνστασιν τῶν κληρονόμων ἀνήκει, τῆς διαθήκης ἀκυρουμένης εἰς τὴν τῶν γονέων κληρονομίαν τοὺς παῖδας ἐξ ἀδιαθέτου ἐξ ἴσης μοίρας ἔρχεσθαι· δεῖ γὰρ μὴ τοὺς παῖδας πεπλασμέναις κατηγορίαις κατακρίνεσθαι, μήτε τινὰ περιγραφὴν ἐν ταῖς τῶν γονέων περιουσίαις ὑπομένειν. εἰ μέντοιγε συμβαίη ἔν τισι τοιαύταις διαθήκαις ἢ λεγάτα τινὰ ἢ καὶ τὰ πίστει τινὶ παρατεθέντα ἢ ἐλευθερίας ἢ ἐπιτρόπων δόσεις καταλειφθῆναι, ἢ ἄλλα οἱαδήποτε κεφάλαια τοῖς νόμοις ἐγνωσμένα ὀνομασθῆναι, ταῦτα πάντα κελεύομεν πληροῦσθαι καὶ δίδοσθαι ἐκείνοις, οἷς κατελείφθη. καὶ ταῦτα μὲν περὶ τῶν διαθηκῶν τῶν γονέων διετυπώσαμεν. δίκαιον δὲ εἶναι συνείδομεν ἐκ τοῦ ἐναντίου περὶ τῶν διαθηκῶν τῶν παίδων τὰ αὐτὰ μετά τινος διαστολῆς διατυπῶσαι.

ζ'. Θεσπίζομεν τοίνυν, μὴ ἐξεῖναι τοῖς παισὶ τοὺς ἰδίους γονεῖς ἀποκλήρους καταλιμπάνειν ἢ καθ' οἱονδήποτε τρόπον τῶν ἰδίων πραγμάτων, ἐν οἷς ἐξουσίαν ἔχουσι διατίθεσθαι, τούτους παντελῶς ἀλλοτρίους ποιεῖσθαι, εἰ μὴ τὰς αἰτίας, ἃς ἀριθμοῦμεν, ἐν ταῖς ἰδίαις ἰδικῶς ἐγγράψοιεν διαθήκαις. ταύτας δὲ εἶναι κελεύομεν· εἰ οἱ γονεῖς εἰς ἀναίρεσιν ζωῆς τοὺς ἰδίους παῖδας παραδοῖεν, δίχα μέντοιγε αἰτίας εἰς καθοσίωσιν ἀναφερομένης· ἢ φαρμακείαις ἢ γοητείαις ἢ ἄλλῳ τρόπῳ τῇ τῶν παίδων ζωῇ ἐπιβουλεύσαντες ἀποδειχθεῖεν· εἰ ὁ πατὴρ τῇ ἰδίᾳ νύμφῃ ἢ τῇ παλλακῇ τοῦ ἰδίου παιδὸς συμμιγείη· εἰ οἱ γονεῖς τοὺς ἰδίους παῖδας διαθήκας ποιήσασθαι κωλύσαιεν ἐν τοῖς πράγμασιν, ἐν οἷς ἔχουσιν ἄδειαν διατίθεσθαι. ἔτι γε μὴν ἀποκλήρους οἱ παῖδες δύνανται

τοὺς γονεῖς ποιεῖν, εἰ ὁ ἀνὴρ τῇ ἰδίᾳ γαμετῇ πρὸς ἀναίρεσιν ἢ ἔκστασιν τῆς διανοίας δοίη φάρμακον, ἢ ἡ γαμετὴ τῷ ἀνδρί, ἢ ἄλλῳ τρόπῳ ἕτερος τῇ τοῦ ἑτέρου ζωῇ ἐπιβουλεύσαι· τὸ γὰρ τοιοῦτον ἔγκλημα πούβλικον ὑπάρχον κατὰ τοὺς νόμους μὲν ἐξετάζεται καὶ νομικῆς δὲ τῆς ἐκδικήσεως ἀξιοῦται, οἱ δὲ παῖδες ἀποκλήρους τοὺς ἐνόχους τοῦ τοιούτου μύσους δικαίως ἀποφαίνουσιν. ἔτι εἰ τῶν παίδων ἢ ἑνὸς ἐξ αὐτῶν ἐν μανίᾳ τυγχάνοντος οἱ γονεῖς αὐτῶν οὐ φροντίσουσι, τὰ αὐτὰ καὶ ἐνταῦϑα κρατεῖν προστάττομεν, ἃ καὶ περὶ τῶν μαινομένων γονέων ἀνωτέρω ἐϑεσπίσαμεν. τούτοις τοῖς ϑέμασι καὶ τὴν τῆς αἰχμαλωσίας συμφορὰν προστίϑεμεν, ἐν ᾗ τοὺς παῖδας κρατουμένους καὶ διὰ τῆς τῶν γονέων καταφρονήσεως ἢ ἀμελείας μὴ ἀναῤῥυσϑέντας εἰ τελευτῆσαι συμβαίη, μηδαμῶς τοὺς τούτων γονεῖς εἰς τὰς περιουσίας ἔρχεσϑαι τῶν παίδων, ἐφ' αἷς διατίϑεσϑαι οἱ παῖδες ἠδύναντο, ἀλλὰ πάντα καὶ ἐν τούτῳ τῷ κεφαλαίῳ φυλάττεσϑαι, ἅπερ καὶ περὶ γονέων καὶ συγγενῶν τῶν ἐξ ἀδιαϑέτου εἰς τὰ τῶν τοιούτων προσώπων δίκαια καλουμένων ἢ περὶ τῶν ἐξωτικῶν γραφομένων κληρονόμων ἀνωτέρω διετυπώσαμεν. οὐ μὴν ἀλλὰ καὶ εἴ τις ἐκ τῶν μνημονευϑέντων παίδων ὀρϑόδοξος τυγχάνων αἴσϑηται τὸν ἴδιον γονέα ἢ γονεῖς μὴ εἶναι ὀρϑοδόξους, ταὐτὰ καὶ κατὰ τῶν γονέων [5]) κρατεῖν, ἅπερ ἀνωτέρω κατὰ τῶν τέκνων ἰσχύειν διετυπώσαμεν. εἰ τοίνυν τὰς τοιαύτας αἰτίας ἤ τινας αὐτῶν ἢ μίαν οἱ παῖδες ἐν ταῖς ἰδίαις γράψοιεν διαϑήκαις, καὶ οἱ γραφόμενοι παρ' αὐτῶν κληρονόμοι ἢ πάσας ἢ μίαν τούτων ἀποδείξαιεν, τὴν διαϑήκην ἐν τῇ ἰδίᾳ ἰσχύϊ διαμένειν προστάττομεν. εἰ δὲ ταῦτα μὴ παραστῇ, μηδεμίαν ἔχειν δύναμιν τὴν τοιαύτην διαϑήκην τόγε εἰς τὴν ἔνστασιν τῶν κληρονόμων ϑεσπίζομεν· ἀλλ' ἀνατρεπομένης ταύτης τῆς διαϑήκης τοὺς [6]) ἐξ ἀδιαϑέτου εἰς τὴν τοῦ τελευτήσαντος κληρονομίαν καλεῖσϑαι τυποῦμεν, τῶν λεγάτων δηλονότι καὶ τῶν πίστει παρ' αὐτοῦ τινι διδομένων καὶ ἐλευϑεριῶν καὶ τῶν δόσεων τῶν ἐπιτρόπων καὶ τῶν ἄλλων κεφαλαίων, καϑάπερ ἀνωτέρω εἴρηται, ἐπὶ τῆς ἰδίας μενόντων ἰσχύος [e]). εἴ τι δὲ περὶ λεγάτου ἢ πίστει τινὶ παρ' αὐτοῦ δοϑέντος ἢ ἐλευϑεριῶν ἢ ἄλλων οἱωνδήποτε κεφαλαίων ἐν ἄλλοις νόμοις εὑρεϑείη ταύτῃ τῇ διατάξει ἐναντίον, τοῦτο κρατεῖν κατ' οὐδένα βουλόμεϑα τρόπον. καὶ αὗται μὲν τῶν ἀποκλήρων αἱ ποιναί.

e) Σχόλιον. Τοῦτό φησιν, ἐπειδὴ οἱ πρὸ τούτου νόμοι ἐκέλευον τῆς διαϑήκης κατὰ τὴν ἔνστασιν ἀκυρουμένης μηδὲ τὰ ἄλλα αὐτῆς ἰσχύειν· ὃ γὰρ ἐνταῦϑα καινίζει. [7])

5) A: ὀρϑοδόξων pro γονέων habet. Prochiri XXXIII, 30. 31. 32. sub inscriptione: τοῦ ἡμετέρου βασιλέως.
6) A: τῆς.
7) A hic in margine subjicit locos

ὅσαι γε εἰς ἀχαριστίας λόγον ἥκουσαι καὶ κατὰ τῶν εἰρημένων προσώπων διετυπώθησαν. εἴ τινες δὲ ἐξ αὐτῶν εἰς ἐγκλημάτων ποινηλατουμένων τόλμαν ἀνάγονται, οἱ τούτων ἔνοχοι καὶ τὰς ἄλλας ὑπομένειν ποινὰς, ἃς οἱ νόμοι διώρισαν, ἀπεδόθησαν. ταῦτα διετυπώσαμεν, ἵνα καὶ τοὺς γονεῖς καὶ τοὺς παῖδας ἀπὸ τῆς τῶν διαθηκῶν ὕβρεως ἐλευθερώσωμεν. εἰ δέ τινες κληρονόμοι ἐπὶ ῥητοῖς καὶ μόνοις πράγμασιν ὀνομασθεῖεν καὶ τούτοις ἀρκεσθῆναι προσταχθεῖεν, ἐφ᾿ ᾧ μὲν κυρίους τινὸς ὑποστάσεως ἀνεῖπεν ὁ διαθέμενος, ἐπὶ τούτῳ οὐκ ἀνατρέπομεν· ἐφ᾿ ᾧ δὲ ζημίαν προσέθηκεν ἄλογον, οὐ κυροῦμεν. καὶ γὰρ εἴ τι ἔλαττον αὐτοῖς τῆς ἐκ τῶν νόμων μοίρας καταλειφθείη, τοῦτο κατὰ τοὺς ἄλλους ἡμῶν νόμους παρὰ[8]) τῶν κληρονόμων προστάττομεν [ἀναπληροῦσθαι]. μία γάρ ἐστι τῆς ἡμετέρας γαληνότητος φροντὶς, τὸ τὴν ὕβριν τῆς ἀποκληρώσεως τῶν γονέων καὶ τῶν παίδων ἀνελεῖν. σκοπεῖν γὰρ ὀφείλουσιν οἱ γονεῖς, ὅτι καὶ αὐτοὶ παῖδες γεγόνασι καὶ τὰ αὐτὰ παρὰ τῶν οἰκείων γονέων τυχεῖν ἐπηύξαντο, ὧν νῦν ὁρῶσι τοὺς παῖδας γλιχομένους. ἀλλὰ καὶ τοὺς τεκόντας οἱ παῖδες θεραπεύειν κεχρεωστήκασι, διά τε τ᾿ ἄλλα, καὶ ὅτι καὶ αὐτοὶ, εἰ περίεισιν αὐτοῖς ἐλπίδες τέκνων, πολλῆς τῆς παρ᾿ αὐτῶν εὐγνωμοσύνης ἀπολαῦσαι πρῶτον ἀγαθὸν ἡγοῦνται· ὅθεν δῆλον, ὡς εἰς τὴν ἀμφοτέρων ὠφέλειαν ὁ παρὼν ἀφορᾷ νόμος, ὃν οὐ χωρὶς αἰτίας, ἀλλὰ προφάσεως γενομένης προηνέγκαμεν. εὕρομεν γὰρ πουλχερίαν εὐχάριστον μὲν θυγατέρα παρὰ τῆς ἰδίας μητρὸς λεχθεῖσαν, ἀπόκληρον δὲ κατὰ τὴν διαθήκην ὀνομασθεῖσαν, τοῦτο μὲν ἐπὶ τοῖς πατρῴοις, τοῦτο δὲ καὶ ἐπὶ τοῖς μητρῴοις πράγμασι. καὶ τοῦτον μὲν τοιοῦτον χάρτην, ἐπείπερ δόλῳ καὶ μηχανῇ συντελεσθέντα ἔγνωμεν, κατ᾿ οὐδένα τρόπον κρατεῖν συνεχωρήσαμεν, τὴν δὲ θυγατέρα κληρονόμον τοῦ πατρὸς καὶ τῆς μητρὸς γενέσθαι παρακελευόμεθα, καθάπερ καὶ ἡ ἐγγράφως προελθοῦσα περὶ τοῦ αὐτοῦ πράγματος ἡμετέρα κρίσις δηλοῖ.[f])

f) Βι. δ´ τοῦ κώδ. τι´. κ´ διατ. ιε´. Ὁ ἀρνούμενος τὸν ἴδιον συγγενῆ οὐ κληρονομεῖ αὐτὸν ἐξ ἀδιαθέτου.

Βι. ς´ τι´. νη´ διατ. ι´. Ὁ ὁπωσδήποτε κληρονομῶν τὸν ὀρφανὸν καὶ ἄνηβον, εἰ μὴ αἰτήσει αὐτῷ ἐπίτροπον ἐντὸς ἐνιαυτοῦ ἀπὸ τοῦ θανάτου τοῦ πατρὸς αὐτοῦ, ἐκπίπτει τῆς κληρονομίας αὐτοῦ, εἰ μὴ ἔφηβος γενόμενος ἀποθάνῃ.

8) A: κατά. Idem mox ἀναπληροῦσθαι non habet.

ΤΙΤΛΟΣ ΤΡΙΑΚΟΣΤΟΣ ΠΕΜΠΤΟΣ.

Περὶ [τοῦ] τοὺς τελευτῶντας ἤγουν τὰ λείψανα αὐτῶν μὴ ἐνυβρίζεσϑαι παρὰ τῶν δανειστῶν, καὶ πότε δεῖ ἐνάγειν τοὺς δανειστὰς κατὰ τῶν κληρονόμων τῶν τελευτησάντων.

Κεφ. ά. [a]) Μεμνήμεϑα δὲ πρὸς τούτοις νόμον παρ' ἡμῖν φοιτῆσαι δι' οὗ παρεκελευσάμεϑα, μηδενὶ ἐξεῖναι τὰ τῶν τελευτώντων σώματα χρέους ὀνόματι ἢ ἄλλης τινὸς ἀγωγῆς τῆς νενομισμένης ἀποστερεῖν ταφῆς ἢ λόγῳ παρακατέχειν ἐνεχυριάσεως. παντελῶς γὰρ ἀνόσιόν τε καὶ ἀπάνϑρωπον καὶ ἡ κοινὴ φύσις τοῦτο ἐπίσταται. διὸ ϑεσπίζομεν τοὺς τοῦτο τολμῶντας ποιεῖν μὴ μόνον ἐκ τῆς τοιαύτης ϑρασύτητος μηδὲν ὠφελεῖσϑαι, ἀλλὰ καὶ τοῦ χρέους ἢ τῆς οἱασδήποτε ἐναγωγῆς ὑπὲρ οὗ ταύτην τὴν τόλμαν ἐτόλμησαν παντελῶς ἀλλοτριοῦσϑαι. εἰ δὲ μὴ τῇ ἀληϑείᾳ χρέει ὁ τελευτήσας ὑπόκειται ἢ ἄλλῃ τινὶ ἐναγωγῇ, οὗτος δὲ κατὰ τοῦ κειμένου σώματος τοιαῦτα ἐνύβριζεν, τοσαύτην καταβολὴν ποιεῖσϑαι τοῖς ἐκείνου κληρονόμοις καὶ διαδόχοις, ὅσην αὐτὸς ἀνεπλάττετο παρὰ τοῦ τελευτῶντος χρεωστεῖσϑαι.

β'. Θεσπίζομεν μηδενὶ παντελῶς ἐξεῖναι ἢ τοὺς κληρονόμους τοῦ τελευτῶντος ἢ τοὺς γονεῖς ἢ τοὺς παῖδας ἢ γαμετὴν ἢ συγγενεῖς ἢ ἄλλους αὐτοῦ προσγενεῖς ἢ ἐγγυητὰς πρὸ τῆς τῶν ϑ' ἡμερῶν προϑεσμίας, ἐν αἷς πενϑεῖν δοκοῦσιν, αἰτιᾶσϑαι, ἢ καϑ' οἱονδήποτε τρόπον παρενοχλεῖν, ἤ τινα ὑπόμνησιν αὐτοῖς ὑποφέρειν, ἢ ἐν δικαστηρίῳ αὐτοὺς καλεῖν, εἴτε ὀνόματι χρέους παρὰ τοῦ τελευτήσαντος καταγομένου εἴτε ἄλλης οἱασοῦν χάριν αἰτίας εἰς τὰ μνημονευϑέντα ἰδικῶς ὁρώσης πρόσωπα. εἰ δὲ ἐντὸς τῶν ϑ' ἡμερῶν

a) Ἰστέον, ὅτι ἡ μὲν ξ' νεαρὰ καὶ κατὰ τῶν ἔτι ἐμπνέοντας τοὺς τελευτῶντας ϑορυβούντων διὰ χρέος, ὁμοίως δὲ καὶ κατὰ τῶν εἰς τὰ σώματα καὶ τὴν ἐκφορὰν καὶ ταφὴν αὐτῶν ἐνυβριζόντων, τοιαῦτα τέϑεικεν ἐπιτίμια· τῆς μὲν ἀγωγῆς ἔκπτωσιν, εἴτε δικαία ἐστὶν εἴτε μή, καὶ ἄλλης τοσαύτης ποσότητος καταβολὴν ἐκ τῆς τῶν ὑβριστῶν ὑποστάσεως ἐπὶ τοὺς κληρονόμους τῶν ὑβρισϑέντων, καὶ δήμευσιν, καὶ ἀτιμίαν ἐσχάτην· καὶ τὸν νόμον εἶναί φησιν μάρκου τοῦ φιλοσόφου καὶ βασιλέως. καινίζεται οὖν ὑπὸ τοῦ α κεφαλαίου ταῦτα, ἀλλὰ καὶ τὸ „μεμνήμεϑα" τοῦ β' κεφαλαίου ἐστὶν ἀρχὴ μέχρι τοῦ „ϑεσπίζομεν"· [1]) ἐν γὰρ τῇ ριε νεαρᾷ τῆς ξ μεμνημένος τὸ περὶ τῶν ϑ ἡμερῶν ἐνομοϑέτησεν.

1) Initium § 1 est ex Nov. 115. Hoc innuere videtur scholiastes.

τολμήσει. τίς τινα τῶν εἰρημένων κρατῆσαι προσώπων, ἢ μεθοδεῦσαί τινα ὁμολογίαν ἢ ὑπόσχεσιν ἢ ἐγγύην παρ' αὐτοῦ κομίσασθαι, ταῦτα πάντα ἀπείργομέν τε καὶ ἀκυροῦμεν. μετὰ δὲ τὴν θ̄ ἡμερῶν παραδρομὴν, εἴ τις κατὰ τῶν τοιούτων προσώπων τινὰς ἔχειν νομίσειεν ἀγωγὰς, ταύτας κατὰ τοὺς νόμους ἐγγυμναζέτω· μηδενὸς δηλαδὴ τοῖς ἐνάγουσι προκρίματος ἐκ ταύτης τῆς προθεσμίας περὶ χρονίαν παραγραφὴν ἢ ἐν ἄλλῃ οἱᾳδήποτε δικαιολογίᾳ παντελῶς γινομένου.

ΤΙΤΛΟΣ ΤΡΙΑΚΟΣΤΟΣ ΕΚΤΟΣ.

Περὶ λεγάτου.

Κεφ. α'. Λεγάτον ἐστὶ δωρεὰ ἀπὸ τοῦ τελευτήσαντος καταλειφθεῖσα.

β'. Ἔξεστι λεγατεύειν μέχρι τοῦ ὀκταουγκίου ἢ τοῦ ἑξαουγκίου· τὸ γὰρ τετραούγκιον ἢ ἑξαούγκιον, τουτέστι τὸ τρίτον τῆς περιουσίας ἢ τὸ ἥμισυ, τοῖς κληρονόμοις φυλάττεται.

γ'. Ὁ λεγατάριος οὐ δύναται μέρος καταδέχεσθαι καὶ μέρος παραιτεῖσθαι.

δ'. Ὁ λεγατευθεὶς ἀπὸ διαθήκης καὶ εἰδὼς, οὐ δύναται περὶ τῆς διαθήκης ἔτι διαμφισβητεῖν, ὅτι οὐκ εἴη ἀληθής.

ε'. Ἐάν τινι μέρος τῆς οὐσίας λεγατευθῇ, καὶ ὑφέληται τῆς κληρονομίας πράγματα, ἐκπίπτει τῆς ἁρμοζούσης αὐτῷ τῶν λεγάτων ἀπαιτήσεως, ἐφ' οἷς παρακατέσχε πράγμασι· τούτων γὰρ τὸ μέρος ἀπαιτεῖν οὐ δύναται.

ϛ'. Ἐὰν μέρος οὐσίας λεγατευθῇ, ἐπιλογὴν ἔχει ὁ κληρονόμος, ἢ τὸ μέρος τῶν πραγμάτων δοῦναι ἢ τὴν ἀποτίμησιν αὐτῶν. τῶν μέντοι ἀδιαιρέτων πάντως τὸ τίμημα δίδωσιν.

ζ'. Ἐὰν πολλὰ καὶ διάφορα πράγματα ἔχων λεγατεύσω σοι ἐξ αὐτῶν ἓν ἢ καὶ πλείω, καὶ μὴ δηλώσω ποῖον ἐξ αὐτῶν, ὁ κληρονόμος ἔχει τὴν ἐπιλογὴν, ἐφ' ᾧ μέντοι μὴ τὸ χεῖρον ἐπιδοῦναι τῷ λεγατευθέντι, ἀλλὰ τὸ μέσης ὑπάρχον ποιότητος.

η'. Ἐάν τις κτῆμα κατεξαίρετον τοῖς ἀδελφοῖς αὐτοῦ ὡς λεγάτον καταλιπὼν μετὰ ταῦτα καὶ ἄλλῳ τινὶ τὸ αὐτὸ κτῆμα λεγατεύσῃ, πάντες ἅμα συνιόντες οἱ λεγατάριοι τὸ κτῆμα λαμβάνουσιν.

θ'. Ἐλεγάτευσά σοι τὸν ἐμὸν οἰκέτην μετὰ τοῦ πεκουλίου αὐτοῦ. ἐπιζήσας τῇ ποιήσει τῆς διαθήκης ἠλευθέρωσα τὸν οἰκέτην, ἢ ἐξεποιησάμην αὐτὸν, ἢ συνέβη αὐτὸν τελευτῆσαι. οὐ μόνον ἐπ' αὐτῷ, ἀλλὰ καὶ ἐπὶ τῷ πεκουλίῳ λεγάτον ἐξασθενεῖ. τῶν γὰρ πρωτοτύπων μὴ σωζομένων, ὑφεστάναι οὐ δύναται τὰ παρακολουθήματα.

ι'. Ἀγέλης λεγατευθείσης καὶ τὰ προστεθέντα λαμβάνει ὁ λεγατάριος· εἰ δὲ καὶ μειωθῇ, κἂν εἰς ἕνα γοῦν περιστῇ, λαμβάνει αὐτὸ ὁ λεγατάριος, εἰ καὶ ἐπαύσατο εἶναι ἀγέλη.

ια'. Καὶ οἴκου γὰρ λεγατευομένου καὶ καιομένου λαμβάνει τὸ ἔδαφος.

ΤΙΤΛΟΣ ΤΡΙΑΚΟΣΤΟΣ ΕΒΔΟΜΟΣ.

Περὶ ἐλευθεριῶν καὶ ἀπελευθέρων.

Κεφ. α'. Τῶν προσώπων ἄκρα διαίρεσίς ἐστιν αὕτη· ὅτι τῶν ἀνθρώπων οἱ μέν εἰσιν ἐλεύθεροι, οἱ δὲ δοῦλοι. καὶ τὴν μὲν ἐλευθερίαν, ἐξ ἧς ἡ τῶν ἐλευθέρων ἐπινενόηται προσηγορία, οὕτως ὁρίζεσθαι χρή.

β'. [1] Ἐλευθερία ἐστὶν εὐχέρεια φυσικὴ ἑκάστῳ συγχωροῦσα πράττειν ἃ βούλεται, εἰ μὴ νόμος ἢ βία κωλύῃ. βία μὲν, ἐπειδὴ βουλόμενον ἐσθότε μέ τι πρᾶξαι, ὃ τοῖς νόμοις οὐκ ἀπηγόρευται, διακωλύει τὶς ἰσχύϊ μείζονι βιασάμενος· νόμος [2] δὲ, ὅτε τιμωριῶν ἀπειλαῖς εἴργομαι πράττειν ἃ βούλομαι. οὐκέτι γὰρ ποιεῖν τι κατὰ γνώμην καὶ δεσπότου δέος ἐμποδίζει. [3]

γ'. [4] Δουλεία ἐστὶν ἐθνικοῦ νόμου διατύπωσις, ἐξ ἧς τις ὑποβάλλεται τῇ ἑτέρου δεσποτείᾳ ὑπεναντίον φυσικοῦ νομίμου. ἡ γὰρ φύσις πάντας ἐλευθέρους προήγαγεν, ἡ δὲ τῶν πολέμων ἐπίνοια τὴν δουλείαν ἐφεῦρεν· ὁ γὰρ τοῦ πολέμου νόμος κτῆμα τῶν κρατούντων θέλει τοὺς νενικημένους εἶναι.

δ'. Οἱ δοῦλοι ἢ τίκτονται ἢ γίνονται· τίκτονται μὲν οἱ ἐκ θεραπόντων φύντες, γίνονται δὲ οἱ ἐκ τῶν ἐθνικῶν νόμων, τουτέστιν

1) A in margine: ὅρος ἐλευθερίας.
2) A: νόμῳ.
3) De hoc loco sanando vide Proch. p. 192 not. 2.
4) A in margine: ὅρος δουλείας.

τῆς αἰχμαλωσίας. καὶ ἡ μὲν τῶν δούλων τύχη οὐδεμίαν ἐπιδέχεται διαίρεσιν· οὐ γάρ ἐστιν εἰπεῖν ἐπ' αὐτῶν μᾶλλον ἢ ἧττον δοῦλος· ἐστὶν οὖν ἄτομος ἡ δουλεία. ἐπὶ δὲ τῶν ἐλευθέρων πολλὰς εὑρίσκομεν διαφοράς· ἢ γὰρ εὐγενεῖς εἰσιν, ἢ ἀπελεύθεροι, ἢ ἐξ ἀπελευθέρων· καὶ ἄλλη δέ τις ἐστὶν ἐν τῷ ὀνόματι διαφορά.

ε'. Οἱ ἐλεύθεροι εἰς δύο τὰ πρῶτα διαιροῦνται, εἰς εὐγενεῖς καὶ ἀπελευθέρους. καὶ εὐγενής ἐστιν ὁ εὐθέως ἅμα τῷ τεχθῆναι ἐλεύθερος ὤν, εἴτε ἐκ συνοικεσίου δύο εὐγενῶν τεχθῇ, εἴτε ἐκ δύο ἀπελευθέρων, εἴτε τὸ ἓν πρόσωπόν ἐστιν εὐγενές, τὸ δὲ ἕτερον ἀπελεύθερον. εἰ δὲ καί τις ἐξ ἐλευθέρας τεχθῇ μητρὸς, δούλου δὲ πατρὸς, εὐγενὴς ὁμοίως ἔσται, ὥσπερ ὁ ἐξ ἐλευθέρας μητρὸς καὶ ἀδήλου πατρὸς, τουτέστιν ἀπὸ κρυφίας γονῆς, τεχθείς· οὐδὲ γὰρ βλάπτει τὴν τοῦ παιδὸς εὐγένειαν τὸ ἐκ πορνείας γενέσθαι τὴν σύλληψιν. ἀρκεῖ δὲ ἐλευθέραν εἶναι τὴν μητέρα κατὰ τὸν χρόνον τοῦ τοκετοῦ, εἰ καὶ ὁ τῆς συλλήψεως καιρὸς εἶδεν αὐτὴν δούλην. καὶ ἐκ τοῦ ἐναντίου εἰ ἐλευθέρα μὲν συλλάβῃ, καταδουλωθείη δὲ ἐξ οἰκείας διαπράσεως ἐπὶ τὸ κερδῆσαι τὴν ἰδίαν τιμὴν ἢ κατὰ τὸ ὅλον ἢ κατὰ τὸ ἥμισυ, τέκῃ δὲ μετὰ τὴν διάπρασιν, ἔσται ἐλεύθερον τὸ τεχθέν. ὁ γὰρ κυοφορούμενος οὐ βλάπτεται ἐκ τῆς συμφορᾶς τῆς περιστάσης τὴν μητέρα.

ϛ'. Ἐάν τις δούλη οὖσα κατὰ τὸν καιρὸν, ὃν συνέλαβε, τῆς δουλείας ἐλευθερωθῇ, ὀλίγου δὲ χρόνου παραδραμόντος κατεδουλώθη, εἶτα τέτοκε μετὰ τὴν καταδούλωσιν, κελεύομεν ἐλεύθερον εἶναι τὸ τικτόμενον. ἀρκεῖ γὰρ τῷ ὄντι ἐν γαστρὶ τὸ κατὰ τὸν μέσον καιρὸν ἐλευθέραν εἶναι τὴν μητέρα.

ζ'. Δύναταί τις ἐλευθεροῦν τὸν ἑαυτοῦ δοῦλον ἢ ἐν ταῖς ἁγιωτάταις ἐκκλησίαις, ἢ ἐπὶ ἄρχοντος, ἢ ἐπὶ φίλων, ἢ δι' ἐπιστολῆς, ἢ ἐν διαθήκῃ, ἢ ἐν οἱαδήποτε τελευταίᾳ βουλήσει [a]).

η'. Ἡ διάταξις κελεύει ἐπὶ πάσης ἐλευθερίας [εἴτε παρὰ στρατιώτου] [5]) εἴτε παρὰ ἰδιώτου, εἴτε ζῶν ἐλευθερώσῃ τὶς τὸν ἐπίκοινον οἰκέτην εἴτε τελευτῶν, εἴτε ἥμισυ εἴτε τρίτον εἴτε ὁσονδήποτε μέρος ἔχει τοῦ οἰκέτου, καὶ εἴτε δύο εἴτε πλείονές εἰσιν κοινωνοὶ, ἀνάγκην αὐτοὺς ἔχειν τὰ ἴδια μέρη πιπράσκειν ἢ αὐτῷ βουλομένῳ ἐλευθερῶσαι ἢ τῷ κληρονόμῳ αὐτοῦ. ἐξέστω δὲ καὶ αὐτὸν τὸν οἰκέτην σὺν ἐλευθερίᾳ γράφειν κληρονόμον, ἵνα αὐτὸς δώσῃ τὸ ἴδιον τίμημα. εἰ δὲ παραιτήσωνται οἱ κοινωνοὶ πωλῆσαι τὸ ἴδιον

a) Καὶ ἐὰν τὸν ἴδιον δοῦλον ἐλευθέρῳ προσώπῳ ζεύξῃ, ἢ εἰ καὶ παραγνώμην αὐτοῦ ζευγνύμενον ὁρῶν ἢ μαθὼν ἀνάσχηται· ἀλλὰ τοῦτο ὡς ἐν τῷ ιβ κεφ. πλατύτερον κείμενον δοκεῖ παρέλκειν.

5) Inclusa A non habet.

μέρος καὶ λαβεῖν τὸ τίμημα, γινέσθω ἐκεῖνος ἐλεύθερος μηδὲ τιμήματος διδομένου. τὸ δὲ πεκούλιον αὐτοῦ πάντες οἱ κοινωνοὶ ἐχέτωσαν κατὰ τὸ μέρος τῆς δεσποτείας, ἐξουσίαν ἔχοντος τοῦ ἐλευθεροῦντος τὸ ἴδιον μέρος τοῦ πεκουλίου παραχωρῆσαι τῷ ἐλευθερουμένῳ· τῶν πατρωνικῶν δικαίων ἁρμοζόντων ἐκείνῳ μόνῳ τῷ ἐλευθερώσαντι. ἐὰν δὲ ὁ δοῦλος λογοθεσίοις ὑποκείμενος ᾖ, οριζέτω ὁ ἄρχων χρόνον, οὗτινος ἐντὸς καὶ τὰ λογοθέσια ὀφείλει ὁ δοῦλος ὑποστῆναι, καὶ παρασχεῖν εἴ τι χρεωστεῖ, καὶ ἐλευθερωθῆναι. ἔστω δὲ τὸ τίμημα τοῦ δούλου, εἰ μὲν ἀτεχνὴς καὶ ὑπὲρ τοὺς ι ἐνιαυτούς ἐστιν, κ νομισμάτων· εἰ δὲ τούτων ἐλάττων ᾖ, ι νομισμάτων· εἰ δὲ καὶ τέχνην ἐπίσταται, χωρὶς νοταρίου καὶ ἰατροῦ, λ νομισμάτων· ἐὰν δὲ νοτάριος ἢ ἰατρὸς ᾖ, ὁ μὲν νοτάριος ἕως ν νομισμάτων, ὁ δὲ ἰατρὸς ἕως ξ· ἐὰν δὲ εὐνοῦχοι καὶ μείζονες τῶν ι ἐνιαυτῶν οἱ δοῦλοι ὦσιν, χωρὶς μὲν τέχνης ν, μετὰ δὲ τέχνης ο νομισμάτων· ἥττονες δὲ ὄντες τῶν ι ἐνιαυτῶν λ νομισμάτων. εἰ δὲ οἱ κοινωνοὶ παραιτήσωνται τὸ τίμημα λαβεῖν, λέγοντες ὅτι καὶ αὐτοὶ ἐλευθερῶσαι βούλονται, πάντες ἅμα τὴν ἐλευθερίαν πραττέτωσαν, καὶ τὸ μὲν πεκούλιον, εἰ βούλοιντο, κατὰ τὸ μέρος τῆς δεσποτείας ἀναλόγως διαμεριζέσθωσαν, τῶν δὲ πατρωνικῶν δικαίων ὡς ἐλευθερωταὶ ὁμοίως ἀπολαυέτωσαν.

θʹ. Ἠράσθη τὶς δούλης ἀλλοτρίας, καὶ συνεφώνησε πρὸς τὸν δεσπότην αὐτῆς ἄλλο ἀνδράποδον ὑπὲρ αὐτῆς αὐτῷ διδόναι, ἐὰν ἐλευθερώσῃ αὐτήν, ἢ αὐτῷ παραδοῦναι αὐτὴν εἰς τὸ ἐλευθερωθῆναι παραυτίκα. καὶ ὁ μὲν δεσπότης τῆς θεραπαίνης ἠλευθέρωσεν αὐτὴν ἢ παρέδωκεν τῷ ἐρῶντι αὐτῆς. λαβὼν δὲ ἐκεῖνος τὴν θεράπαιναν καὶ συναφθεὶς αὐτῇ παῖδας ἔσχεν ἐξ αὐτῆς, οὐ δέδωκε δὲ εὐγνωμόνως τὸ ἀντὶ αὐτῆς ἀνδράποδον. ὅθεν προσῆλθεν ὁ τῆς θεραπαίνης ποτὲ δεσπότης, καὶ ἀντιγέγραπται πρὸς αὐτὸν διάταξις λέγουσα· ὁπότε θεματίζεις μεταξὺ σοῦ καὶ ἐκείνου, ὅντινα εἰς συνάφειαν τὴν θεράπαιναν τὴν σὴν ἑαυτῷ συζεῦξαι μνημονεύεις, ἀρέσαι καὶ συμφωνηθῆναι, ἵνα σοὶ ὑπὲρ αὐτῆς δώσῃ ἀνδράποδον, ὀφείλεις εἰδέναι ὅτιπερ[6]), εἰ ἠλευθέρωσας ἢ ἐκείνῳ παραδέδωκας καὶ αὐτὸς ἠλευθέρωσεν, ἀνακλητέας τῆς ἐλευθερίας ἐξουσίαν οὐκ ἔχεις, ἀλλὰ τότε μόνον, εἰ μήπω παρῆλθεν ὁ ὡρισμένος τῆς περὶ δόλου ἀγωγῆς χρόνος, τουτέστιν ἡ διετία, καὶ[7]) τὴν πίστιν τοῦ συμφωνηθέντος ῥήγνυσιν, ἐπιζητῆσαι[8]) ὀφείλεις τὴν περὶ δόλου δοθῆναί σοι ἀγωγήν. εἰ δὲ καὶ παρὰ σοὶ ἡ δεσποτεία τῆς θεραπαίνης ταύτης ἀπέμεινεν, προσελθὼν τῷ ἄρχοντι τῆς ἐπαρχίας δύνασαι αὐτὴν μετὰ τῶν ἐξ αὐτῆς γεννηθέντων ἀναλαβεῖν, εἰ μή τις κινηθείη περὶ τῆς τύχης αὐτῆς ζήτησις.

6) A: ὅπερ. 7) A: ἢ καί. Forte εἰ καί. 8) A οὖν addit.

ι'. Δοῦλος στρατευόμενος εἰδήσει τοῦ οἰκείου δεσπότου ἐλευθεροῦται.

ια'. Ὁ μηνύων τὴν σφαγὴν τοῦ φονευθέντος ἰδίου αὐτοῦ δεσπότου δοῦλος τὴν ἐλευθερίαν ἐχέτω ἔπαθλον [b]).

ιβ'. Ἐὰν ἐξέδωκέν τινι ὁ δεσπότης ὡς ἐλευθέραν τὴν ἑαυτοῦ θεράπαιναν, ὁ δὲ ἐλεύθερος ὢν καὶ πιστεύσας τῷ διδόντι ταύτην ἔλαβεν, ἴσως καὶ προικῴων γενομένων συμβολαίων, ἢ μὴ γενομένων μέν, τῆς δὲ αὐτοῦ γνώμης τὸ πρᾶγμα διοικησαμένης, οὐκ ἂν εἴη δίκαιον τὸν τοιοῦτον μὴ συνεστάναι γάμον, ἀλλὰ σιωπηρὰν ἐλευθερίαν ἀκολουθεῖν, εἴτε τῷ ἀνδρὶ εἴτε τῇ γυναικί. τοιούτου γάρ τινος παρὰ τοῦ δεσπότου γεγονότος θεσπίζομεν ἀναρπάζεσθαί τε τὸν τοιοῦτον ἢ τὴν τοιαύτην εἰς εὐγένειαν, καὶ τὸ πρᾶγμα ὡς ἐπ' ἐλευθέραις τε καὶ εὖ γεγονόσι κρίνεσθαι. εἰ δὲ αὐτὸς μὲν οὐ συναρμόσειε τὸν γάμον ὁ θατέρου τῶν προσώπων δεσπότης, εἰδείη δὲ τὸ γινόμενον, καὶ ἐξεπίτηδες ἀποκρύπτοι, ἵνα ὕστερον πρᾶγμα ῥάψοιε τῶν συναφθέντων θατέρῳ, τιμωρούμεθα τὴν τοιαύτην, εἴγε σαφῶς ἀποδειχθείη, κακουργίαν, καὶ ἀφαιρούμεθα τὴν δεσποτείαν παρὰ τῶν τοιοῦτον πονηρῶς βεβουλευμένων· καὶ ἔστω πάλιν καὶ τοῦτο γάμος, ὥσπερ εἰ συνῄνεσεν ὁ κεκτημένος τὴν ἀρχήν, καὶ ὁ μὲν ἐκπιπτέτω τῆς δεσποτείας, αὖθις δὲ εἰς εὐγένειαν ἀναρπαζέσθω τὸ δοῦλον πρόσωπον. τοῦ αὐτοῦ συμβαίνοντος ἀποτελέσματος, εἴπερ συνῄνεσεν ἢ εἴπερ ἐκακούργησεν ὁ κεκτημένος. πρόδηλον οὖν ὡς καὶ οἱ παῖδες οἱ ἐκ τῶν τοιούτων γάμων ἐλεύθεροι καὶ εὐγενεῖς ἔσονται.

ιγ'. Καὶ πολλῷ μᾶλλον ταῦτα κρατείτω, εἴπερ ἔτυχεν ἤδη τὸν οἰκέτην ἢ τὴν θεράπαιναν ἢ νοσοῦντας ἀποπεμψάμενος ἢ καταφρονήσας αὐτῶν, καὶ ἀποβαλὼν τὴν ἐπὶ τῇ δεσποτείᾳ κατ' αὐτῶν γνώμην. ἐκεῖνοι γὰρ ὡς ἤδη καθεστῶτες ἐλεύθεροι, καὶ ἑαυτῶν ἀλλ' οὐχ ἑτέρων ὄντες, οὐκ ἂν ὕστερον ἐνοχλοῖντο παρὰ τῶν κεκτῆσθαι τούτους πάλαι μισησάντων [c]).

ιδ'. Ἡ συγγένεια ὄνομά ἐστιν γενικόν. διαιρεῖται δὲ εἰς τρία·

b) τὸν ἤδη γεγονότα — οὕτως ὃν μετεποιήθη. [9])

σχόλ. Ὁ μηνύων τὸν φόνον τοῦ οἰκείου δεσπότου τὴν ἐλευθερίαν ἐχέτω ὡς ἔπαθλον.

Τὸ αὐτὸ καὶ ὁ μηνύων κρύπτειν μονίταν καὶ κατὰ τὴν νεαρὰν ὁ εὐνουχιζόμενος καὶ κατὰ τὸ α βι. τοῦ κώδ. χριστιανὸς δουλεύων ἑβραίῳ.

c) Ἡ ρνγ φησὶ νεαρὰ τὰ ὑπὸ δούλων τικτόμενα καὶ ἐκτιθέμενα βρέφη καὶ ὑπ' ἄλλων ἀνατρεφόμενα ἐλεύθερα εἶναι. [10])

9) Sic A. Quid haec sibi velint nescio. Sequentia Theodori summam continent (Basil. XLVIII, 18, 1 schol.), ex qua §. 11 confecta est.

10) A subjicit locum Prochiri XXXIV, 17 sub inscriptione τοῦ ἡμετέρου βασιλέως.

λείᾳ ἐτέχθησαν; ἀλλ' οὐδὲ τους ἐκ πλαγίου· ὁ γὰρ μὴ ἔχων ἀνιόντας οὐδὲ τοὺς ἐκ πλαγίου κέκτηται· ἐξ ἐκείνων γὰρ οὗτοι καταλαμβάνονται. μόνην δὲ ἔχουσι τὴν τῶν κατιόντων συγγένειαν οἱ ἀπελεύθεροι, τουτέστι τῶν συλληφθέντων καὶ τεχθέντων αὐτοῖς παίδων καὶ ἐγγόνων καὶ ἐφεξῆς. ὅθεν ἐὰν ἀπελεύθερος ἀδιάθετος τελευτήσῃ, εἰ μὲν ὕπεστιν αὐτῷ παῖς συλληφθεὶς ἢ μετὰ τὴν ἐλευθερίαν ἢ πρὸ τῆς ἐλευθερίας, ὁ καὶ συνελευθερωθεὶς αὐτῷ ἢ προελευθερωθεὶς ἢ καὶ μετὰ τὸ ἐλευθερωθῆναι αὐτὸν ἐλευθερωθείς, οὗτος κληθήσεται ἐπὶ τὸν κλῆρον. τούτου δὲ μὴ ὑπόντος, τὸν πάτρωνα ὁ νόμος ἐπενόησεν. εἰ δὲ διαθέμενος καὶ μηδὲν καταλιπὼν τῷ πάτρωνι ἄπαις ὤν, ἢ παῖδας ἔχων ἢ καὶ ἐγγόνους, ἀποκλήρους δὲ αὐτοὺς ποιήσας, τελευτήσοι, καὶ μὴ δυνηθῶσιν οὗτοι οἱ παῖδες ἀνατρέψαι τὴν αὐτοῦ διαθήκην, τότε ὁ πάτρων τὸ τρίτον μέρος λήψεται, ὥστε λεγάτον ἐκ τούτου μὴ ἀναγκάζεσθαι αὐτὸν καταβαλεῖν [d]).

ιε'. Οὐ μόνον δὲ ὁ πάτρων καὶ ἡ πατρώνισσα καὶ οἱ τούτων κατιόντες κατὰ νόμους καλοῦνται ἐπὶ τὴν τοῦ ἀπελευθέρου κατὰ τὰ εἰρημένα κληρονομίαν, ἀλλὰ καὶ οἱ ἐκ πλαγίου αὐτῶν μέχρι ε βαθμοῦ.

ιϛ'. Εἰ δὲ τοῦ αὐτοῦ πάτρωνος ἢ τῆς πατρωνίσσης ἢ δύο πατρώνων ἢ πατρωνισσῶν ἢ καὶ πλειόνων ὕπεισι παῖδες, ὁ ἐγγύτερος τῷ βαθμῷ εἰς τὰ τοῦ ἀπελευθέρου κληθήσεται πράγματα. εἰς ἀνιόντας, εἰς κατιόντας, καὶ εἰς τοὺς ἐκ πλαγίου. ἀλλ' αὗται μὲν αἱ τρεῖς συγγένειαι ἐπὶ εὐγενῶν σκοποῦνται, ἐπὶ δὲ τῶν ἀπελευθέρων ανιόντας οὐκ ἴσασιν οἱ ἀρχαῖοι. πῶς γάρ, ὁπότε ἐν δου-

d) Περὶ τῶν ἀπελευθέρων ὁ κῶδιξ οὕτως λέγει βι. ϛ' τι'. δ' διατ. η'. [11]) Ἀπελεύθερος ἔχων οὐσίαν ἥττονα τῶν ρ νομισμάτων ὡς θέλει διατίθεται εἰς αὐτήν, κἂν ἔχῃ κἂν μὴ ἔχῃ παῖδας. εἰ δὲ μείζονα τῶν ρ νομισμάτων κέκτηται ὑπόστασιν, εἰ μὲν παῖδας ἔχῃ καὶ διάθηται τὰ κατ' αὐτῶν, οὐκ ἀναγκάζεταί τι καταλιπεῖν τοῖς οἰκείοις πάτρωσιν· εἰ δὲ μὴ διάθηται εἰς τοὺς παῖδας αὐτοῦ, ἀλλ' εἰς ἐξωτικούς, τότε ὀφείλει ἐάσαι τὸ τετραούγκιον τοῖς πάτρωσιν ἢ τοῖς διαδόχοις αὐτῶν ἕως τοῦ ε βαθμοῦ. ἐὰν δὲ γράψῃ αὐτοὺς τοὺς πάτρωνας κληρονόμους εἰς πλεῖον τῶν δ οὐγκιῶν, οὐκ ὀφείλει μειῶσαι λεγάτοις τὰς χρεωστουμένας αὐτοῖς δ οὐγκίας. ἐὰν δὲ ἀδιάθετος τελευτήσῃ ὁ ἀπελεύθερος μὴ ἔχων τέκνα, οἱ πάτρωνες αὐτοῦ λαμβάνουσι πάντα τὰ ὑπάρχοντα αὐτοῖς. εἰ δὲ παῖδας κατέλειψεν, οὐ λήψονται οἱ πάτρωνες πλέον τῶν δ οὐγκιῶν ἐκ τῆς οὐσίας αὐτοῦ, καὶ τότε, ἐὰν ἡ οὐσία ὑπερβαίνει τὰ ρ νομίσματα· εἰ γὰρ ἐλάττων ᾖ, οὐδὲν ὅλως λαμβάνουσιν.

11) Lege δ'. Extat hic locus Basil. ed. Heimb. III p. 287, ubi Theodoro tribuitur.

ιζ'. Εἰ δὲ ἑνὸς πάτρωνος εἴησαν δύο παῖδες, ἄλλου δὲ τρεῖς, εἰς πέντε μερισθήσεται ἡ κληρονομία. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἐκ πλαγίου.

ΤΙΤΛΟΣ ΤΡΙΑΚΟΣΤΟΣ ΟΓΔΟΟΣ.

Περὶ ἐπιτρόπων καὶ κουρατόρων καὶ ἀποκαταστάσεως.

Κεφ. α'. [a])Ἐπιτροπεύονται κατὰ τὸν πολιτικὸν νόμον ἐλεύθεροι οἱ δεφενδεύειν ἤτοι διεκδικεῖν αὐτοὺς διὰ τὴν ἡλικίαν μὴ δυνάμενοι.

β'. Οὐκ ἀπαιτεῖται ὁ ἄνηβος αἰτεῖν ἐπίτροπον ἑαυτῷ ἢ πρὸς αὐτὸν ἐπιδημεῖν.

γ'. Ἐὰν ἄνηβος ἢ νέος μανῇ, εἰ μὲν ἔχει κηδεμόνα, μένει ὑπ' αὐτῷ· εἰ δὲ μὴ, λαμβάνει ὡς ἄνηβος ἢ νέος, οὐ μὴν ὡς μεμηνὼς, κουράτορα, ἕως οὗ ἐστιν ἀφῆλιξ.

δ'. Καὶ τῷ ἀλάλῳ δίδοται ἐπίτροπος.

ε'. Ἐὰν ἔχῃ δίκην πρὸς τὸν ἐπίτροπον ὁ ὀρφανὸς, ἀναγκάζεται αἰτεῖν ἑαυτῷ κουράτορα.

ϛ'. Τῷ υἱῷ τοῦ αἰχμαλώτου ἐπίτροπος οὐ δίδοται, ἀλλὰ τῇ οὐσίᾳ κουράτωρ· ὑποστρέφοντος γὰρ τοῦ πατρὸς, γίνεται αὐτοῦ ὑπεξούσιος, ὡς [εἰ] [4]) μηδέποτε ᾐχμαλωτίσθη.

ζ'. Καὶ τῷ ἔχοντι ἐπίτροπον νοσοῦντα ἢ γέροντα δίδοται κουράτωρ, ὅστις διοικητὴς πραγμάτων μᾶλλόν ἐστι, καὶ ὁ λεγόμενος βοηθὸς κινδύνῳ τῶν ἐπιτρόπων διὰ τοῦ ἄρχοντος προχειρίζεται.

η'. Μόνος ἐπίτροπον δύναται παρασχεῖν ὁ εἰδικῶς ἀπὸ νόμου ἐπιτετραμμένος· οὐ γάρ ἐστι τοῦτο βασιλικῆς ἐξουσίας.

θ'. Καὶ ὁ ἀνθύπατος καὶ ὁ ἄρχων καὶ ὁ ἔπαρχος καὶ ὁ πρὸς καιρὸν ἐπιτραπεὶς ἐπαρχίας διοίκησιν, ἴσως τοῦ ἄρχοντος ἀποθανόντος, ἐπιτρόπους δύνανται δοῦναι.

a) Ση. καὶ ἐν ἐπιστολῇ δίδοται ἐπίτροπος [1]).
Οὐ κουρατορεύει οὔτε ἐπιτροπεύει ὁ μείζων τῶν ο̄ ἐτῶν [2]).
Ὁ ἐπίτροπος μὴ ποιῶν ἰμβεντάριον, τουτέστιν ἀπογραφὴν τῶν ὀρφανικῶν πραγμάτων, ὡς σούσπεκτος ἤτοι μεμπτέος ἀποκινεῖται καὶ ἀτιμοῦται, καὶ οὐδὲ διὰ θείας ἀντιγραφῆς ἀπαλλάττεται τῆς ἀτιμίας, ὡς βι. δ' [3]) τι'. να' διατ. ιγ' τοῦ κώδικος.

1) Contra Cod. IV, 29, 2.
2) D. XXVII, 1, 2 pr.
3) Lege ε'.
4) Deest in A.

ι΄. Οἱ στρατηγοὶ πάντες ἐπιτρόπους διδόασιν, ἀλλὰ μόνους τοὺς ὄντας ἐκ τῶν πόλεων αὐτῶν ἢ τῶν ἐπ᾽ αὐταῖς ἀγρῶν.

ια΄. Προτιμῶνται τῶν θηλειῶν οἱ ἄῤῥενες εἰς τὰς ἐπιτροπὰς τελείας ἡλικίας ὑπάρχοντες, εἰ μὴ ἄρα μήτηρ ἢ μάμμη πρόκειται. αὗται γὰρ προσκαλοῦνται εἰς τὸ ἐπιτροπεύειν προτιμώμεναι παντὸς ἐπιτροπεύειν ὀφείλοντος, ἐξῃρημένων μόνων τῶν κατὰ διαθήκας ἐαθέντων.

ιβ΄. Ὁ πλησιαίτερος συγγενὴς ἐπιτροπεύει. εἰ δὲ πολλοὶ τὸν αὐτὸν ἐπέχουσι βαθμὸν, οἱ πάντες ἐπιτροπεύουσιν.

ιγ΄. Ἀποκαθίστανται οἱ ἥττονες τῶν κε΄ ἐτῶν κατὰ τῶν πραθέντων αὐτῶν ἐνεχύρων παρὰ τῶν ἰδίων δανειστῶν, εἰ μὴ ἄρα ὁ τούτων πατὴρ τὰ ἐνέχυρα τοῖς δανεισταῖς ἔδωκε, καὶ οὐκ αὐτοί.

ιδ΄. Οὐκ ἐν πᾶσιν οἱ νέοι ἀποκαθίστανται, ἀλλ᾽ ἐν οἷς ὑφ᾽ ἑαυτῶν ἢ ὑφ᾽ ἑτέρων ἢ τὰ προσόντα ἀπολέσαντες ἐζημιώθησαν, ἢ τὰ ἁρμόζοντα μὴ κτησάμενοι οὐκ ἐκέρδησαν, ἢ παραλόγως ἐνοχοποιηθέντες ἐβλάβησαν.

ιε΄. Ἡ ἁρμόζουσά τινι ἀποκατάστασις παραπέμπεται καὶ ἐπὶ τοὺς αὐτοῦ κληρονόμους.

ις΄. Τὸ τοῦ ἀφήλικος ἀκίνητον πρᾶγμα καλῶς πωλεῖται διὰ ἰδικὸν αὐτοῦ χρέος ἢ διὰ πατρῷον ἢ δημόσιον, δηλονότι ἐπὶ φανερᾶς κριτοῦ ἀποφάσεως.

ιζ΄. Καλῶς ἀνατρέπουσιν οἱ ἥττονες ἅπερ κατὰ δόλον ἐπώλησαν κακῶς οἱ αὐτῶν κηδεμόνες.

ιη΄. Ἐὰν εἴπῃ ἑαυτὸν μείζονα κατὰ πλάνην ὁ ἥττων, οὐδὲν ἔλαττον ἀποκαθίσταται.

ιθ΄. Ὁ [b]) ἥττων συγγνώμην ἡλικίας αἰτήσας δύναται ἀνατρέψαι, ὃ κακῶς ἐπώλησεν, εἴσω ἐνιαυτοῦ μετὰ κε΄ ἔτη. ὡσαύτως δὲ καὶ ὃ κακῶς ἠγόρασεν ἢ ἐνήλλαξε, δύναται αὐτὸς ἀνατρέψαι, τὸ καταβληθὲν ἐπαναλαμβάνων τίμημα, εἴσω τοῦ εἰρημένου χρόνου. τοῦτο δὲ τὸ προνόμιον καὶ κληρονόμοις αὐτοῦ παραπέμπεται. ἐὰν δὲ χαρίσηταί τι ἀφῆλιξ τινι πρᾶγμα αὐτοῦ, δύναται καὶ μετὰ τὸ παρελθεῖν τὰ κε ἔτη ἐντὸς τετραετίας ἀγωγὴν ποιεῖσθαι καὶ τὸ οἰκεῖον ἐπαναλαμβάνειν πρᾶγμα.

κ΄. Ἡ μὲν τοῦ ἀνηλίκου πρὸς ἄνθρωπον χαριστικὴ ὥρισται

b) Σχόλιον. Τοῦτο τὸ κεφάλαιον Θαλέλαιος καὶ Δωρόθεος ἐν τῷ κώδικι ἐξηγούμενοί φασιν, ὅτι ὁ ἥττων, κἂν ἤτησε συγγνώμην ἡλικίας κἂν οὐκ ἤτησεν, δύναται τὰ μὲν εἰρημένα συναλλάγματα, εἴτε μόνος αὐτὸς εἴτε καὶ ὁ κουράτωρ αὐτοῦ, χωρὶς μέντοι δεκρέτου, ταῦτα ἔπραξεν, μετὰ τὸν κε΄ ἐνιαυτὸν μέχρις ἑτέρας πενταετίας ἐνάγων ἀνατρέπειν· τὴν μέντοι δωρεὰν ἐντὸς δεκαετίας μεταξὺ παρόντων καὶ εἰκοσαετίας ἀπόντων. τὸ κείμενον δὲ τοῦ συντομέως Θεοδώρου ἐστὶν, καὶ τίνι δεῖ μᾶλλον πιστεύειν οὐκ ἄδηλον.

τῷ νόμῳ, μεϑ' ὅσον χρόνον τὴν βεβαίωσιν ἔχει· ἡ δὲ τούτου πρὸς ϑεὸν τῶν κτημάτων ἀφιέρωσις, μεϑ' ὅσον χρόνον αὐτὸς μονάζειν δύναται καὶ ὅλον ἑαυτὸν μετὰ τῆς περιουσίας ἀνατιϑέναι τῷ ϑεῷ, κατὰ τοῦτον τὸν χρόνον, καὶ εἰ μὴ ἑαυτὸν ὅλον ἀναϑῇ τῷ ϑεῷ, ἀλλά τι τῶν αὐτοῦ κτημάτων, ἀμεταμέλητον ὥσπερ ἑαυτὸν, οὕτω καὶ ὃ προσήνεγκε τῶν ἑαυτοῦ, μετὰ τὴν ἀφιέρωσιν καὶ μεταμελούμενος ἀπεργάζεται.

ΤΙΤΛΟΣ ΤΡΙΑΚΟΣΤΟΣ ΕΝΝΑΤΟΣ.

Περὶ καινοτομιῶν καὶ ὅρων.

Κεφ. α'. Καινὸν ἔργον ποιεῖ τις ἢ διὰ τὸ οἰκοδομεῖν ἢ δια τὸ καταλύειν τίποτε καὶ τὴν προτέραν ὄψιν ἐναλλάσσειν.

β'. Ὁ τὸν παλαιὸν οἶκον ἀνανεῶν τὸ ἀρχαῖον σχῆμα μη παρεξίτω, μηδὲ ἀφαιρείσϑω τὰ φῶτα ἢ τὴν ἄποψιν τῶν γειτόνων, εἰ μὴ ἄρα δουλείαν ἔχοι τοιαύτην κατὰ σύμφωνον ἢ ἐπερώτησιν παραχωρηϑεῖσαν αὐτῷ, ἢ ἐπιτρέπουσαν ὡς βούλεται τὸ παλαιὸν ἐναμείβειν σχῆμα. ὁ γὰρ τοιαύτην ἔχων δουλείαν ἀκωλύτως ἃ βούλεται οἰκοδομείτω, εἰ καὶ βλάπτει τοὺς γείτονας, ἐπειδὴ τοῦτο κατὰ τὸ σύμφωνον ἢ κατὰ τὴν ἐπερώτησιν αὐτῷ ἐπιτέτραπται. ἡνίκα δὲ δύο οἶκοι ἀντικρὺ ἀλλήλων εἰσί, χρὴ μεταξὺ αὐτῶν ιβ' πόδας εἶναι, ἀρχομένους ἀπὸ τοῦ ἐπικειμένου τοῖς ϑεμελίοις οἰκοδομήματος καὶ μέχρι παντὸς τοῦ ὕψους φυλαττομένους. τούτου γὰρ τοῦ διαστήματος φυλαττομένου, ἔξεστιν ἑκάστῳ εἰς ἄπειρον ὕψος τὸν ἴδιον ἐγείρειν οἶκον, καὶ ϑυρίδας ἐν αὐτῷ παρακυπτικὰς κατασκευάζειν, εἴτε νέον οἰκοδομεῖν εἴτε παλαιὸν οἶκον ἀνασκευάζειν βούλοιτο ἢ τὸν ἐκ πυρὸς διαφϑαρέντα.

γ'. Ἐν ταύτῃ τῇ εὐδαίμονι πόλει ἄποψιν ϑαλάσσης τοῦ γείτονος οὐδεὶς δύναται διὰ μόνων ιβ' ποδῶν κωλύειν, ἐὰν ἐξ εὐϑείας δηλονότι ὁρᾷ τὴν ϑάλασσαν ὁ γείτων, ἑστὼς ἐν τοῖς ἰδίοις οἴκοις ἢ καϑημένος ἐν αὐτοῖς, καὶ μὴ ἀναγκαζόμενος παρατρέπειν ἑαυτὸν εἰς πλάγιον, ἐφ' ᾧ ἰδεῖν τὴν ϑάλασσαν. ἐὰν δὲ ρ ποδῶν ἐν μέσῳ τῶν δύο οἴκων εἴη διάστημα, ἐξέστω ἀκωλύτως κτίζειν τῷ βουλομένῳ καὶ τὴν ἐπὶ ϑάλασσαν ἄποψιν ἀφαιρεῖσϑαι τοῦ γείτονος.

δ'. Εἰ δέ τις ἀπὸ μαγειρείου ἢ ἀφεδρῶνος ἢ κλιμακῶνος ἢ ἀπὸ βαστερνίων ἤγουν τῶν λεγομένων παρόδων ἤτοι διαβατικῶν ἄποψιν ἐπὶ ϑάλασσαν ἔχῃ, τὴν τοιαύτην ἄποψιν καὶ ὁ ἐντὸς ρ πο-

δῶν οἰκοδομῶν ἀκωλύτως ἀφαιρεῖται, εἰ μονον ιβ πόδες εἰσὶ μεταξὺ τῶν δύο οἴκων. εἰ δὲ καὶ σύμφωνόν ἐστιν, ἐπιτρέπον τινὶ τὴν οἰκοδομίαν, κρατείτω τὸ σύμφωνον, εἰ καὶ βλάπτει τὸν γείτονα περὶ θαλάσσης ἄποψιν, εἴτε αὐτὸς ὁ νῦν δεσπόζων τοῦ οἴκου συνεφώνησεν εἴτε οἱ προκτησάμενοι αὐτοῦ τὸν οἶκον· οὐδὲ γὰρ προσήκει τὰς ὑπαρχούσας τινὶ δουλείας διὰ τῶν γενικῶν νόμων ἀναιρεῖσθαι.

ε'. Κατὰ δένδρων μέντοι καὶ κήπων δουλεία ἀπόψεως οὐ φυλάττεται.

ϛ'. Δουλείαν ἐπιτιθέναι τοῖς ἐπικοίνοις οἰκήμασιν ὁ εἷς τῶν κοινωνῶν παραγνώμην τοῦ ἑτέρου οὐ δύναται.

ζ'. Ὅτε μέσου ὄντος στενωποῦ ἢ πλατείας οἰκοδομῇ τις τὸν ἑαυτοῦ οἶκον, εἰ καὶ πλέον ἔχει τῶν ιβ ποδῶν τὸ τοῦ στενωποῦ ἢ τῆς πλατείας μέτρον, μὴ ἀφαιρείσθω τὸ περιττὸν καὶ τῷ ἰδίῳ οἴκῳ προστιθέτω· οὐδὲ γὰρ ἐπὶ βλάβῃ τοῦ δημοσίου τοὺς ιβ πόδας ὥρισεν ἡ διάταξις, ἀλλ' ὥστε μὴ στενώτερον τῶν ιβ ποδῶν εἶναι τὸν μεταξὺ τῶν οἴκων ἀέρα, ὅτε δὲ πλεῖον εὑρεθῇ τὸ τῆς ῥύμης ἢ τῆς πλατείας μέτρον, μηδὲν ἐξ αὐτῶν ἀφαιρεῖσθαι, ἀλλὰ τῇ πόλει περισώζεσθαι τὰ οἰκεῖα. ἐὰν δὲ παλαιῶν ὄντων τῶν οἴκων εὑρεθῇ ὁ μεταξὺ αὐτῶν καθαρὸς ἀὴρ στενώτερος ὢν τῶν ιβ ποδῶν, μηδενὶ αὐτῶν ἐξέστω παρὰ τὸ παλαιὸν σχῆμα ὑψοῦν τὸν ἴδιον οἶκον ἢ θυρίδας ποιεῖν. εἰ μέντοι πόδες ι εἴησαν ἐν μέσῳ καὶ μὴ ἐλάττονες, τότε παρακυπτικὰς μὲν μὴ ἐξέστω τῷ κτίζοντι ποιεῖν, εἰ μὴ πρότερον εἶχεν αὐτάς· φωταγωγοὺς δὲ ἐξέστω αὐτῷ ποιεῖν ἀπὸ ἓξ ποδῶν τοῦ πάτου ἀνοιγομένας, καὶ μηδενὸς δυναμένου ποιεῖν ψευδοπάτιον ἐν τῷ ἰδίῳ οἴκῳ καὶ διὰ τούτου τὴν φωταγωγὸν θυρίδα παρασκευάζειν παρακυπτικήν.

η'. Τὸν ἐπίκοινον τοῖχον οὐδέτερος τῶν κοινωνῶν δύναται καταλύειν ἢ ἀνανεοῦν παραγνώμην τοῦ κοινωνοῦ· ἐπειδὴ οὐκ ἐστὶ μόνος δεσπότης.

θ'. Ἀπὸ γυμνοῦ τόπου οὐκ ἔστι κώλυσις τῷ ὑψοῦντι.

ι'. Ἐάν τις τὸν πεσόντα οἶκον ἀνανεῶν βούληται ὑψῶσαι καὶ ἐμποδίσαι τοῖς τοῦ γείτονος φωσὶν ἢ ἕτερόν τι ποιῆσαι ἐπὶ βλάβῃ τοῦ γείτονος, ἀναγκάζεται καὶ τὸν τύπον καὶ τὴν κατάστασιν τῶν πρῴην οἰκημάτων καὶ τὸ παλαιὸν σχῆμα φυλάττειν.

ια'. Οὕτινος τὰ οἰκήματα δικαίῳ δουλείας ὑπέρκειται, ἐν τῇ ἐξουσίᾳ τούτου ἐστὶν ἐπ' ἄπειρον ταῦτα ὑψοῦν, ἐν [1]) ᾧ μέντοι τὰ ὑποκείμενα οἰκήματα τοῦ γείτονος μὴ βαρύνειν δουλείᾳ βαρυτέρᾳ, παρ' ἣν φέρειν ὀφείλουσιν.

1) Malim ἐφ'.

ιβʹ. Οὐ καλῶς κωλύει τὶς τὸν γείτονα αὐτοῦ ἀνοίγοντα πυλεῶνα κατὰ τῆς δημοσίας ἐντὸς τοῦ ἀπὸ τῶν κεράμων αὐτοῦ σταλαγμοῦ, ἐν ᾧ μὴ βλάπτει τὴν πάροδον.

ιγʹ. Ἐὰν ἡ πηγὴ, ἀφʼ ἧς ἕλκει τὶς ὕδωρ, ξηρανθεῖσα ἐπί τινας χρόνους αὖθις πρὸς τὰς ἑαυτῆς ἐπανέλθῃ φλέβας, καὶ πάλιν τὸ ὕδωρ ἄρξηται φέρεσθαι, ἀνανεοῦται αὐτῷ ἡ δουλεία, καὶ ἀποκαθίσταται αὐτῷ ὁ τοῦ ὕδατος ἑλκυσμὸς, καθὼς ἦν τὸ πρότερον.

ιδʹ. Οὔτε φοῦρνον οὔτε ἑστίαν ἐν τῷ ἐπικοίνῳ τοίχῳ δύναταί τις ποιεῖν.

ιεʹ. Ἐάν τις ποιήσῃ τυρέψιον, ἐξ οὗ καπνὸς ἐκπεμπόμενος καταβλάπτει τοὺς ἐν τοῖς ὑψηλοτέροις οἰκοῦντας, δύνανται κατὰ νόμους οἱ βλαπτόμενοι κωλύειν αὐτὸν εἰσπέμπειν τὸν καπνόν. ἀλλὰ καὶ τὸ ἀνάπαλιν, εἰ οἱ ἐν ταῖς ὑψηλοτέραις στέγαις οἰκοῦντες ὕδωρ ῥίπτουσιν ἢ κόπρον, καὶ βλάπτουσι τοὺς ἐν τοῖς χθαμαλωτέροις οἰκοῦντας, κωλύονται τοῦτο ποιεῖν. ἐπὶ τοσοῦτον γὰρ ἔξεστί τινι ποιεῖν τι ἐν τοῖς ἑαυτοῦ, ἐφʼ ὅσον ἕτερον μὴ καταβλάπτῃ. τὸ αὐτὸ καὶ περὶ δυσωδίας.

ιςʹ. Ἐὰν ὁ τοῖχός σου κατὰ τοῦ οἴκου μου κλίνῃ ἥμισυ ποδὸς, ἀναγκάζω σὲ ὀρθοῦν αὐτόν.

ιζʹ. Ἐὰν δένδρον τοῦ γείτονος ἐν τῷ μεσαυλίῳ κείμενον μεγάλας ἐκτεῖναν ῥίζας τοὺς θεμελίους τῆς ἐμῆς οἰκίας βλάπτῃ, προνοίᾳ τοῦ ἄρχοντος ἀναγκαζέσθω ὁ γείτων ἐκτέμνειν αὐτό.

ιηʹ. Τῷ δούλῳ κτίζοντι καλῶς παραγγέλλει τὶς περὶ καινοτομίας. δοῦλος δὲ ἑτέρῳ κτίζοντι παραγγέλλειν οὐ δύναται.

ιθʹ. Ἐὰν πολλῶν τινων εἴη τὸ πρᾶγμα, περὶ ὃ γίνεται τὸ ἔργον, εἰ καὶ ἑνὶ μόνῳ παραγγελθῇ, ὀρθῶς γίνεται ἡ παραγγελία, καὶ δοκεῖ πρὸς πάντας τοὺς δεσπότας γεγονέναι. εἰ δὲ εἷς τῶν δεσποτῶν μετὰ τὴν παραγγελίαν ἐποικοδομῇ, οὐκ ἐνάγονται περὶ τούτου τοῦ ἔργου οἱ ἄλλοι. οὐδὲ γὰρ χρὴ τὰ παρὰ ἑτέρου γινόμενα καταβλάπτειν τοὺς μηδὲν πεποιηκότας.

κʹ. Ἐάν τις κατὰ ἀλλοτρίου τοίχου κατὰ βίαν θυρίδα ποιήσῃ, ἀναγκάζεται ἰδίοις ἀναλώμασι τὸ ἀρχαῖον ἀποκαταστῆσαι σχῆμα.

καʹ. Οὐδεὶς δύναται κόπρον πλησίον τοῦ ἀλλοτρίου τοίχου καταχέειν, εἰ μὴ τοιαύτην ἔχει δουλείαν.

κβʹ. Ἐάν τις γένηται χρεία ὑπαλλαγῆς ὀστράκων σωληναρίων τῶν καθεδρίων, ἕκαστος ἀπὸ τοῦ ἰδίου καθεδρίου ἀρχόμενος διορθούσθω, μέχρις ἂν φθάσῃ ἑτέρου γείτονος καθέδριον.

κγʹ. Τοὺς ὑπονομιαίους καράβους οὕτως δεῖ καθαίρειν καὶ ἐπανορθοῦν ἀρχόμενος ἕκαστος ἀπὸ τῶν ἰδίων τόπων, μέχρις ἂν

TAYLOR INST. OXFORD

φθάσωσιν ἑτέρων ἑτεροδεσπότων τόπων ἤγουν χρηστηρίων, κατα ἀναλογίαν τῶν ἀνωτέρως ῥηθέντων, καὶ ὄντων ἐν τοῖς κατάγουσιν ἐπικοίνων καθεδρίων. εἰ δὲ καὶ κῆπον παρέρχεται ὁ αὐτος ὑπονομιαῖος κάραβος, τὸν κύριον τοῦ κήπου ὀρύγειν τὴν ἀρδευομένην γῆν καὶ ἀνακαθᾶραι τοὺς νεμομένους, τῆς μηροποιήσεως ὀφειλαύσης γενέσθαι ἐκ τοῦ αὐτοῦ νεμομένου τὸν τοιοῦτον κῆπον, τῆς σαπρίας ῥιπτομένης ἔξω τοῦ τοιούτου κήπου.

κδ'. Οὐ συνίσταται τοιοῦτον εἶδος δουλείας, ὥστε μὴ ἐξεῖναί με ἐν τῷ οἴκῳ μου τὴν ἑστίαν ἀνάπτειν, ἢ πῦρ ἀνάπτειν, καὶ καθέζεσθαι, ἢ λούεσθαι· ὅθεν κἂν ταῦτα [2]) συμφωνηθῇ, ἀνίσχυρα κατὰ τὸν νόμον εἰσίν.

κε'. Ὅσα σύμφωνα γένηται ὑπεναντία ἢ νόμων ἢ τῶν καλῶν τρόπων, ταῦτα μηδεμίαν ἔχειν ἰσχὺν, ἀναμφιβόλου νόμου ἐστίν.

κς'. Ἐάν τις πιπράσκων οἶκον προείπῃ τῷ ἀγοραστῇ γενικῶς, ὅτι δουλείᾳ βεβάρηται ὁ οἶκος, οὐκ ἀναγκάζεται δουλείας ἐλεύθερον αὐτὸν παραδοῦναι. ὅθεν κἂν μὴ ἐδούλευσε, δύναται αὐτῷ δουλείαν ἐπιτιθέναι, πρὸ μέντοι τῆς παραδόσεως, ἵνα ἢ οἴκῳ τοῦ πράτου δουλεύσῃ ἢ ἀλλοτρίῳ οἴκῳ. εἰ δὲ, ὅτε πικράσκῃ, ἰδικῶς εἴπῃ· τῷ δεῖνι δουλεύει ὁ οἶκος, καὶ παραχωρήσει ἐκείνῳ δουλείαν, ζήτησιν οὐκ ἔχει.

κζ'. Τοῦ μὴ ἐξεῖναί τινι καπνὸν ἀπὸ ποδοψίου ἢ καπνοδοῦχον βαλανείου ἐπιπέμπειν τῷ γείτονι ἢ κόπρον ἢ ὕδωρ ῥίπτειν, εἶδος δουλείας ἐστίν.

κη'. Ἐὰν χρεωστῶ σοι δουλείαν τοῦ μὴ κτίσαι, καὶ κτίσω, καὶ παρέλθῃ μακρὸς χρόνος ἐπὶ μὲν τῶν παρόντων ἡ δεκαετία ἐπὶ δὲ τῶν ἀπόντων ἡ εἰκοσαετία, ἀναιρεῖταί σοι ἡ κατ' ἐμοῦ δουλεία διὰ τοσούτου χρόνου.

κθ'. Κλίμακα τοῦ κοινοῦ τοίχου πλησίαν δύναμαι στῆσαι. οὐδεμία γὰρ ἐντεῦθεν προσγίνεται βλάβη διὰ τὸ τὴν ἀφαίρεσιν αὐτοῦ εὔκολον εἶναι.

λ'. Ἐὰν χρεωστῇς μοι τοιαύτην δουλείαν, ὥστε μὴ ἐξεῖναί σοι εἰς ὕψος αἴρειν τὴν σὴν οἰκίαν, ἵνα μὴ ἐμποδίσῃ τῷ φωτὶ τῆς ἐμῆς οἰκίας, ὅπερ διὰ τῶν θυρίδων τῶν οὐσῶν ἐν τῷ ἐμῷ οἴκῳ ἐχορηγεῖτό μοι, ἐγὼ δὲ ἐποφειλόμενος τὴν δουλείαν ἐπὶ ι ἢ κ ἔτη ἥλωσα τὰς ἐμὰς θυρίδας, ἢ ἀνῳκοδόμησα αὐτάς, τουτέστιν ἔφραξα, καὶ ἐπέμεινε τοῦτο τὸ σχῆμα ἐπὶ τὸν εἰρημένον χρόνον, τηνικαῦτα διαφθείρεται τὸ τῆς δουλείας δίκαιον, ἡνίκα ἀνύψωσας σὺ τὴν σὴν οἰκίαν καὶ ἔμεινεν αὕτη εἰς ὕψος ἀρθεῖσα χρόνον δεκαετῆ ἢ εἰκο-

2) A: κανταῦθα.

σαετῆ. ἰδοὺ γὰρ ἐνταῦθα κἀγὼ τῇ δουλείᾳ οὐκ ἐχρησάμην ἐν τῷ πεφραγμένας ἔχειν τὰς θυρίδας, καὶ σὺ σαυτῷ περιεποίησας τὴν ἐλευθερίαν τῷ ἀνυψῶσαί σε. δι' ὃ ἀπώλετό μοι ἡ δουλεία. εἰ μέντοι ἐμοῦ κεκλεισμένας ἔχοντος τὰς θυρίδας ἐπὶ τοσοῦτον χρόνον, οὐδὲν ὑπὸ σοῦ γέγονε καινότερον, τουτέστιν οὐκ ἀνύψωσας τὸν ἑαυτοῦ οἶκον, ἀκέραιός μοι ἐστὶν ἡ δουλεία. καὶ ἐὰν ἀνοίξω τὰς θυρίδας μετὰ ι ἢ κ ἔτη, σὺ δὲ θέλεις ἀνυψῶσαι, δύναμαί σε κωλύειν διὰ τὸ προσόν μοι δίκαιον.

λα'. Ἐὰν παραχωρηθῇ μοι δουλεία, ὥστε ἐξεῖναί μοι τὰς ἐμὰς δοκοὺς τοῖς σοῖς ἐπιτιθέναι οἴκοις καὶ τὸν σὸν βαρύνειν τοῖχον, εἶτα ἐπεθέμην τὸν σὸν τρυπήσας τοῖχον ἐκεῖ τὰς ἐμὰς δοκούς, ἀφελόμην δὲ μετὰ ταῦτα καὶ δεκαετίαν ἔμεινα μὴ ἀποτιθέμενος ἐν ταῖς γενομέναις ὀπαῖς τὰς ἐμὰς δοκούς, οὐδὲ εἷς σοι χρόνος περιποιήσει ἐλευθερίαν. εἰ δὲ ἐμοῦ τὰς δοκοὺς ἀφελομένου, σὺ τὰς τρύπας ἔφραξας καὶ ἀνῳκοδόμησας αὐτάς, καὶ μεθ' ὃ ἀνῳκοδόμησας ι ἢ κ ἔτη παρῆλθον, προσεγένετό σοι ἐλευθερία. διὰ τῆς χρήσεως γὰρ ἔλαβες τὴν δεσποτείαν ταύτην ἐπὶ τοσοῦτον χρόνον ἀνοικοδομηθείσας ἔχων τὰς ὀπάς. εἰ δὲ μηδὲν ἐποίησας καινότερον, ἀλλ' εἴασας ταύτας ἐπὶ σχήματι, σώζεταί μοι διὰ παντὸς τὸ τῆς δουλείας δίκαιον, καὶ βουληθέντι μοι τυχὸν μετὰ κ ἔτη πάλιν ἀποθέσθαι τὰς δοκοὺς κατὰ τὸν σὸν τοῖχον ἐν ταῖς αὐταῖς ὀπαῖς, οὐδὲν ἐναντιωθήσεται, διὰ τὸ μὴ κτήσασθαί σε ἐλευθερίαν ἐκ τοῦ μὴ χρᾶσθαι.

λβ'. Τῆς ἐπὶ τάφον ἀγούσης ὁδοῦ οὐδέποτε ἡ δουλεία τῇ τοῦ χρόνου παραδρομῇ ἐκ τοῦ μὴ χρᾶσθαι φθείρεται.

λγ'. Ὁ ὑπ' αἰτίαν ὂν ξύλον πωλήσας, εἰ μὲν ἠγνόει, κατέχεται τῇ περὶ ἐκδικήσεως ἀγωγῇ ἐπὶ τῷ πλείονι τῆς ἀξίας τιμῆς· εἰ δ' ἠπίστατο καὶ ἐσιώπησεν, κἀντεῦθεν ἠπάτησεν τὸν ἀγοραστήν, ὅσα ἐκ ταύτης τῆς ἀγορασίας ὑπέστη ζημιώματα, ἀναγκάζεται ο πράτης παρασχεῖν. κἂν γὰρ ὁ οἶκος ἐκ τῆς αἰτίας τοῦ ξύλου κατέπεσεν, εἰς τὴν ἀποτίμησιν τοῦ οἴκου κατέχεται.

λδ'. Ὅστις χωρὶς κελεύσεως βασιλικῆς καταπεμφθείσης τῷ ἐπάρχῳ τῆς πόλεως πολλὰς ῥύμας ἢ καὶ μέρη τούτων τοῖς ἰδίοις ἀναφράξει οἴκοις ἢ καταχρήσηται ταῖς στοαῖς εἰς οἰκείαν χρῆσιν ἀφελών, ἀναμφισβητήτως τὰ ἀρχαῖα δίκαια τῇ πόλει ἀποδώσει.

λε'. Ἐὰν εἰς τὸ ἐπίκοινον ῥεῖθρον εἷς τῶν κοινωνῶν δαπανήσῃ ἀνακαινίζων τοῦτο, ἕξει κατὰ τοῦ ἑτέρου τὴν ὑπὲρ τοῦ αὐτοῦ μόνου τοῦ ἐπικοίνου πράγματος ἀγωγήν, ἀπαιτῶν τὸ γενόμενον δαπάνημα ἐφ' οἷς ἀνήλωσεν.

λϛ'. Ἐάν τίς σοι παραχωρήσῃ δίκαιον ἀντλήσεως εἰς τὸ διαφέρον αὐτῷ ὕδωρ, ἀναγκάζεταί σοι καὶ ἄκων δουλείαν τῆς ὁδοῦ

παραχωρῆσαι, εἴπερ ἄλλως μὴ δύνασαι χρήσασθαι τῷ τῆς ἀντλήσεως δικαίῳ.

λζ'. Οὐκ ἔξεστί τινι σωλῆνας προσπλάσαι ἤτοι ζεῦξαι τῷ ἐπικοίνῳ τοίχῳ, ὡς δι' αὐτῶν ἕλκειν ὕδωρ.

λη'. Πᾶσα δουλεία καὶ πᾶσα χρῆσις ἐπὶ τῶν μὴ κεχρημένων διὰ τῆς τοῦ χρόνου παραδρομῆς ἐπὶ μὲν παρόντων δεκαετίᾳ, ἐπὶ δὲ ἀπόντων εἰκοσαετίᾳ ἀπόλλυται.

λθ'. Ὁ καλῇ πίστει μὲν ἀγοράσας ἔδαφος, μετὰ δὲ τὸ γνῶναι τοῦτο εἶναι ἀλλότριον κτίσας ἐν αὐτῷ, τὰ μὲν δαπανήματα οὐκ ἀπαιτεῖ, συγχωρεῖται δὲ τοῦ ἐδάφους περιελεῖν τὸ οἰκοδόμημα δίχα ζημίας τοῦ δεσπότου τοῦ ἐδάφους.

μ'. Ἐὰν ἀλλότριον ἀγρὸν ἀγνοῶν τις καλῇ πίστει ἀγοράσας σπείρῃ ἢ κτίσῃ ἐν αὐτῷ, χρὴ τὸν δικαστὴν μὴ ὡς ἔτυχεν ἀποφαίνεσθαι, ἀλλὰ τὰ πρόσωπα καὶ τὰς αἰτίας σκοπεῖν. τὰ μὲν πρόσωπα οὕτως· ἐὰν ὁ ἀληθὴς δεσπότης τοῦ ἀγροῦ εὔπορος ὢν τὰ αὐτὰ ἔμελλε ποιεῖν καὶ οἰκοδομεῖν ἢ γεωργεῖν τὸν ἀγρὸν, καταδικάζειν αὐτὸν δοῦναι τὴν γενομένην δαπάνην, καὶ οὕτω τὸν ἀγρὸν ἀναλαβεῖν, τουτέστιν εἰς εἴ τι [3]) βέλτιον ἐγένετο ὁ ἀγρὸς εἰς τὸ δαπάνημα αὐτὸν καταδικάζει. ταῦτα μὲν οὖν εἰ εὔπορος ὢν ὁ κύριος τοῦ ἀγροῦ ἔμελλε ταῦτα ποιεῖν. εἰ δὲ τυχὸν πένης ὢν οὐκ ἐβούλετο ταῦτα ποιεῖν, ἀρκεῖ τῷ καλῇ πίστει νεμομένῳ τὸν ἀγρὸν δίχα βλάβης τοῦ ἀγροῦ περιελεῖν πάντα ἃ ἐποίησεν, εἰ μὴ ὁ τοῦ ἀγροῦ δεσπότης ἑτοίμως ἔχῃ διδόναι τῷ νεμομένῳ, ὅσα μέλλει λαμβάνειν μετὰ τὸ καταλυθῆναι τὸ οἰκοδόμημα τὰς ὕλας πιπράσκων. τὰς δὲ αἰτίας οὕτω χρὴ σκοπεῖν· τυχὸν εἰ ὁ τοῦ ἀγροῦ δεσπότης πράσιμόν αὐτὸν ἔχει, ὡς μέλλειν πωλεῖν αὐτὸν, τότε γὰρ οὐ συγχωρεῖται, κἂν ἄπορός ἐστι, μόνην τὴν τῶν ὑλῶν παρέχειν διατίμησιν, ἀλλ' εἰς εἴτι βελτίων γέγονεν ὁ ἀγρὸς καταδικάζεται.

μα'. Εἴ τις κακῇ πίστει πράγματα νεμόμενος ἢ κατὰ πρᾶσιν ἢ κατὰ δωρεὰν ἢ ἄλλως ταῦτα ἐκποιήσει, ὁ δὲ νομίζων τὰ αὐτὰ πράγματα προσήκειν αὐτῷ τοῦτο γινώσκων ἐντὸς ι ἐνιαυτῶν μεταξὺ τῶν παρόντων ἢ κ μεταξὺ τῶν ἀπόντων μὴ διαμαρτύρηται κατὰ τοὺς νόμους τὸν ἀγοραστὴν ἤτοι τὸν τὴν δωρεὰν δεχόμενον ἢ ἐκεῖνον εἰς ὃν τὰ πράγματα ἄλλῳ οἱῳδήποτε τρόπῳ μετενεχθείη, τὸν τὰ τοιαῦτα πράγματα κομιζόμενον βεβαίως ταῦτα ἔχειν μετὰ [τὴν] τῆς δεκαετίας δηλονότι ἐπὶ τῶν παρόντων καὶ τῆς εἰκοσαετίας ἐπὶ τῶν ἀπόντων παραδρομήν. εἰ δὲ ἀγνοεῖ ὁ ἀληθὴς τῶν ἐκποιηθέντων πραγμάτων δεσπότης, καὶ ὅτι τὰ πράγματα αὐτῷ προσήκει καὶ ὅτι γέγονεν ἐκποίησις, κελεύομεν μὴ ἄλλως τοῦτον ἀποκλείεσθαι, πλὴν εἰ μὴ διὰ τῆς παραγραφῆς τῆς τρια-

3) A: ἔτι.

κονταετίας, μη δυναμένου λέγειν τοῦ τὰ πράγματα τούτῳ τῷ τρόπῳ νεμομένου, ὅτι αὐτὸς καλῇ πίστει νέμεται, ὁπότε παρὰ τοῦ κακῇ πίστει νεμηθέντος ταῦτα ἐκομίσατο. περὶ δὲ τῆς παραγραφῆς τῆς δεκατείας ταῦτα διατυπῶσαι συνείδομεν, ὥστε εἴποτέ τις ἐν τῇ εἰρημένῃ τῆς δεκαετίας χρονικῇ παραγραφῇ ἐπί τινας μὲν ἐνιαυτοὺς παρὼν εἴη ἐπί τινας δὲ ἀπὼν, ἄλλους τοσούτους αὐτῷ ἐνιαυτοὺς πρὸς τῇ δεκαετίᾳ προστεθῆναι, ὅσους ἐξ αὐτῆς τῆς δεκαετίας ἀπὼν γέγονεν.

μβ΄. Τὰ κινητὰ πράγματα τῇ τριετίᾳ ἀνεπιφωνήτως κρατούμενα δεσπόζονται.

μγ΄. Ὁ ἔχων δουλείαν τοῦ ποτίζειν καὶ βόσκειν ἐν τῷ ἀγρῷ σου θρέμματα, δύναται κτᾶσθαι δουλείαν τοῦ ἐν αὐτῷ ποιεῖν καλύβην.

μδ΄. Ὁ βουλόμενος πλησίον ἀλλοτρίου ἀλωνίου οἰκοδομεῖν, ἐν ᾧ καταβλάπτει τὸν τούτου δεσπότην, κωλύεται ἐξ αὐτοῦ.

με΄. Ὁ δι' ἀλλοτρίου ἀγροῦ ἕλκων ὕδωρ εἰδότος τοῦ δεσπότου τοῦ ἀγροῦ, κτᾶται κατ' αὐτοῦ τοῦ ἀγροῦ δουλείαν τῷ νενομισμένῳ χρόνῳ, τουτέστι τῷ τριετεῖ. ἐὰν δὲ πρὸ τοῦ παρελθεῖν τοῦτον τὸν χρόνον κωλύσει αὐτὸν ὁ δεσπότης τοῦ ἀγροῦ ἐπάγειν τὸ ὕδωρ, οὐ δύναται ἀπαιτεῖν αὐτὸν τὰ περὶ τὸν ὁλκὸν γινόμενα αὐτῷ δαπανήματα. ἀλλὰ καὶ αὐτοῦ τοῦ ὁλκοῦ δεσπότης γίνεται ὁ τοῦ ἐδάφους κύριος, ἕως ὅτε συνέστηκεν ὁ ὁλκός· διαλυομένου γὰρ αὐτοῦ δύναται καὶ τὰς ὕλας ὁ πάλαι δεσπότης ἐκδικεῖν.

μϛ΄. Ἐὰν ὁ προκτήτωρ οὐκ ἠδύνατο κωλύσαι τὴν τοῦ ὕδατος πάροδον, οὐδὲ ὁ νῦν ἀγοραστὴς δύναται κωλύειν. μετὰ γὰρ τοῦ αὐτοῦ βάρους ἀγοράσαι δοκεῖ.

μζ΄. Οἱ χθαμαλώτεροι τόποι τῶν ἀγρῶν σιωπηρὰν δουλείαν τοῖς ὑψηλοτέροις παρέχουσιν εἰς τὸ δέχεσθαι τὰ ἴδια αὐτῶν ὕδατα, κέρδος ἔχοντες ἀντὶ τούτου τοῦ βάρους τὸ πᾶσαν τὴν λιπαρότητα τῶν ὑψηλοτέρων γηδίων ὑποδέχεσθαι.

μη΄. Ἐὰν ἐπὶ ε ἐνιαυτοὺς μὴ χρησάμενος τῇ τοῦ ἀγροῦ μου δουλείᾳ πωλήσω αὐτὸν ἑτέρῳ, ψηφίζεται τὰ ε ἔτη τῷ ἀγοραστῇ, ἵνα, ἐὰν ἐκεῖνος ἐπὶ ε ἐνιαυτοὺς ἄλλους μὴ χρήσηται τῇ δουλείᾳ, ἐκπέσῃ αὐτῆς. εἰς μὲν γὰρ τὸ κτήσασθαι τὴν ἐλευθερίαν τῆς δουλείας τὸν αὐτὸν ἀπαιτοῦμεν εἶναι παρ' ὅλον τὸν νόμιμον καιρὸν, εἰς δὲ τὸ ἀπολέσαι διὰ τῆς ἀχρηστίας ἀρκούμεθα τῷ μηδὲ χρήσασθαι καὶ μόνον παρ' ὅλον τὸν τοῦ νόμου καιρὸν, καὶ οὐ περιεργαζόμεθα εἴτε εἷς εἴτε πλείους εἰσὶν οἱ μὴ χρησάμενοι.

μθ΄. Ἐάν τις δημοσίαν ὁδὸν ἤτοι γῆν παρ' ἀλλοτρίου χωρίου ὀρύττῃ, τὸν ὅρον μὴ παραβαίνει.

ν΄. Ἐὰν τειχίον, πόδα ἕνα ἀπολείπει. ἐὰν δὲ οἴκημα, πόδας ϛ΄· ἐὰν δὲ τάφρον ἢ βόθρον ὀρύττει, ὅσον τὸ βάθος εἴη, τοσοῦτον

ἀπολείπει· ἐὰν δὲ φρέαρ, ὀργυΐαν, εἰ μήπω φρέαρ προϋπάρχει τοῦ γείτονος καὶ διὰ τοῦ καινοῦ ἔργου βλάπτεται. ἐλαίαν δὲ καὶ συκῆν πόδας θ΄ ἀπὸ τοῦ ἀλλοτρίου φυτεύειν, τὰ δὲ ἄλλα δένδρα πόδας ε΄.

να΄. Ἐὰν πλησίον τοῦ ἀγροῦ σου ὑδραγωγεῖον ἔχω, παρέπεται σιωπηρῶς τῇ τοιαύτῃ δουλείᾳ ταῦτα· ἀνανεοῦν τὸ ῥεῖθρον, καὶ τὸ ἐξεῖναι εἰσιέναι ἐμέ τε καὶ τοὺς ἐμοὺς τεχνίτας ἐπὶ ἀνανεώσει τοῦ ὁλκοῦ. χρεωστεῖς δέ μοι καὶ διάστημά τι καταλιμπάνειν, ὡς ἂν δι᾽ αὐτοῦ ἐκ δεξιοῦ καὶ ἀριστεροῦ πορεύεσθαί με ἐπὶ τὸ ῥεῖθρον, καὶ ἵνα ἐν αὐτῷ ἀποτίθημι γῆν καὶ λίθους, καὶ τὴν ὕλην τὴν ἐκ τοῦ ὁλκοῦ ἀναφερομένην, καὶ ἄσβεστον καὶ ψάμμον πρὸς ἀνανέωσιν τοῦ ὑδραγωγείου.

νβ΄. Ἐὰν πιπράσκων ἀγροῦ μέρους συμφωνήσω δι᾽ αὐτοῦ ἕλκειν ὕδωρ, καὶ μήπω ποιήσαντός μου τὸν ὀχετὸν ὁ νόμιμος παρέλθῃ χρόνος, σώζεταί μοι τὸ δίκαιον. εἰ δὲ ἐποίησα μέν, μὴ ἐχρησάμην δέ, φθείρεται.

νγ΄. Ἡ δουλεία τοῦ ὕδατος ἐὰν οὕτω συστῇ, ὥστε ἐν μόνῳ τῷ θέρει κεχρῆσθαι αὐτῇ ἢ ἐν ἑνὶ μηνὶ ἢ ὑπὲρ ἐνιαυτὸν ἢ ὑπὲρ μῆνα, διπλασιάζεται ὁ χρόνος τῆς ἀχρησίας. τὸ αὐτὸ καὶ ἐπὶ τῆς ὁδοῦ. εἰ δὲ ὑπὲρ ἡμέραν ἢ ὑπὲρ ὥραν ἢ μίαν ὥραν ἢ μόνην τὴν ἡμέραν ἢ μόνην τὴν νύκτα, τῷ νομίμῳ χρόνῳ φθείρεται· μία γάρ ἐστιν ἡ δουλεία.

νδ΄. Τῷ περὶ ὅρων καὶ ὁροθεσίων δικαστηρίῳ ἡ τοῦ μακροῦ χρόνου παραγραφὴ οὐκ ἀντίκειται, ἀλλὰ μόνον ἡ τῶν λ ἐτῶν παραγραφὴ χώραν ἔχει.

νε΄. Ἐν ταῖς περὶ ὅρων ζητήσεσι δεῖ τὸν δικαστὴν ἀκολουθεῖν ἢ τοῖς ὑπομνήμασιν ἢ τῇ δημοσίᾳ ἀπογραφῇ τῇ πρὸ κατάρξεως συστάσῃ, εἰ μὴ ἄρα τῇ ποικίλῃ τῶν κτητόρων διαδοχῇ καὶ τῇ κρίσει τῶν κατὰ καιρὸν νεμομένων ἀλλαγέντες οἱ ὅροι ἀποδειχθῶσι. τότε γὰρ τούτοις τοῖς ὅροις [4]) προσεκτέον τοῖς ἀπὸ τῶν κτητόρων ορισθεῖσι, καὶ οὐχὶ τοῖς παλαιοτέροις.

νϛ΄. Ἡνίκα δημοσία ὁδὸς ἢ σεισμοῦ συμβεβηκότος ἢ ἐπικλύσαντος αὐτὴν ποταμοῦ ἀπώληται, ὁ πλησιάζων δεσπότης ἀναγκάζεται παρέχειν τὴν δημοσίαν ὁδὸν διὰ τῶν ἰδίων τόπων.

νζ΄. Ἐὰν ποταμὸς μέσον δύο ἀγρῶν ῥῇ, τουτέστι τοῦ σοῦ καὶ ἐμοῦ, εἶτα κατὰ βραχὺ καὶ ἀνεπαισθήτως [5]) προσθήσῃ γῆν τῇ ἐμῇ γῇ, ὡς μὴ δύνασθαί τινα νοῆσαι πόσον καὶ ἐν ποίῳ χρόνῳ τῆς ἡμετέρας ἐστὶ δεσποτείας, τὸ προστιθέμενον τοῦτο ἐμὸν γίνεται. εἰ δὲ ἡ τοῦ ποταμοῦ βία καὶ ὁρμὴ μέρος τι τοῦ σοῦ ἀγροῦ ἀφείλετο καὶ τῷ ἐμῷ προσήγαγεν ἀγρῷ, δῆλόν ἐστιν, ὅτι τὸ προ-

4) A: τούτους τοὺς ὅρους. 5) A hic et infra ἀναιπισθήτως.

στεθὲν τῆς σῆς μένει δεσποτείας· οὐ γὰρ ἀνεπαισθήτως τοῦτο γέγονεν.

νη΄. Ἐὰν ὕδωρ ἕλκοντός μου δι' ὑδραγωγείου φέρεται μὲν ἕως τόπου τινὸς, μὴ δείκνυται δὲ δι' ὅλου τοῦ ὁλκοῦ τὸ ὕδωρ, φθαρέντος τυχὸν τοῦ ὑδραγωγείου, ἐν τῷ μέσῳ ἀβλαβὴς ἡ κατὰ παντὸς τοῦ ὁλκοῦ δουλεία φυλάττεται.

νθ΄. Πᾶσα ἀγωγὴ προσήκουσα σεπτῷ οἴκῳ, εἴτε προσωπικὴ εἴτε ὑποθηκαρία ἐστιν, οὐχ ὑπερβαίνει τὰ μ ἔτη, τῶν ἁρμοζουσῶν ἑκάστῳ τοιούτῳ εὐαγεῖ οἴκῳ προσκαίρων παραγραφῶν φυλαττουσῶν μέντοιγε τοὺς οἰκείους χρόνους.

ξ΄. Ἐὰν βλαβῇ σῶμα ἐλεύθερον, ἡ καταδίκη γίνεται εἰς τὴν δαπάνην τῆς ἰατρείας καὶ τὴν ἀπώλειαν τῆς ἐργασίας, οὐ μὴν τῆς ἀμορφίας· σῶμα γὰρ ἐλεύθερον οὐ διατιμᾶται. ὁ δὲ σῶμα δοῦλον βλάψας ἀπαιτεῖται πρὸς τοῖς εἰρημένοις καὶ εἰς εἴ τι ἠλαττώθη ἡ διατίμησις αὐτοῦ [6].

ξα΄. [7]) Οὐκ ἀπρεπὲς δὲ καὶ τοῦτο ἔδοξεν ἡμῖν διορίσασθαι, ἵνα οἱ ἐπὶ ἐγκλήματι περιοριζόμενοι, κἂν ἐν τῷ ἰδίῳ οἴκῳ, μὴ περιγράφονται χρόνῳ.

ξβ΄. Ἀλλὰ μηδὲ τοῖς διὰ δουλείαν βασιλικὴν ἀπολιμπανομένοις συμψηφιζέσθω χρόνος, ἐφ' ὅσον διάγουσιν ἐν τῷ τόπῳ τῆς λειτουργίας, μέχρις ὅτου ὑποστρέψουσιν.

ξγ΄. Ὁ κωφὸς, ὁ ἄλαλος, ὁ μαινόμενος, ὁ ἄφρων, καὶ ὁ αἰχμάλωτος οὐ περιγράφεται χρόνῳ. τότε δὲ ὁ χρόνος αὐτοῖς ἄρχεται τρέχειν, ὅτε ὁ μὲν ἐπανέλθῃ, οἱ δὲ τοῦ πάθους ἀπαλλαγῶσιν.

ξδ΄. Ὁ ἐνάγων τινὶ περὶ ἀκινήτου πράγματος μὴ ἀπὸ δικαίας αἰτίας νεμηθέντος, καὶ μηδέπω ἀποκλεισθεὶς τῇ τριακονταετίᾳ μηδὲ ἀπολέσας τὴν ἰδίαν ἐναγωγὴν, εἰς τὸ ἴδιον δίκαιον ἀποκαθίσταται.

6) Vereor, ne hoc caput ab hoc loco alienum sit: cf. tit. XL, c. 80.

7) Cap. 61. 62. 63 ex Prochiro sunt et continent constitutiones a Basilio νεαρῶς in Prochiro collocatas. Ejusmodi Basilii Novellae, quum alioquin ab Epanagoges textu remotae sint, vereor, ne et haec capita non genuina sed a scholiaste addita sint.

ΤΙΤΛΟΣ ΤΕΣΣΑΡΑΚΟΣΤΟΣ.

Περὶ ποινῶν.

Κεφ. α'. Ὁ ἐρεθίζων τοὺς πολεμίους ἢ ὁ παραδιδοὺς πολεμίοις ῥωμαῖον, κεφαλικῶς κολάζεται.

β'. Τῷ περὶ ἀνδροφόνων νόμῳ κατέχεται ὁ ποιήσας φάρμακον ἐπὶ ἀναιρέσει ἀνθρώπου ἢ ἐσχηκὼς ἢ πωλήσας.

γ'. Τοὺς ἐκ τῶν ῥωμαϊκῶν μερῶν πρὸς τοὺς πολεμίους ἀποφεύγοντας ὡς πολεμίους ἔξεστιν ἀκινδύνως φονεύειν.

δ'. Ἐὰν τὸν ἐν νυκτὶ κλέπτοντα φονεύσῃ τὶς, τότε ἀτιμώρητος μένει, ὅτε μὴ ἠδύνατο δίχα κινδύνου ἰδίου φείσασθαι αὐτοῦ.

ε'. Ἐάν τις εἰδὼς ἐλεύθερόν τινα ἀγοράσῃ ἢ πωλήσῃ αὐτὸν ἢ δωρήσηται ἢ εἰς προῖκα δώσῃ ἢ καταλλάξῃ, μιᾶς τούτων τῶν αἰτιῶν ἀποδεικνυμένης ὁ τοιοῦτος χειροκοπείσθω.

ς'. Οἱ λεγόμενοι νεωτερικοὶ καὶ θορύβους ἐν τῷ δήμῳ ποιοῦντες, εἰ μὲν ὑπομνησθέντες παρὰ τοῦ ἄρχοντος τοῖς αὐτοῖς ἐπιμείνοιεν, ἐξορίζονται· εἰ δὲ πολλοὺς θορύβους καὶ ἀταξίας ἐποίησαν, καὶ πολλάκις κρατηθέντες καὶ πρότερον κολασθέντες ἐπὶ τῆς αὐτῆς ἐπέμειναν προπετείας, τυπτόμενοι σφοδρῶς καὶ κουρευόμενοι διηνεκῶς ἐξοριζέσθωσαν· εἰ δὲ οὐχ ὑπεμνήσθησαν παρὰ τοῦ ἄρχοντος, ῥοπαλίζονται μόνον καὶ ἀπολύονται.

ζ'. Ἐὰν γυνή τις λαβοῦσα χρήματα παρὰ τῶν ὑποκαταστάτων κληρονόμων τοῦ [1]) ἀμβλῶναι τὸν ἐγκυμονούμενον κληρονόμον, καὶ διά τινος φαρμάκου ἐκτρωθῆναι τοῦτον παρασκευάσῃ, κεφαλικῶς τιμωρεῖται.

η'. Ὁ ἐντειλάμενός τινι πλημμελῆσαι κατέχεται.

θ'. Ὁ τὸν προσφεύγοντα εἰς τὴν ἁγιωτάτην ἐκκλησίαν ἰδίᾳ χρώμενος αὐθεντίᾳ ἀποσπάσας, δερόμενος καὶ κουρευόμενος διηνεκῶς ἐξοριζέσθω.

ι'. Ὁ ἐντειλάμενός τινι φονεῦσαι ὡς φονεὺς κρίνεται.

ια'. Μηδεὶς πιπρασκέτω βαρβάροις ὅπλα εἰργασμένα ἢ ἀνέργαστα ἢ σίδηρον· ἐπεὶ κεφαλικῶς τιμωρεῖται.

ιβ'. Ὁ κατὰ τῆς σωτηρίας τοῦ βασιλέως μελετήσας φονεύεται καὶ δημεύεται.

ιγ'. Τὸν λῃστὴν ἔξεστιν ἑκάστῳ ἀκινδύνως φονεύειν.

ιδ'. Καὶ ὁ τὸν νήπιον φονεύσας τιμωρίᾳ φόνου ὑπόκειται.

ιε'. Καὶ ὁ ἔλαττον τῶν κε ἐτῶν φονεύσας ἐνάγεται ὡς φονεύς.

ις'. Ὁ συνειδώς τινι γοητείαν, κατασχὼν αὐτὸν τῇ δημοσίᾳ

1) Malim ἐπὶ τῷ.

ξίφει παραδιδότω. εἰ δέ τις οἱοσδήποτε ἄνθρωπος συλλαβόμενος τοῦτον μὴ παραδοίη, ἐσχάτην ὑπομενέτω τιμωρίαν.

ιζ΄. Ὁ πλαστὴν μονίταν ποιῶν μετὰ τῶν ὑπουργησάντων αὐτῷ χειροκοπείσθωσαν. ὁ δὲ τοῦ ἀγροῦ διοικητὴς, ἐν ᾧ γέγονεν ἡ πλαστὴ μονίτα, εἴτε γεωργὸς εἴτε δοῦλος εἴτε ἔνοικος εἴτε ἐργαστηριακὸς ὑπηρετήσας τῷ ἁμαρτήματι, καὶ ὁ τοιοῦτος χειροκοπείσθω.

ιη΄. Ὁ συκοφάντης τῇ ταυτοπαθείᾳ ὑπόκειται.

ιθ΄. Οἱ ἐπίσημοι λησταὶ ἐν τοῖς τόποις, ἐν οἷς ἐπλημμέλησαν, φουρκίζονται, ἵνα τε διὰ τῆς θέας καταπτοηθῶσιν οἱ ἐγχειροῦντες τοῖς τοιούτοις καὶ ἵνα τῆς ἐκδικήσεως ὑπ' ὄψιν κειμένης γένηταί τις παραμυθία τοῖς συγγενέσιν τῶν ἀναιρεθέντων.

κ΄. Οἱ πρὸς τοὺς πολεμίους παραγινόμενοι καὶ τὰς ἡμετέρας βουλὰς ἀναγγέλλοντες, ἢ ἀνασκολοπίζονται ἢ καίονται.

κα΄. Ἐάν τις ἐν πόλει εἰδὼς οἰκήματα ἐμπρήσῃ, ἢ σωρὸν σίτου πλησίον οἰκήματος κείμενον, ἐλεγχόμενος πυρὶ παραδίδοται· εἰ δὲ ἔξω πόλεως τὸ τοιοῦτον διαπράξηται, χειροκοπείσθω.

κβ΄. Οἱ πολέμιοι καὶ οἱ πρὸς αὐτοὺς αὐτομολοῦντες ξίφει τιμωρείσθωσαν.

κγ΄. Τὸ διὰ θυσιῶν μαντεύεσθαι κεκώλυται· ὁ δὲ ἁλοὺς ἐπὶ τούτῳ ξίφει τιμωρείσθω.

κδ΄. Οἱ εἰς βλάβην ἀνθρώπων δαίμονας ἐπικαλούμενοι, εἰ μὴ κατὰ ἄγνοιαν τοῦτο πράξωσι, ξίφει τιμωρείσθωσαν.

κε΄. Οἱ δοῦλοι ἢ ἀπελεύθεροι ἀνδραποδίζοντες ἐλευθέρους, δερόμενοι καὶ κουρευόμενοι χειροκοπείσθωσαν.

κϛ΄. Ἀπαγορεύει ἡ διάταξις, ἀμφοτέρας τὰς χεῖρας καὶ τοὺς πόδας τέμνεσθαι.

κζ΄. Ὁ τὸν φυγάδα δοῦλον ὑποδεξάμενος, δίδωσιν αὐτὸν μετὰ ἑτέρου ὁμοίου ἤτοι κ νομίσματα· ὁσάκις δὲ αὐτὸν ὑποδέξεται, τοσαυτάκις αὔξεται ἡ ποινή.

κη΄. Κατὰ τοῦ ἁρπάσαντος πρᾶγμα ἀπὸ ἐμπρησμοῦ ἢ καταπτώσεως ἢ ναυαγίου, ἢ κατὰ τοῦ ὑποδεχομένου κατὰ δόλον τὰ τοιαῦτα πράγματα, ἐντὸς μὲν ἐνιαυτοῦ εἰς τὸ τετραπλάσιον δίδοται ἡ ἀγωγὴ, μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν.

κθ΄. Οἱ διδάσκοντες τὰ ἀσεβῆ δόγματα ἐσχάτῃ ὑπόκεινται τιμωρίᾳ.

λ΄. Οἱ μανιχαῖοι χριστιανοὶ γενόμενοι, μετὰ ταῦτα δὲ τὰ τῶν μανιχαίων διαπραττόμενοι, ἢ τοῖς τοιούτοις ἐντυγχάνοντες καὶ μὴ παραδιδόντες τοῖς ἄρχουσιν, ἐσχάτῃ τιμωρίᾳ ὑπόκεινται. καὶ οἱ ἐν ἀξίαις ἢ στρατείαις ἢ συστήμασιν ὄντες ὀφείλουσι φροντίζειν, μή-

τις αὐτῶν ἐστὶ τοιοῦτος· ἐπείτοιγε ἐὰν ἴσασιν αὐτὸν καὶ μὴ παραδιδοῦσι, κἂν ὀρθόδοξοί εἰσιν, ἐσχάτῃ τιμωρίᾳ ὑποβάλλονται.

λα΄. Οἱ μανιχαῖοι καὶ μετὰ θάνατον ἐλέγχονται, καὶ ὅτι οὐδεὶς κληρονομεῖ αὐτοὺς ἐκ διαθήκης ἢ ἐξ ἀδιαθέτου κἂν συγγενεῖς εἰσιν ὀρθόδοξοι, ἀλλ' εἰσκομίζονται τὰ πράγματα αὐτῶν. μόνοι γὰρ παῖδες αὐτῶν ὀρθόδοξοι ὄντες κληρονομοῦσιν αὐτούς. τὰ αὐτὰ δὲ καὶ περὶ τῶν δονατιστῶν.

λβ΄. Ὁ ποιῶν ἑλληνικὰς θυσίας καὶ τιμῶν [2]) εἴδωλα ἢ θυσιάζων ἢ λίβανον αὐτοῖς καίων, ἐσχάτῃ ὑποβάλλονται τιμωρίᾳ. ὁμοίως δὲ τιμωροῦνται καὶ οἱ συνίστορες αὐτῶν καὶ οἱ ὑπηρέται τῶν θυσιῶν.

λγ΄. Εὰν ἰουδαῖος χριστιανὸν ἀνδράποδον κτήσηται καὶ περιτέμῃ, κεφαλικῶς τιμωρεῖται.

λδ΄. Ἐὰν ἰουδαῖος τολμήσῃ διαστρέψαι χριστιανικὸν λογισμὸν, ὑπόκειται κεφαλικῇ τιμωρίᾳ.

λε΄. Οἱ ἀξιωθέντες τοῦ ἁγίου βαπτίσματος, καὶ πάλιν ἑλληνίζοντες, ἐσχάτῃ τιμωρίᾳ ὑπόκεινται.

λϛ΄. Οἱ ἀποστάντες ἐκ τῆς τῶν ορθοδόξων πίστεως καὶ αἱρετικοὶ γενόμενοι, ἢ θύσαντες ἢ θῦσαί τινι ἐπαγγειλάμενοι, οὐ δύνανται διατίθεσθαι ἢ δωρεῖσθαι· οὔτε ἐκ διαθήκης οὔτε ἐξ ἀδιαθέτου λαμβάνειν τὶ δύνανται.

λζ΄. Ὁ ἀνελὼν ἀνιόντα ἢ κατιόντα ἢ συγγενῆ πυρὶ παραδίδοται.

